Verum ipsi usuras exigere a debitoribus nolunt, regem suum imitantes, et devotos suscipiunt, et reprehendunt ingratos. Sic enim et ipse decem leprosis illis purgatione donata, eum qui reversus et gratiam est confessus, cum esset alienigena suscepit atque laudavit, decereque benivolentiam habere circa beneficiorum auctorem, hos qui bene patiuntur, attestari dignatus est. Reliquos autem tamquam ingratos, Iudaei enim erant, merito reprehendit; modo quippe oculis infirmati, quos Salvator totius corporis appellavit lucernam; lucis enim revera privationem sustinet, qui his privatus extiterit.

ἰατρῶν τὴν ἀσθένειαν, ὧν οἱ μὲν τὸ πάθος ἐπίχυσιν, οἱ δὲ πλατυκορίαν ὠνόμαζον, ἑκατέρου δὲ τέλος ἡ τύφλωσις, καὶ τῶν ὀμμάτων ἡ στέρησις, ἐπὶ τοὺς ἁγίους τούτους Κῦρον καὶ Ἰωάννην τοὺς εὐεργέτας ὡρμήσαμεν, πάσας ἡμῶν τὰς περὶ τοῦ βλέπειν ἐλπίδας τῆς θεόθεν αὐτοῖς δοθείσης χάριτος ἐξαντήσαντες, καὶ τὴν ἀνθρωπίνην βοήθειαν ὡς ἀσθενῆ καὶ πρὸς τὸ πάθος ἀδύνατον παρωσάμενοι· οἱ δὲ τὴν πίστιν ἀποδεξάμενοι, πιστεῦσαι γὰρ δεῖ πρῶτον τὸν προσερχόμενον κατὰ τὸν θεῖον ἀπόστολον, ταχεῖαν τῆς νόσου παρέσχον τὴν ἴασιν, καὶ περὶ τῶν μελλόντων ἡμᾶς ὡς οὐδὲν πάθοιμεν οἷα ἀσκληπιά-

9. Et caecitatem afferre infirmitatem hanc a medicis audientes, quorum alii quidem vitium hoc effusionem, alii vero platycorian id est latam pupillam nominabant; utriusque autem finis caecitas est, et oculorum privatio; ad hos bene operantes sanctos, Cyrum scilicet et Iohannem, profecti sumus, omnem nostram videndi spem in divinitus illis data gratia suspendentes, et humanum auxilium tamquam infirmum, et contra passionem minus validum repellentes. At illi fidem admittentes; credere quippe primum, accedentem oportet, secundum apostolum; celerem praebuere sanitatem languoris; et de futuris quod hinc nihil essemus passuri, quae asclepiadae nos dixere passuros, cer-

δαι πάσχειν εἰρήκασιν ἐπιστώσαντο, τὴν ὁμηρικὴν ἡμῶν δι' ὁραμάτων αἰνιγματωδῶς καὶ χαριεντῶς ὡς φίλον αὐτοῖς φυγαδεύσαντες τύφλωσιν, δεικνύντες ἐναργῶς ὡς πάντα δυνατὰ τῷ θεῷ τὰ τοῖς ἀνθρώποις ἀδύνατα.

ι. Ἐγκωμιαζέσθωσαν οὖν πρὸς τῆς ἡμῶν εὐτελείας οἱ μάρτυρες, καὶ πρόφασις εὐφροσύνης γινέσθωσαν τοῖς ἀκούουσιν· σκιρτᾷ γὰρ τῶν πιστῶν τὰ συστήματα Κῦρον εὐφημούμενον βλέποντα, καὶ τῶν εὐσεβούντων τὸ πλῆθος ἀγάλλεται Ἰωάννου μαθὼν τὸ ἐγκώμιον· ἐξ εὐαγγελίων δὲ ἡμῖν καὶ τῶν τοῦ κυρίου φωνῶν τὸ προοίμιον, αἳ πρὸς τοὺς ἀποστόλους πρώην ἐλέχθησαν, ἁρμόττουσι δὲ Κύρῳ καὶ Ἰωάννῃ τοῖς μάρ-

tos per omnia reddiderunt, homericam nostram caecitatem per visiones et aenigmata, ut illis gratum est, effugantes; manifesteque monstrantes, quod omnia possibilia sint credenti, et quod possibilia Domino quae impossibilia sunt apud homines.

10. Laudentur igitur martyres a vilitate nostra, et occasio laetitiae audientibus fiat; tripudia enim ducunt fidelium cunei laudari Cyrum conspicientes, et pie agentium multitudo exultat Iohannis ediscens praeconia. Porro ex evangelicis est et Domini vocibus nobis verbi principium ad apostolos prius edictis; congruunt autem offerri Cyro nec non et Iohanni martyribus, et qui tales fue-

τυσιν, καὶ τοῖς μετ' ἐκείνοις τοιούτοις προσφέρεσθαι· ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ κόσμου καὶ τὸ ἅλας τῆς γῆς ὦ τρισμακάριοι, τὸ φῶς τὸ μὴ δυόμενον, καὶ ἅλας τὸ μὴ μωραινόμενον, τὸ φῶς τὸ μὴ σβεννύμενον καὶ ἅλας τὸ μὴ ἔξω βαλλόμενον, τὸ φῶς τὸ ἀκοίμητον καὶ τὸ ἅλας τὸ ἀκαταπάτητον, φῶς τὸ ἀεὶ θεωρούμενον καὶ ἅλας τὸ ἀεὶ βιβρωσκόμενον, φῶς τὸ πᾶσιν γλυκύτατον καὶ ἅλας τὸ πᾶσιν ἐράσμιον· οὗ χωρὶς καὶ λόγος χάριτος ἔρημος, καὶ ἄρτος ἄβρωτος γίνεται, φῶς θεογνωσίαν δωρούμενον, καὶ ἅλας φιλοθεΐαν τεχνούμενον, φῶς τὸ σκότους λυτήριον καὶ ἅλας τὸ τῶν μωρανθέντων ἐπάρτυμα, φῶς φωτίζον τὰ ἀφώτιστα καὶ ἅλας εὐχυμίζον

re post illos. Vos vere estis lux mundi, et sal terrae, o ter beati: lux quae non occidit, et sal quod non infatuatur; lux quae non extinguitur, et sal quod foras non mittitur; lux quae non dormit, et sal quod minime conculcatur; lux quae semper videtur, et sal quod semper comeditur; lux universis dulcissima, et sal cunctis amandum, sine quo et sermo gratiae desertus, et panis incomestibilis; lux Dei cognitionem donans, et sal deitatis amorem patrans; lux tenebrarum solutio, et sal eorum quae infatuata sunt condimentum; lux illuminans non illuminata, et sal bono saliens humore, quae boni non sunt humoris; lux

τὰ δύσχομα, φῶς διελέγχον τὰ ἄτοπα καὶ ἅλας συσφίγγον τὰ ἔκλυτα· ὦ ξυνωρίδος ἁγίων, δι' ἧς τὸ θεῖον θαυμάζεται· θαυμαστὸς γὰρ ὄντως ὁ θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ· ὦ ξυνωρίδος μαρτύρων, δι' ἧς ὁ κόσμος φαιδρύνεται· ὦ ξυνωρίδος δικαίων, δι' ἧς ὁ βίος καινίζεται· ὦ ξυνωρίδος ὁσίων, δι' ἧς ἡ πίστις κρατύνεται· ὦ ξυνωρίδος ὀλβίων, δι' ἧς εὐσεβεῖς μεγαλύνονται· ὦ ξυνωρίδος ζηλωτῶν, δι' ἧς ἡ πλάνη θερίζεται· ὦ ξυνωρίδος δυναστῶν, δι' ἧς ὁ διάβολος ῥήσσεται· ὦ ξυνωρίδος ὁπλιτῶν, δι' ἧς κολάζονται δαίμονες· ὦ ξυνωρίδος εὐσεβῶν, δι' ἧς ποντοῦται τὰ εἴδωλα· χαίροις ὄντως ὦ ξυνωρὶς ἱερὰ καὶ θεῷ παροῦσα καὶ βροτοῖς τὰ κρείττω

depravata redarguens, et sal dissoluta constringens. O bigam sanctorum, per quam divinitas habetur mirabilis, mirabilis enim est re vera Deus in sanctis suis. O bigam martyrum, per quam mundus hilarescit! O bigam iustorum, per quam vita renovatur! O bigam sanctorum, per quam fides stabilitur! O bigam opimorum, per quam pii magnificantur! O bigam aemulatorum, per quam error evellitur! O bigam potentium, per quam diabolus rumpitur! O bigam armatorum, per quam torquentur daemonia! O bigam piorum, per quam in profundum idola demerguntur! Ave o revera sacra biga, quae et Domino

βραβεύουσα· χαίροις ὦ ξυνωρὶς τιμία, ἐξ οὐρανοῦ μὲν οὖσα καὶ τὴν γῆν οὐκ ἐάσασα· χαίροις ὦ ξυνωρὶς ἁγία σὺν ἀγγέλοις χορεύουσα καὶ ἀνθρώπους ἐποπτεύουσα· ὄντως ἀξίως ἀκούετε τοῦ σωτῆρος ὑμᾶς ἐγκωμιάζοντος καὶ μεγαλοφώνως κηρύττοντος· ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ κόσμου καὶ τὸ ἅλας τῆς γῆς· φῶς ἐξ ἀληθινοῦ φωτὸς φωτιζόμενον, καὶ ἅλας ἐξ αὐτοῦ τοῦ ὄντως ἁλὸς ἀρτυόμενον, καὶ φωτίζον ἀκραιφνῶς τοὺς πιστεύοντας, καὶ ἀρτῦον διαρκῶς τοὺς γεραίροντας.

ια. Πῶς δὲ τῆς ἀλύτου ταύτης δυάδος μὴ θαυμάσωμεν τὴν συνάφειαν; ἢ πῶς ταύτης τῆς ξένης συζυγίας τὴν ἕνωσιν μὴ δοξάσωμεν; ὁρῶ-

praesens es, et mortalibus meliora concedis; ave o biga honorabilis, quae in caelo manes, et terram non deseris; ave o biga sancta, quae cum angelis chorum ducis, et homines perspicis. Vere utique digne auditis vos Salvatorem laudantem, et magnisone praedicantem atque dicentem: vos estis lux mundi, et sal terrae; lux a vera luce illuminata, et sal ab ipso qui vere est sal conditum, et illuminans pure credentes, et condiens opime laudantes.

11. Porro quomodo insolubilis huius dualitatis non miremur conexionem, vel quomodo admirandae huius coniugationis gloriosam non dica-

μεν γὰρ μιγέντα τὰ ἄμικτα, καὶ ἀλλήλοις συμβάντα τὰ ἀλλήλοις ἀσύμβατα, καὶ κραθέντα τὰ ἄκρατα, καὶ συμπλακέντα τὰ ἀσύνπλεκτα, καὶ εἰρηνεύσαντα τὰ πολέμια, καὶ φιλιάσαντα τὰ ἀντίπαλα, καὶ ἓν ἐκ συνουσίας γενόμενα τὰ γενέσθαι ἓν δυσκολαίνοντα· ὁ μὲν γὰρ ἦν μοναστὴς ὁ Κῦρος, καὶ Ἰωάννης στρατιώτης ἐτύγχανεν· ὁ μὲν τὴν ἔρημον, ὁ δὲ τὰς πόλεις ἐδίωκεν· ὁ μὲν τὴν πρὸς πάντας εἰρήνην ἐσπούδαζεν κατὰ τὸν εἰρηκότα εἰ δυνατὸν τὸ ἐξ ὑμῶν μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες, ὁ δὲ τὸν πρὸς ἀνθρώπους ἠσπάζετο πόλεμον· ὁ μὲν τὰ ἴδια

mus unitionem? Videmus enim mixta, quae fuerant incommixta; et mutuo convenientia, quae erant invicem inconvenientia; et temperata, quae erant intemperata; et complexa, quae fuerant incomplexa; et pacificata, bellantia; et amica facta, contraria; unum ex conventione facta, quae unum fieri difficile poterant. Alter enim monachus erat, Cyrus scilicet; alter autem miles extiterat. Et ille quidem desertum, iste vero persequebatur urbes. Alter pacem ad omnes custodire studebat, secundum eum qui dixit, si fieri potest, quod ex vobis est, cum omnibus hominibus pacem habentes; alter autem bellum, quod adversus homines fit (1), amplectebatur; alter pro-

(1) *Cod.* quod ad caelos ducit.

τοῖς πτωχοῖς ἀπεσκόρπιζεν, ὁ δὲ τὰ μὴ ἴδια τῇ τυραννίδι διήρπαζεν· ὁ μὲν φιλόσοφον βίον μετήρχετο, ὁ δὲ φιλόδικον τάξιν διήνυεν· ὁ μὲν οὐράνιον εἶχεν πολίτευμα, ὁ δὲ γήϊνον ἔσχεν κατάστημα· ὁ μὲν τὰς χεῖρας εἰς ἱκετείας ἐξέτεινεν, ὁ δὲ πρὸς τόξα καὶ βέλη καὶ δόρυ καὶ μάχαιραν· ὁ μὲν τοὺς πεπονθότας ἀνθρώπους ἰάτρευεν, ὁ δὲ τοὺς ἐῤῥωμένους ἐτίτρωσκεν· καὶ συλλήβδην εἰπεῖν, ὁ μὲν οὐρανίῳ βασιλεῖ συνετάττετο, ὁ δὲ ἐπιγείῳ βασιλεῖ συνωπλίζετο· τίνος οὖν ἔργον ἡ θαυμαστὴ τούτων γέγονεν ἕνωσις; ἢ τίς ὁ τὸ διάφορον ἀνελὼν καὶ συνάγων αὐτοὺς εἰς ὁμόνοιαν; τίς δὲ ὁ τὴν ἀληθῆ συζυ-

pria, pauperibus dispergebat; alter vero non propria, tyrannide diripiebat; alter philosophicam vitam ducebat, alter vero iudicialem ordinem discurrebat; alter caelestem habebat conversationem, alter tenebat terrenam constitutionem; alter manus ad supplicationem extendebat, alter vero ad arcus et sagittas et lanceam et machaeram; alter homines patientes curabat, alter autem homines incolumes vulnerabat. Et ut summatim dicamus, alter cum caelesti rege construebatur, alter vero cum terreno armabatur imperatore. Cuius itaque opere, mirabilis horum facta est unitas? vel quis diversitatem abstulit, et eos ad unitatem collegit? quis autem eorum est, qui veram

γίαν αὐτῶν ἁρμοσάμενος; ἢ δῆλον ὅτι Χριστὸς Θεὸς ἡμῶν, ὁ ποιῶν μεγάλα τε καὶ ἐξαίσια, ἔνδοξά τε καὶ ἀνεξιχνίαστα, ὁ λύσας τοῦ φραγμοῦ τὸ μεσότυχον καὶ εἰς ἓν συνδήσας ἀμφότερα, ὁ τοῖς ἄνω τὰ κάτω συνάψας, καὶ τοῖς οὐρανίοις συνενεγκὼν τὰ ἐπίγεια· ὁ ἀγαγὼν τὰ πλανώμενα πρόβατα καὶ τοῖς μὴ πλανηθεῖσιν συνάψας, καὶ ἓν ἐκ πάντων ἐργασάμενος ποίμνιον· ὁ γῆν μὲν ἀγγέλοις, οὐρανὸν δὲ βατὸν ἀνθρώποις τευξάμενος.

ιβ. Εἴπωμεν καὶ ἡμεῖς μετὰ τοῦ ψάλλοντος προφήτου τὴν λύραν ἁρμόσαντες Κύρου καὶ Ἰωάννου τὴν θείαν ὁρῶντες συνάφειαν· ὄντως αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου, δι' ἧς

coniunctionem aptavit? an procul dubio Christus dominus noster, qui facit magna et mirabilia gloriosa et investigabilia? qui solvit medium parietem maceriae, et colligat in unum utraque; qui superioribus inferiora inseruit et caelestibus terrestria contulit; qui reducit errantes oves, et his quae non erraverunt adunat, et unum ex omnibus est operatus ovile; qui terram quidem angelis, caelum autem pervium hominibus fabricatus est.

12. Dicamus ergo et nos cum psallente propheta lyram aptantes, ac Iohannis et Cyri sacram videntes conexionem: vere haec est immutatio

οἱ μωροὶ σοφίζονται, καὶ μωραίνουσιν οἱ σοφώτατοι· δι' ἧς ἁλιεῖς ἁλιεύονται, καὶ τελωνοῦνται τελῶναι, καὶ λησταὶ ληστεύονται· αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου, δι' ἧς οἱ τυφλοὶ ἀναβλέπουσιν, καὶ τυφλοὶ οἱ βλέποντες γίνονται· δι' ἧς εὐλογοῦσιν οἱ βλάσφημοι, καὶ διδάσκουσιν οἱ ἀπαίδευτοι· δι' ἧς οἱ ἰδιῶται θαυμάζονται, καὶ οἱ λόγοις αὐχοῦντες χλευάζονται· δι' ἧς οἱ ἀγράμματοι ῥητορεύουσιν, καὶ οἱ ῥήτορες ἀγροικίζουσιν· αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου, δι' ἧς πτωχεύουσιν πλούσιοι καὶ πλουτοῦσιν οἱ πένητες, δι' ἧς δυνατοὶ μὲν ἠσθένησαν καὶ ἀσθενεῖς δύν-

dexterae excelsi, per quam piscatores instar piscium capiuntur, et telonarii vectigalium more sumuntur, et latrones ac persecutores latrocinium et persecutionem patiuntur. Haec est immutatio dexterae excelsi, per quam stulti sapientes efficiuntur, et infatuantur sapientissimi; per quam caeci illuminantur, et qui vident caeci fiunt; per quam benedicunt blasphemi, et discunt ineruditi; per quam idiotae in admiratione habentur, et qui in verbis gloriantur merito deridentur; per quam illitterati rhetorizant, et rhetores agreste loquuntur. Haec est immutatio dexterae excelsi; per quam pauperes efficiuntur, locupletes; et ditantur pauperes; per quam fortes infirmati

αμιν περιζώννυνται· αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου, δι' ἧς ἡ στεῖρα πολύτεκνος καὶ ἄτεκνος ἡ πολύτεκνος γίνεται· δι' ἧς δυνάσται τῶν θρόνων καθέλκονται, καὶ πτωχοὶ καὶ πένητες ἀπὸ κοπρίας ἀνίστανται· δι' ἧς ὄρη καὶ βουνοὶ ταπεινῶνται, καὶ αἱ βαθεῖαι κοιλάδες πεπλήρωνται· δι' ἧς ἐξισοῦται τὰ σκολιὰ, καὶ αἱ τραχεῖαι τρίβοι εὐθύνονται· αὕτη τοίνυν ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου, δι' ἧς λύκος ἀρνίῳ συνβόσκεται, καὶ πάρδαλις καὶ ταῦρος καὶ μοσχάριον ἅμα νέμονται λέοντι καὶ ὑπὸ μικροῦ παιδίου ποιμαίνονται· δι' ἧς ἄρκος καὶ βοῦς καὶ λέων ἐσθίουσιν ἄχυρα, καὶ εἰρηναίως

sunt, et infirmi accincti sunt robore; (per quam satietas esurit et esuries satiatur (1).) Haec est immutatio dexterae excelsi, per quam sterilis fecunda, et multorum natorum mater efficitur infecunda; per quam potentes a soliis deponuntur, et pauperes et egeni exaltati de stercore praesident; per quam montes et colles humiliantur, et profundae replentur convalles; per quam aequantur prava, et asperae semitae planae constituuntur. Haec est itaque immutatio dexterae excelsi, per quam lupus cum agno pabula sumit, et pardus cum haedo quiescit, et taurus atque vitulus simul cum leone pascuntur a pueroque parvo mi-

(1) Haec exciderunt a textu graeco.

αὐτῶν τὰ παιδία συναγελάζονται· δι᾽ ἧς ἐπὶ τρώγλην ἀσπίδων καὶ κοίτην ἐγγόνων αὐτῶν ἐπιβάλλει χεῖρας ἀφόβως τὰ νήπια· ἀπολλύειν γὰρ οἱ ὄφεις αὐτὰ ἢ κακοποιεῖν οὐκ ἰσχύουσιν· αὕτη οὖν ὄντως ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου καθέστηκεν, ἥ τις καὶ Κῦρον καὶ Ἰωάννην εἰς ὁμόνοιαν ἤγαγεν, καὶ εἰς ἑστίαν μίαν κατῴκησεν, καὶ ἄθλῳ ἑνὶ πρὸ τοῦ τέλους ἐκόσμησεν, καὶ δόξῃ μιᾷ μετὰ τὸ τέλος ἐδόξασεν, καὶ στεφάνῳ ἑνὶ τοὺς νικηφόρους ἐτίμησεν· ἀποστολικῶς γὰρ τὸν δρόμον τελέσαντας καὶ τὴν πίστιν τηρήσαντας τῶν ἀποκειμένων τοῖς τοιούτοις στεφάνων ἠξίωσεν.

nantur; per quam ursus et bos et leo comedunt paleas, et cum eis pacifice pueri congregantur; per quam super foramen aspidum, et cubile natorum aspidum, mittunt manus suas intrepidi parvuli; perdere quippe serpentes eos vel male facere minime praevalent. Haec igitur immutatio dexterae excelsi constitit, quae etiam Cyrum atque Iohannem ad concordiam duxit, et in una domo locavit; et certamine uno ante finem ornavit, et gloria una post mortem glorificavit, et corona una victoriosissimos honoravit; cursum namque apostolice consummantes, fidemque servantes, coronas quae huiusmodi sunt repositae meruerunt.

ιγ. Οὐδὲ πρώην μὲν οἱ μακάριοι πρὸς ἀλλήλους τοῖς τρόποις ἐμάχοντο, οὔτε πολιτείαν εἶχον ἀντίπαλον· εἰ καὶ μοναστοῦ μὲν ὁ Κῦρος τὸ σχῆμα, στρατιώτου δὲ στολὴν Ἰωάννης ἠμπέσχετο· καὶ ὁ μὲν προβάτου, ὁ δὲ λύκου δορὰν ἐνεδιδύσκοντο· ἄμφω γάρ ἐστιν ἱερῶ, ἄμφω ἀγαθῶ, ἄμφω ἀληθινῶ, ἄμφω ἀμέμπτω, ἄμφω δικαίω, ἄμφω θεοσεβῆ, ἄμφω ἀκακίας ἀνάπλεω, νόμου τε θείου καὶ διδαχῆς καὶ προστάγματος, ὡς τὸ τέλος αὐτῶν ἐμαρτύρησεν, καὶ τὰ θεόθεν δοθέντα χαρίσματα· οὐ γὰρ τοσοῦτον αὐτοὺς τὸ σχῆμα διέκρινεν, ὅσον ἡ πίστις συνέκρινεν· οὔτε τοσοῦτον αὐτοὺς τὸ ἐπάγγελμα διεχώρισεν, ὅσον συνῆπτεν αὐτοὺς ἡ εὐσέβεια·

13. Sed nec prius beati isti moribus invicem impugnabant, nec conversationem sibimet habebant contrariam, quoniam monachi Cyrus habitus, militis vero stola Iohannes circumdaretur; et ille ovis, hic vero lupi pelle indueretur; uterque enim sacratus, uterque bonus, uterque verax, uterque sine macula, uterque iustus, uterque Dei cultor, uterque simplicitate lege ac disciplina seu praeceptore plenus, quemadmodum finis eorum et divinitus eis data charismata testimonium praebuerunt. Non enim illos tantum habitus discernebat, quantum fidei collocatio comparabat; nec tantum repromissio separabat, quan-

οὔτε τοσαύτην αὐτοῖς αἱ τέχναι παρεῖχον διάστασιν, ὅσην κοινωνίαν αὐτοῖς ἡ ἐλπὶς ἐχαρίζετο· οἱ γὰρ τῆς αὐτῆς ἐχόμενοι πίστεως, ὅμοιοι καὶ τοῖς τρόποις γενήσονται· καὶ οἱ μίαν ἀσκοῦντες εὐσέβειαν, πράξεις ἀεὶ ἀγαθὰς διαπράττονται· καὶ οἱ πρὸς ἐλπίδα τὴν αὐτὴν ἀποβλέποντες, τοῖς αὐτοῖς ἐγχειρήμασιν κέχρηνται.

ιδ. Ὅθεν ὁ Χριστὸς ὁ τῶν ὅλων θεὸς καὶ τοῦ παντὸς δεσπότης καὶ πρύτανις, ὁ πάντα εἰδὼς πρὸ τῆς αὐτῶν εἰς τὸ εἶναι γενέσεως, ὁ καρδίας καὶ νεφροὺς ἐρευνώμενος καὶ ἀκοιμήτοις ὄμμασιν τὰ κρύφια τῶν ἀνθρώπων θεώμενος, πρὸς δόξαν μίαν τοὺς μάρτυρας ἤγαγεν, καὶ σέβας ἓν ἀμφοτέροις δεδώρηται· ἀπροσωπόληπτος γὰρ

tum eos pietas copulabat: nec tantam his distantiam artes praestabant, quantam communionem spes donabat. Qui enim ab eadem sunt habitu fide, similes quoque et moribus fient; et qui uni pietati studium impenderunt, eisdem etiam actibus operantur; et qui ad eandem speciem inspiciunt, eisdem utuntur annisibus.

14. Unde Christus omnium Deus et universitatis dominus ac moderator, qui cuncta novit ante quam ut essent fierent, qui corda scrutatur et renes, quoniam non dormientibus oculis occulta hominum inspicit, ad unam gloriam martyres istos perduxit, et unum utrique contulit cultum.

ἐστιν κριτὴς, καὶ στάθμιον δίκαιον, καὶ ζυγοστατεῖν οἶδεν τὸ δικαίον, κατὰ τὸν ἴδιον κόπον καὶ τὸν ἴδιον αὐτῶν μισθὸν χαριζόμενος· ὅθεν Κύρου τε καὶ Ἰωάννου τὸ ὁμότιμον ἐν ἀρεταῖς ἐπιστάμενος, καὶ ἕνα τάφον ἀμφοτέροις ἐβράβευσεν, εἰς τὸ Μάρκου τοῦ θείου σεβάσμιον τέμενος· κἀκεῖθεν δι' ἀνδρὸς εὐαγγελικοῦ Κυρίλλου τῆς εὐσεβείας ὑπερμάχου καὶ κήρυκος πρὸς νεὼν εὐαγγελιστῶν ὁμοτρόπους μετέστησεν μάρτυρας, καὶ τῶν ἀποστόλων κατέστησεν γείτονας· χωρίζειν γὰρ αὐτοὺς εὐαγγελιστῶν ἢ ἀποστόλων οὐκ ἔκρινεν· ὅτι μή τις τὸ διάφορον τῶν χωρισμῶν αὐτοῖς ἐπετείχιζεν.

Est enim sine personarum acceptione iudex, et pondus iustum est apud eum, et statera quae iniusto nutui non inclinatur; qui unicuique librare novit quod iustum est secundum suum laborem, eique mercedem propriam donat. Hinc Cyri Iohannisque parilem in virtutibus sciens honorem, unum etiam contulit utrique in sacratissimi Marci celebrando templo sepulchrum; et hinc per evangelicum virum Cyrillum scilicet, illum pietatis propugnatorem, et praedicatorem a templis evangelistarum evangelistis moribus coaequales transtulit martyres, et apostolorum vicinos constituit: nam eos evangelistis vel apostolis separandos non duxit, quia nequaquam virtutis diversitas, inter eos separationem induxit.

ιε. Ἀλλὰ τὰ μὲν πολλοῖς ὕστερον χρόνοις ἐπράττετο, Θεοδοσίου τοῦ μικροῦ βασιλεύοντος καὶ Κυρίλλου τοῦ μεγάλου τὸν Ἀλεξανδρείας θρόνον ἰθύνοντος· πρώην δὲ ἤδη τοῦ θεοῦ καὶ πατρὸς τὸ ἀνθρώπινον γένος οἰκτείραντος ἀπάτῃ δαιμόνων φθειρόμενον, καὶ εἰς γῆν ἐλεεινῶς εἰλυσπώμενον ἐν σκότει φρενῶν πορευόμενον τῇ κτίσει λατρεῦον παρὰ τὸν κτίσαντα, καὶ δι' υἱοῦ δεδωκότως θεσμὸν εἰς βοήθειαν, καὶ τοὺς δεδομένους νόμους διὰ τῆς ἐντολῆς, μᾶλλον δὲ διὰ τῆς ἀνθρωπίνης πρὸς τὰ πάθη ῥοπῆς ἀσθενήσαντος, καὶ μὴ δυναμένου σώζειν ἐκείνους δι' οὓς καὶ δι' ἀγγέλων ἐδεδώρητο καὶ χειρὶ μεσίτου Μωϋσέως ἐπεθέπιστο· ἤδη δὲ πάλιν μετὰ

15. Sed ista quidem multa post tempora gerebantur, Theodosio videlicet minore imperatore, et magno Cyrillo sedem Alexandriae moderante, cum videlicet iam primum Deus et pater humani generis fuisset misertus, quod seductione daemonum periebat, et in terrae caeno miserabiliter volutabatur, in tenebrisque sensuum ambulabat, et creaturae magis quam creatori serviebat, per filiumque legem in adiutorium tribuisset; et attributa lex, per mandatum immo per humanum et proclivem ad vitia nutum, infirmata fuisset et non posset illos salvare, propter quos etiam per angelos data et in manu mediatoris, id est Moy-

νόμον καὶ τὸν νομοθέτην Χριστὸν γεννώμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμου, ἐκπεμψάντος τὸν ἐκ τῆς πατρικῆς αὐτοῦ φύσεως γεννητῶς ἀνατείλαντα, καὶ δι' οὗ τὰ πάντα πεποίηκεν, τὸν ἀϊδίως αὐτῷ συνεδρεύοντα καὶ τῆς οὐκ ἀϊδίου συνδεσπόζοντα κτίσεως· ἤδη δὲ καὶ αὐτοῦ τοῦ δεσπότου Χριστοῦ τὴν εἰς ἡμᾶς οἰκονομίαν τελέσαντος, καὶ τῆς αὐτοῦ σωτηριώδους ἐνανθρωπήσεως τὸν σκοπὸν ἐκπληρώσαντος, καὶ τὸ πρὶν ἀπολωλὸς διασώσαντος πρόβατον, καὶ τοῖς ἰδίοις ὤμοις ὀχούμενον τῷ πατρὶ προσενέγκαντος, καὶ μᾶλλον ἐπ' αὐτῷ ἢ ἐπὶ τοῖς ἐνενήκοντα ἐννέα τοῖς οὐ παθοῦσιν τὴν ἀπώλειαν χαίροντος· ἤδη δὲ τὴν εἰς οὐρανὸν ἡμῖν καινίσαντος ἄνοδον, καὶ

si, lata fuerat: et rursus cum iam post legem, etiam legis latorem filium scilicet factum ex muliere, factum sub lege misisset, qui ex paterna ipsius natura ortus est, et per quem omnia fecit, quique perpetuo cum illo considet, secumque nihilominus creaturae non perpetuae dominatur; et cum iam et ipse dominus Christus erga nos dispensationem complesset, et inimicum celeriter quidem dispoliasset, velociter autem depraedatus fuisset, et ovem quae ante perierat salvam fecisset, patrique propriis vectam humeris sustulisset, et magis super eam quam super nonaginta novem quae non perierant gratulatus fuisset; iamque cum

τὴν εἰς παράδεισον ἀνοίξαντος εἴσοδον, καὶ τὴν ἐκ τάφου δεδωκότος ἀνάστασιν· ἤδη σωτηρίαν ἐν μέσῳ τῆς γῆς πρυτανεύσαντος, καὶ τὴν σαλευομένην κραταιώσαντος θάλατταν, καὶ τῶν ἐν αὐτῇ δρακόντων τὰς κεφαλὰς καταθλάσαντος, καὶ ἀγκιστρωτὸν πολυκέφαλον ἄξαντος δράκοντα· ἤδη τὴν διαβολικὴν ἀπάτην αὐτοῦ καὶ τὸ πρόσωπον ἐκκαλύψαντος, καὶ εἰς πτύξιν τὰ κρύφια τοῦ θώρακος εἰσελάσαντος, καὶ δεδωκότος ἡμῖν ἐπάνω πατεῖν ὄφεων καὶ σκορπίων καὶ πάσης αὐτῶν τῆς δυνάμεως· ἤδη δὲ πάλιν περιθέντος Χριστοῦ φορβειὰν ἐπὶ ῥῖνα τοῦ δράκοντος, καὶ κρίκον τοῖς μυκτῆρσι προσδήσαντος, καὶ τὰ χείλη ψελλίῳ τρυπήσαντος, εἰληφότος τε αὐτὸν τὸν

in caelum nobis ascensum innovasset, et paradisi aditum reserasset et resurrectionem ex sepulchro dedisset; rursusque cum salutem in medio terrae dispensasset, et mare quod commovebatur firmasset, et draconum qui in eo erant capita confregisset, hamoque inde draconem illum qui erat multorum capitum eduxisset, diaboli etiam seductionem, quae ipsius quoque indumenti facies est, detexisset, et faciei eius portas aperuisset, supraque serpentes et scorpiones omnemque virtutem eorum calcare dedisset: cumque iterum Christus iam capistrum circa draconis nasum imposuisset, et circulum in naribus alligasset, et ar-

ἀποστάτην καὶ φυγάδα δοῦλον γενόμενον, καὶ δεδεμένον ἡμῖν ὥσπερ στρουθίον παιδίῳ λαῷ τῷ τοῦ Χριστοῦ νηπιάζοντι νείμαντος· ἤδη δὲ πεπτωκότος ἑωσφόρου τοῦ πρωῒ ἀνατέλλοντος, καὶ τῆς ἐν οὐρανοῖς ἐλασθέντος οἰκήσεως, καὶ οἰκεῖν προσταττομένου τὴν ἄβυσσον· ἤδη δὲ λοιπὸν καὶ τοῦ τῶν ἀποστόλων κηρύγματος τὴν οἰκουμένην φωτίσαντος, καὶ τοῦ τῶν ἁλιέων δικτύου τὸν κόσμον ζωγραφήσαντος, καὶ τοῦ σκυτοτομικοῦ σμίλακος τὴν ἀναίσθητον πλάνην ἐκτεμόντος, καὶ πανταχοῦ τὸ σεπτὸν εὐαγγέλιον διαγγέλλοντος, καὶ πάσης σαρκὸς ὁρώσης θεοῦ τὸ σωτήριον· ἤδη δὲ τῆς τοῦ θεοῦ βασιλείας ἐξ

milla labia perforasset; cumque apostatam et fugitivum factum, servum sempiternum accepisset, atque nobis vinctum quasi passerem, puero, populo scilicet, quia in ipso Christo parvulus est, tribuisset; sed et cum iam lucifer qui mane oriebatur cecidisset, et ab hominum habitatione pulsus, habitare iussus apud abyssum fuisset; quin et cum iam apostolorum praedicatio terrarum orbem illuminasset (1), et sutorio scalpro insensatum errorem recidisset; et ubique sanctum evangelium praedicasset, omnisque caro salutare Dei vidisset; nec non cum iam et regnum Dei a Iu-

(1) *Adde ex graeco*: et verriculum piscatorum mundam venatum esset.

ἰουδαίων ἀρθείσης τοῖς ἔθνεσιν τοῖς ὥριμον αὐτοῖς τὸν καρπὸν Θεῷ τῷ δεδωκότι προσφέρουσιν, καὶ τοῦ δεσποτικοῦ ἀμπελῶνος τοὺς περὶ τὴν ἑνδεκάτην ὥραν ἐργάτας ἀμπελοφύλακας ἔχοντος· καὶ τοῦ πεσόντος εἰς εὔγαιον ἄρουραν σπέρματος τὴν καλὴν αὔξοντος αὔξησιν· καὶ τὴν καρποφορίαν ἐν ἑκατὸν καὶ ἑξήκοντα καὶ τριάκοντα, Θεοῦ διδόντος τῷ σπείραντι· καὶ πάντων πάντα πωλούντων τὰ ἴδια, καὶ λαμβανόντων ἀντὶ πάντων τὸν πολύτιμον μάργαρον· καὶ τῶν ὑψιπετῶν ὀρνέων ἐπὶ τοὺς κλάδους σκηνούντων τοῦ βραχυσπόρου συνάπεως.

ιϛ. Πάλιν ὁ δράκων ὁ σκολιὸς τὴν κεφαλὴν τῷ σταυρῷ συνθλασθεὶς τὸ οὐραῖον ἐσάλευεν·

daeis ablatum, et gentibus datum fuisset, quae fructum in tempore suo Deo qui dedit offerunt, et in dominica vinea eos qui circa undecimam horam venere custodes et operarios habuisset, et semen quod in bonam terram ceciderat, bono incremento crevisset, fructusque oblationem per singula, centum vel sexaginta, sive triginta, Deo qui seminavit dedisset, omnesque omnia sua vendidissent, et pretiosum margaritum pro omnibus accepissent, ad celsaque volantes aves supra ramos parvi seminis, sinapis scilicet, habitassent;

16. Iterum tortuosus draco per crucem capite conquassatus caudam movebat, et hoc modo de-

καὶ ταύτῃ φοβεῖν τοὺς εὐσεβοῦντας ἐνόμιζεν· πάλιν ὁ νυκτερινὸς σπορεὺς σκότος ἐξ ἑωσφόρου γενόμενος, ἐν σκότῳ σπείρειν τὰ ἴδια προσεπόθει ζιζάνια· πάλιν τὰ πετεινὰ τὰ οὐράνια τὸ παρὰ τὴν ὁδὸν ἐκ τοῦ καλοῦ σπορέως πεσὸν κατεσθίειν ἠβούλοντο· πάλιν ὁ τὴν Εὔαν πλανήσας συρίγματι, καὶ τὸν Ἀδὰμ ποιήσας ἀντίθεον, ὁ τὸν Ἄβελ φονεύσας ὡς δίκαιον, καὶ τὸν Κάϊν ἀδελφοῦ φονέα τευξάμενος, ὁ τὸν πάλαι λαὸν ποιήσας φιλόσαρκον καὶ ἀπολέσθαι παρασκευάσας δι' ὕδατος· ὁ τὸν Χὰμ τελέσας ἐπάρατον, καὶ τοῖς ἐν Χανάνῃ τὴν τῶν γλωσσῶν ἐπαρτήσας διαίρεσιν· ὁ τοῖς ἀνθρώποις πληθύ-

terrere pie agentes existimabat : iterum nocturnus sator, tenebrae ex lucifero factus, in tenebris seminare sua desiderabat zizania ; iterum caelestes volucres semen quod secus viam, ex bono satore ceciderat, devorare volebant ; iterum qui temptat eos, qui sunt Christi, qui temptatus est et vicit, temptare gestiebat ; iterum draco qui sibilo suo Evam seduxit, et Adam Deo fecit contrarium, qui Abel occidit ut iustum, et Cain fratricidam operatus est, qui antiquum populum carnis fecit amatorem, et egit ut per aquam periret; qui Cham maledictum patravit, et his qui in Chalanne (1) reperti sunt linguarum consummavit

(1) *In codicis margine* Chanahari

τας τὰ εἴδωλα, καὶ Θεοῦ χωρίσας τοῦ κτίσαντος· ὁ τὸν Ἰσραὴλ δείξας ἀχάριστον, καὶ τὸν Φαραὼ σκληρὸν καὶ ἀτίθασσον, καὶ τὸν μὲν ἀπολέσθαι ποιήσας εἰς ἔρημον, τὸν δὲ θαλάττιον εἰς ἀμείλικτα κύματα· ὁ τοὺς ἰουδαίους νόμῳ καὶ προφήταις ἀπειθεῖς ἐργασάμενος, καὶ τοῖς τῶν ἐθνῶν ὑποτάξας βδελύγμασιν· ὁ φθονῆσαι Χριστῷ τοῖς ἑβραίοις ἐνθέμενος, καὶ σταυρῶσαι τὸν σώζειν αὐτοὺς ἀφικόμενον· ὁ τὴν αὐτοῦ συκοφαντεῖν ἀναπείσας ἀνάστασιν, καὶ ταύτης διώκειν καὶ φονεύειν τοὺς κήρυκας.

ιζ. Ὁ τούτοις ἅπασιν οὐκ ἀρκούμενος, Κῦρον ὕστερον ἐπολέμει καὶ Ἰωάννην τοὺς μάρτυρας ἐν καιρῷ διωγμῶν ἀναλάμψαντας, καὶ Χρι-

divisionem, qui multiplicavit hominibus idola, et a Deo separavit qui creaverat; qui Israëlem ingratum et Pharaonem durum atque immitem exhibuit, et alterum quidem perire fecit in eremo, alterum vero in maris immitibus fluctibus; qui Iudaeos legi et prophetis inobedientes fecit, gentiumque subiecit abhominationibus; qui invidere Christo Hebraeis suasit, et crucifigere qui venerat ut salvaret illos; qui ipsius persuasit accusare resurrectionem, et huius persequi et occidere praedicatores;

17. Qui his omnibus minus contentus, Cyrum postmodum et Iohannem martyres debellabat, per-

στοῦ στρατιώτας ὑπάρχοντας· ἀλλ' ἡττᾶτο πρὸς κέντρα λακτίζων ὁ δείλαιος, καὶ ἀνικήτοις συμβάλλων εἰς πόλεμον· ἐσπᾶτο μὲν γὰρ ῥομφαῖαν ἀστράπτουσαν, ἀλλ' οἱ γενναῖοι ταύτην αὐτοῦ τῇ καρδίᾳ ἐνέπισσον, καὶ τόξον ψυχοφθόρον ἐτάνυον, ἀλλὰ τοῦτο θᾶττον πρὸ τῆς τῶν μελῶν ἀπολύσεως ἅμα βραχίοσι τοῖς τετακόσιν συνέτριβεν· καὶ λάκκον ὤρυττεν, ἀλλ' ἑαυτῷ τοῦτον καὶ οὐ τοῖς ἀντιπάλοις ὤρυττεν μάρτυσι· τέλος δὲ τούτοις ἀποκαμὼν τοῖς συγκρούσμασιν καὶ πάλιν πολεμεῖν μὴ δυνάμενος, τοῖς τότε τιμῶσιν αὐτοῦ προστάγματα παραδίδωσιν, ἵνα ταῖς τούτων μιαιφόνοις χερσὶν αἰκιζόμενοι, καὶ

secutionum tempore resplendentes, et Christi milites existentes. Sed superabatur, contra stimulos calcitrando miserrimus cum invictis praefictos * aggressus in proelio. Etenim exhibebat quidem romphaeam fulgurantem, sed fortes isti hanc eius infigebant cordi: et arcum animae noxium intendebat, sed hunc maturius quam sagittarum foret emissio, una cum brachiis quae tetenderant conterebant; et lacum effodiebat, sed sibi hunc et non suis contrariis, id est martyribus, effodiebat. Ad extremum vero fatigatus congressionibus istis, et iterum pugnare non valens, his tunc eos tradidit, qui eius cernebantur honorare praecepta, quatenus horum truculentis manibus verbe-

* *cod.* um.

τὴν τῶν βασάνων βίαν οὐ φέροντες, θυσιας αὐτῷ καὶ σπονδὰς προσενέγκωσιν, καὶ θεὸν αὐτὸν σὺν τοῖς ἄλλοις κηρύξωσι δαίμοσιν· ἢ ταῦτα ποιεῖν μὴ βουλόμενοι, τῆς παρούσης ζωῆς ὑπομένωσι στέρησιν· τοῦτο δὲ δράσας ὁ τάλας ἠγνόησεν ὡς τοῖς μὲν ἁγίοις ζωὴν προξενήσειεν κρείττονα, καὶ στεφάνους τέλος οὐκ ἔχοντας, ἑαυτῷ δὲ θάνατον ἧτταν τε μείζονα καὶ πληγὴν αἰσχύνης ἀνάπλεον.

ιη. Συνελαμβάνοντο μὲν γὰρ ὑπὸ τῶν ἀθέων οἱ ἔνθεοι, Διοκλητιανοῦ τῆς ῥωμαίων ἀρχῆς βασιλεύοντος, Συριανοῦ δὲ τῆς ἀλεξανδρέων ἄρχοντος πόλεως, καὶ Κασσίου τῆς ἑλληνικῆς

rati, cum tormentorum vim ferre non possent, sacrificia ei offerrent atque libamina, Deumque illum cum aliis praedicarent daemonibus; aut si haec facere noluissent, instantis sustinerent vitae iacturam. Hoc autem gerens infelix, ignorabat quod sanctis quidem meliorem vitam et coronas non habentes finem conciliaret; sibi autem mortem superatione maiorem, et plagam confusione refertam.

18. Denique comprehendebantur quidem ab his qui sine Deo erant, hii qui cum Deo conversabantur, Diocletiano videlicet qui romani principatus tenebat imperium, et Syriano qui Alexandriae praeerat civitati, atque Cassio qui gen-

* supple ἄθλησιν. ἐν Κανωβῷ μανίας ἱερατεύοντος· μετὰ τὴν * Πέτρου τοῦ θείου τῶν εὐσεβῶν ἐν Ἀλεξανδρείᾳ ποιμάναντος, ὁ μὲν πρὸς ἀνθρώπους ὠμοὺς καὶ ὠμαῖς κεχρημένους ταῖς μάστιξιν, οἱ δὲ πρὸς τὸν τούτους παροτρύνοντα δράκοντα· συνελαμβάνοντο δὲ οὐ μόνον τοῖς κτείνουσιν, ἦν γὰρ ἂν οὗτος ὁ ἀγὼν αὐτοῖς ἐλαφρότερος καὶ οὐ πλείστην ἔχων τὴν μέριμναν, ἀλλὰ καὶ παρθένων αὐτοῖς ἁγίων χορὸς συνκατείχετο, τρεῖς γὰρ ἐτύγχανον καὶ μήτηρ ἡ ταύτας εὐσεβῶς καὶ σωφρόνως βλαστήσασα, ψυχὰς ἁγνισαμένων καὶ σώματα, καὶ Χριστῷ τῷ οὐρανίῳ νυμφίῳ μνηστευσαμένων ἀμφότερα· ὧν ταῦτα μὲν ἦν ὡς φασὶ τὰ ὀνόματα· Θεοκτίστη μὲν ἡ πρωτόγονος,

tilis penes Canopum vesaniae sacerdotio fungeretur. Post Petri divini et piorum apud Alexandriam pastoris insigne certamen, (duplex ab eis
* deerat in gr. bellum ebulliebat *) alterum quidem adversus homines crudeles, et crudeliter flagellis utentes, alterum vero adversus hos concitantem draconem: comprehendebantur autem non soli ab interfectoribus, erat enim taliter eis certamen levius, et non multam habens sollicitudinem, sed et virginum chorus cum illis retinebatur; tres enim erant, et mater quae has pie et pudice germinaverat, dum scilicet animas et corpora caste Christo caelesti sponso utraeque regerent disponsatae.

ἔτος ἡλικίας πέντε καὶ δέκατον ἄγουσα· ἡ δὲ μετ' αὐτὴν Θεοδότης προσηγορεύετο, εἰς ἔτος ἀφικομένη τρίτον καὶ δέκατον. Εὐδοξία δὲ ἡ τεχθεῖσα μετὰ τὰς ἀμφοτέρας ἐλέγετο, ἑνὸς δὲ αὐτὴ καὶ δεκάτου ἔτους ἐτύγχανεν. Ἀθανασίαν δὲ καὶ τὴν ῥίζαν ὠνόμαζον τὴν τὸ παρθενικὸν τοῦτο καὶ τρίκλονον δένδρον προσενέγκασαν καὶ τοὺς πανάγνους ἀστάχυας εἰσθρέψασαν ἄρουραν· αὗται Κανωβῷ μὲν ᾤκουν τὸ πρότερον, ἔτι κατὰ γῆν διατρίβουσαι, καὶ τὸ τῆς παρθενείας διατρέχουσαι στάδιον· νῦν δὲ τὸν οὐρανὸν αὐτὸν σὺν τοῖς μάρτυσιν ὑπὲρ εὐσεβείας ἀθλοῦσιν συνήθλησαν.

Quarum haec erant ut aiunt vocabula, Theoctiste quidem primogenita, quae annum quintum decimum aetatis agebat; quae vero post hanc erat, Theodote appellabatur, tertium decimum annum transigens; quae autem post has utrasque nata est, dicebatur Eudoxia, unius enim haec et decimi erat anni. Athanasiam quoque nominabant radicem quae virginalem hanc et trium surculorum arborem protulit, et rus quod spicas castissimas aluit. Hae apud Canopum prius habitaverant, adhuc in terra conversantes et stadium simul virginitatis concurrentes; nunc autem caelum ipsum cum martyribus habitant, quoniam et cum martyribus pro pietate certantibus certaverunt.

ιθ. Προνοίᾳ δὲ τοῦ Χριστοῦ τοῦ νυμφίου γεγένηται, ἵνα ταῖς τῶν ἀθλητῶν καρτεραῖς ἀντιστάσεσιν στομωθῶσιν ἀσθενέστερα γύναια, καὶ τοῖς νυμφοστόλοις αἱ νύμφαι εἰς νυμφῶνα τὸν οὐράνιον συνεισέλθωσιν· πληροῦται δὲ τοῦ νυμφίου τὸ βούλημα, καὶ ἅμα τούς τε νυμφαγωγοὺς καὶ τὰς νύμφας ταῖς οὐρανίαις ἐκδέχεται παστάσεσιν· ἐνταῦθα μοι τὴν τῶν μαρτύρων βλέπετε μέριμναν, καὶ τὴν ὑπὲρ ἄλλων ἐν τοιούτῳ καιρῷ φροντίδα στοχάσασθε· οὐ μόνον γὰρ ὑπὲρ ἑαυτῶν ἠγωνίουν οἱ ἅγιοι, ἀλλὰ κἀκείνων ἕνεκεν οὐχ ἧττον ἑαυτῶν ἐδεδοίκεισαν· εἰ μὴ τῆς σφῶν αὐτῶν ὀλιγότητι, κἀκείνων αἴτιοι γένωνται πρὸς ἀσέβειαν· ἆρα γὰρ πρὸς πόσα τὸν

19. Providentia praeterea hoc Christi sponsi factum est, ut athletarum perseveranti resistenti constantia, infirmiores acuerentur mulierculae, et cum paranymphis sponsae in caelestem thalamum pariter introirent; impletur autem sponsi voluntas, et una cum paranymphis, sponsas quoque in caelestibus admittit cubiculis. Hic mihi martyrum aspicite curam, et pro aliis in tali tempore sollicitudinem contemplamini; non enim tantum pro se sancti agonizabant, sed et propter illas nil minus quam propter se formidabant, ne pusillanimitate sua, et illarum quoque ad impietatem efficerentur auctores. Siquidem, rogo, ad

τότε καιρὸν οἴεσθε μερίζειν αὐτῶν τὴν διάνοιαν; ἆρα πρὸς πόσους ἀφανεῖς λογισμοὺς παλαίειν αὐτοὺς τότε νομίζετε; ἆρα πρὸς πόσαις τότε προσβολαῖς τοῦ φθονεροῦ καὶ μισοκάλου προσεπλέκοντο δαίμονος; ὁ μὲν γὰρ διάβολος τὴν παροῦσαν ἴσως αὐτοῖς ζωὴν ὑπετίθετο, καὶ ὡς ἴδιον τὸ τοῦ κόσμου θεόκτιστον σχῆμα διέγραφεν, ἥλιον γλυκὺν ὁρᾷν ἀνατέλλοντα, σελήνην τε βλέπειν σὺν ἄστρασι τὸν οὐρανὸν καλλοπίζουσαν, ἀέρων τε προσηνῶν ἔχειν ἀνάπνοιαν, καὶ γῆν πατεῖν τὴν παμποίκιλον, θάλατταν πλεῖν τὴν εὐρύχωρον, καὶ κρήναις καὶ ποταμοῖς ἐπιτέρπεσθαι, ἄνθεσι καὶ λειμῶσι τῆς γῆς ἐπαγάλλεσθαι, καὶ τῶν ἐκ τούτων καρπῶν τὴν ἀπό-

quot per idem tempus divisam eorum fuisse opinamini mentem? vel adversus quot invisas cogitationes eos tunc extitisse luctatos arbitramini? aut quot putatis invidi et odientis bonum daemonis adnectebantur immissionibus? diabolus enim praesentem vitam eis forte pollicebatur, et a Deo creatam mundi figuram quasi propriam ascribebat, id est dulcem videre solem oriri, lunamque cum stellis aspicere venustantem et noctis tenebras illustrantem, aërisque desiderabilis habere respirationem, et terram calcare pervariam, mare navigare spatiosum, fontibus ac fluminibus delectari, super floribus terrae et campis odoriferis

λαυσιν δρέπεσθαι· θαλαττίοις γοναῖς ἐντρυφᾶν, καὶ τὰς ἐκ ποταμῶν καρποφορίας κορέννυσθαι· ἀεροδρόμοις πτηνοῖς διατρέφεσθαι, καὶ ζώων ἐδωδίμων ἔχεσθαι βρώσεως.

κ. Καὶ ταῦτα μὲν ὁ διάβολος ἴσως ὑπέβαλλεν, καὶ πολλάκις αὐτὰ καὶ πρὸ τῶν παρόντων ἀγώνων ἰσχύνετο· τὴν γὰρ ἔξοδον τοῦ βίου τηρῶν ὁ ἀναίσχυντος, τάχα γὰρ ταύτην διὰ τῆς πτέρνης τὸ θεῖον ᾐνίξατο λόγιον, ὡς ἐνθάδε διάγωμεν, τῶν ἰδίων προσβολῶν οὐκ ἀφίσταται, καὶ εἰς ἀεὶ προσερχόμενος καταισχύνεται· οἱ δὲ τούτου πρόμαχοι καὶ τῆς αὐτοῦ κακίας θεράποντες, Συριανὸς ἦν ὁ θεήλατος καὶ οἱ σὺν αὐτῷ μυσαρῶς ἑλληνίζοντες βασιλικοῖς ὑπηρε-

exultare, et ex his fructuum refectionem carpere, marinis foetibus (frui), et ex fluminibus productis fructificationibus saturari, per aëra discurrentibus volatilibus aleri *, et habilium escam animalium persequi.

* ita cod.

20. Et haec quidem diabolus forsitan suggerebat, licet multoties ea et ante praesentes agones offerendo, confunderetur. Exitum quippe vitae observabat impudentissimus, et forte hunc per calcaneum, divinum videtur innuere eloquium: donec quippe hic degere noscimur, a propriis ille non cessat insidiis, et semper accedens confunditur. At vero huius propugnatores et ipsius mali-

ποῦντες προστάγμασιν, βασάνων μὲν ἀνοχὴν ὑπηγόρευον, καὶ τῶν ἠπειλημένων θανάτων ψυχοκτόνον ἀνάλυσιν, πλοῦτόν τε ἐπηγγέλλοντο, καὶ ἀξίας παρέχειν ἐπώμνυντο, καὶ πολιτάρχαις ἐγγράφειν ἀπήγγελλον, καὶ Διοκλητιανῷ καίσαρι γνωρίμους ποιεῖν ἰσχυρίζοντο, εἰ ταῖς αὐτῶν πεισθεῖεν κελεύσεσιν, καὶ σέβειν σὺν αὐτοῖς μᾶλλον δὲ δυσσεβεῖν ἀναισχύντων ξοάνων καὶ δαιμόνων μορφώμασιν, μᾶλλον δὲ δυστήνων ἀνθρώπων προσάγειν προσκύνησιν, καὶ θεοὺς ἀποκαλεῖν ξύλα κωφὰ καὶ ἀναίσθητα, καὶ πρὸς τροφὴν μόνον πυρὸς χρησιμεύοντα· πυρὶ γὰρ

tiae famuli Syrianus erat divinitus fulminandus, et qui cum eo execrabiliter paganorum ritibus serviebant, imperialiumque praeceptorum ministri; tormentorum quidem indutias denegabant, minitantesque mortis resolutionem quae animas perimeret, et divitias promittebant, (et dignitates traditaros iureiurando affirmabant (1)) et inter principes urbium inscribere pollicebantur, et Caesari Diocletiano notos facere affirmabant, si eius dumtaxat iussionibus obedissent, et colere cum illis, immo vero impie agendo colere idola paterentur, ac daemonum formis, magis autem detestabilium hominum, adorationem obtulissent, et Deos ligna muta et insensibilia, atque ad escam

(1) Haec desunt in codice latino.

αὐτὰ παραδίδοται, καὶ τοὺς οἰκείους ἐφέλκεται τέκτονας· καὶ ταῦτα μὲν ἐκεῖνοι καὶ τούτων ἔλεγον πλείονα.

κα. Οἱ δὲ μάρτυρες τῶν τοῦ σωτῆρος φωνῶν ἀεὶ μνημονεύοντες, καὶ τῶν αὐτοῦ μαθητῶν ἀεὶ μελετῶντες τὰ ῥήματα, τούτοις τῶν ἀντιπάλων τὰς προσβολὰς ἀπεκρούοντο· ἡμεῖς γὰρ, ἔλεγον, ὦ δικαστὰ, τὰς σὰς ὑποσχέσεις καὶ δωρεὰς καὶ τὰς τοῦ λαλοῦντος δι' ὑμῶν καὶ προστάττοντος, ὡς βλαβερὰς παραιτούμεθα μᾶλλον καὶ οὐκ ἐπωφελεῖς· τί γὰρ ὠφεληθήσεται ἄνθρωπος ἐὰν ὅλον τὸν κόσμον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; ἢ τί δώσει τῆς ψυχῆς αὐ-

tantummodo ignis utilia nuncupassent. Igni namque tam ipsa traditis, quam proprios fabricatores attrahitis. Et haec quidem illi, et his plura, dicebant.

21. At vero martyres vocum semper memores Salvatoris, ac discipulorum ipsius verba iugiter meditantes, huiuscemodi hostium impetum retundebant: nos enim, dicebant, o iudex, repromissa et dona tam tua quam eius qui per vos praecipit loquens, ut noxia et non profutura respuimus. Quid enim proficiet homo, si totum mundum lucretur, animae vero suae detrimentum patiatur? aut quam dabit homo commutationem pro anima sua? aut quid proderunt substantiae

τοῦ τίς ἀντάλλαγμα; ἢ τί ὀφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ; ἢ τί δώσει τίς ἀντάλλαγμα ἢ τῷ Θεῷ ἐξίλασμα ἑαυτῷ, εἰς τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ; ἐπὶ τὸ αὐτὸ γὰρ ἄφρων καὶ ἄνους ἀπωλοῦνται, καὶ καταλείψουσιν δὲ καὶ ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν· οὔτε γὰρ ἡ δόξα αὐτῶν εἰς ᾅδην αὐτοῖς συνκατέρχεται, ἀλλ' ὁ τάφος αὐτῶν αἰώνιος οἰκία αὐτοῖς γενήσεται· καὶ οὐρανὸς μὲν ὡς γεννητὸς παρελεύσεται, καὶ ὡσεὶ περιβόλαιον παλαιούμενον ἀλλαγήσεται· χρονικὴν γὰρ ἔχων τὴν σύμπηξιν, χρονικὴν καὶ τὴν λύσιν εἰσδέξεται, ὅτ' ἂν Θεὸς ὁ τοῦτον ὡσεὶ δέῤῥιν ἐκτείνας κελεύσειεν· ὁ ἥλιος δὲ σκοτισθήσεται, καὶ ἡ σελήνη

in die furoris? aut quam dabit quis propitiationem suam, aut pretium redemptionis animae suae? Nam simul quidem insipiens et stultus peribunt; relinquent autem alienis divitias suas; neque enim gloria eorum in infernum cum illis descendet, sed sepulchrum eis aeterna domus efficietur; et caelum quidem utpote factum transibit, et sicut amictus veterescens mutabitur, temporalem enim habens compaginem, temporalem quoque solutionem accipiet, cum Deus qui id sicut pellem extendit, praeceperit; sol autem obtenebrabitur, et luna non dabit lumen suum, cum is qui illum quidem in potestatem fecit diei, hanc vero in po-

σὺ δώσει τὸ φέγγος αὐτῆς, ὅτ' ἂν τὸν μὲν εἰς ἀρχὰς ποιήσας τῆς ἡμέρας, τὴν δὲ εἰς ἀρχὰς τῆς νυκτὸς, ἀποφήνηται· ἀστέρες δὲ ὡς φύλλα συκῆς τῆς αἰθερίας ἀψῖδος ἐκπέσουσιν, ὅτ' ἂν θεὸς ὁ εἰς σημεῖα καὶ καιροὺς αὐτοὺς θέμενος βούληται· γῆ δὲ καὶ τὰ ἐν αὐτῇ πάντα ἡ ἐξ ὕδατος καὶ δι' ὕδατος λόγῳ θεοῦ δεξαμένη τὴν σύστασιν παύσηται, ὅτ' ἂν ἐθέλοι θεὸς ὁ μὴ εἰς κενὸν ποιήσας αὐτὴν ἀλλ' εἰς ἀνθρώπων κατοίκησιν· ἥξει γὰρ ἡ ἡμέρα κυρίου ὡς κλέπτης, ἐν ᾗ οἱ οὐρανοὶ ῥοιζηδὸν παρελεύσονται· στοιχεῖα δὲ καυσούμενα λυθήσεται, καὶ γῆ καὶ τὰ ἐν αὐτῇ ἔργα κατακαήσεται, καινοὺς δὲ οὐρανοὺς καὶ καινὴν γῆν, καὶ τὰ ἐπαγγέλματα αὐτῷ προσ-

testatem noctis, pronuntiaverit. Stellae vero sicut folia ficus ab aetheria cadent abside, cum Deus voluerit, qui in signa eas et tempora posuit: praeterea terra quae de aqua, et per aquam verbo Dei stabilitatem suscepit, cum ominibus quae in ea sunt cessabit, cum voluerit Deus, qui non in vacuum fecit eam, sed in hominum habitationem: adveniet enim dies Domini sicut fur, in quo caeli magno impetu transibunt, elementa vero calore solventur, et terra et quae in ea sunt opera comburetur: novos autem caelos et novam terram secundum ipsius promissa expectamus: quae enim videntur, temporalia sunt; aeterna vero, quae

δοκῶμεν· τὰ γὰρ βλεπόμενα, πρόσκαιρα· αἰώνια δὲ, τὰ μὴ βλεπόμενα· ἅπερ ἀεὶ λογιζόμενοι, καὶ δι' ἐνθυμήσεως ἔχοντες, καὶ κλῆρον ἴδιον ἔχειν πιστεύοντες, ἄσπιλοι θεῷ καὶ ἀμώμητοι εὑρεθῆναι σπουδάζομεν· δι' ὃ τὰς βασάνους ὑμῶν οὐ φοβούμεθα, καὶ τὰς ἀπειλὰς οὐ δεδοίκαμεν· μὴ φοβεῖσθαι γὰρ ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι, ἐμάθομεν· καὶ τὰς ὑποσχέσεις ὑμῶν βδελυττόμεθα, ὡς χωριζούσας θεοῦ καὶ συναπτούσας τοῖς δαίμοσιν· κρείττους γὰρ ἡμῖν ὑποσχέσεις Χριστὸς τῶν ὅλων δεσπότης δεδώρηται, κληρονομίαν ἄφθαρτον καὶ ἀμίαντον· καὶ ἀμόλυντον καὶ ἀμάραντον τετηρηκῆναι ἐν οὐρανοῖς, καὶ ἃ

non videntur. Quae semper pensantes, et per cogitationem habentes, et nos sortem propriam habituros credentes, immaculati Deo et inviolati satagimus inveniri. Et idcirco tormenta vestra non timemus, et minas vestras non formidamus: non timere namque ab his qui occidunt corpus, animam autem non possunt occidere, didicimus. Et repromissa vestra execramur, tamquam a Deo separantia, et daemonibus copulantia: meliores enim nobis repromissiones Christus hominum dominator donabit, hereditatem videlicet incorruptam, et incontaminatam et inmarcescibilem, conservatam in caelis; et quae oculus non vidit, nec au-

ὀφθαλμὸς οὐκ ἴδεν καὶ οὖς οὐκ ἤκουσεν καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν· ἐπιγείου φίλοι γενέσθαι βασιλέως οὐ θέλομεν, γένος ὄντες ἐκλεκτὸν, καὶ βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον χρηματίζοντες, καὶ λαὸς εἰς περιποίησιν· ἀξιώμασιν τοῖς παρ' ὑμῖν οὐκ ἀξιοῦμεν σεμνύνεσθαι, θεοῦ παῖδες ὑπάρχοντες, καὶ ἀξίας κατὰ τὸ μέτρον τῆς πίστεως ἔχοντες· πολιτάρχαις ὑμῶν οὐκ εὐψυχοῦμεν ἐγγράφεσθαι, οὐρανοπολῖται τυγχάνοντες, βίβλῳ ζωῆς ἀναγεγράφθαι πιστεύοντες· ὅθεν καὶ θαῤῥοῦμεν εἰπεῖν, τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; τοῦ ἐκ σκότους ἡμᾶς εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς μεταστήσαν-

ris audivit, et in cor hominis non ascenderunt, quae praeparavit Deus diligentibus se. Terreni amici imperatoris fieri nolumus, cum genus simus sanctum, regale sacerdotium, gens sancta vocati, et populus in acquisitionem. Dignitatibus, quae apud vos sunt, non poscimus decorari, pueri Dei existentes et dignitates secundum fidei mensuram habentes. Principes urbium vestrarum non anhelamus inscribi, cum simus caelestes cives, et nos inscribendos in libro vitae credamus; unde et praesumimus dicere, quis nos separabit a charitate Christi? qui de tenebris nos transtulit in admirabile lumen suum: qui propter nos pauper fa-

τος· τοῦ δι' ἡμᾶς σάρκα πτωχεύσαντος, ἵν' ἡμεῖς πλουτήσωμεν τὴν αὐτοῦ θεότητα· τοῦ θανέντος ὑπὲρ ἡμῶν, ἵνα θάνατον ἡμεῖς καὶ φθορὰν ἀποφύγωμεν· θλίψις τοῦ τὴν ἀνθρωπίνην φύσιν ῥυσαμένου τῶν θλίψεων; στενοχωρία τοῦ διὰ στενοπορίας ἡμᾶς εἰς τὴν ἀπερίγραφον αὐτοῦ βασιλείαν ἰθύνοντος; διωγμὸς τοῦ διωχθέντος δι' ἡμᾶς καὶ νικήσαντος τοὺς διώκοντας, καὶ μισθὸν ἡμῖν τοῖς δι' αὐτὸν διωκομένοις οὐρανῶν βασιλείαν δωρήσαντος; λιμὸς τοῦ τὴν ἡμετέραν σωτηρίαν πεινάσαντος, καὶ λιμώσσοντας ἡμᾶς καὶ μηδὲ χοίρων τροφαῖς εὐποροῦντας χορτάζεσθαι, τροφῶν ἀθανάτων ἐμπλήσαντος; κίνδυ-

ctus est, ut eius divinitate ditaremur: qui mortuus est pro nobis, ut mortem nos et corruptionem effugiamus; tribulatio eius, qui humanam naturam a tribulatione liberavit? an angustia eius, qui nos per angustum iter in incircumscriptum regnum suum introducit? an persecutio eius, qui persecutionem passus est propter nos, et vicit persequentes, et mercedem nobis qui propter ipsum persecutionem patimur caelorum regnum definiit? an fames eius, qui salutem nostram esurivit, et famem patientes nos, et nec porcorum escas, quibus satiaremur habentes, immortalibus escis replevit? An nuditas eius, qui in Adam misertus est nuditatis, et stola prima nos induit? an pe-

ιθ. Προνοίᾳ δὲ τοῦ Χριστοῦ τοῦ νυμφίου γεγένηται, ἵνα ταῖς τῶν ἀθλητῶν καρτεραῖς ἀντιστάσεσιν στομωθῶσιν ἀσθενέστερα γύναια, καὶ τοῖς νυμφοστόλοις αἱ νύμφαι εἰς νυμφῶνα τὸν οὐράνιον συνεισέλθωσιν· πληροῦται δὲ τοῦ νυμφίου τὸ βούλημα, καὶ ἅμα τούς τε νυμφαγωγοὺς καὶ τὰς νύμφας ταῖς οὐρανίαις ἐκδέχεται παστάσεσιν· ἐνταῦθα μοι τὴν τῶν μαρτύρων βλέπετε μέριμναν, καὶ τὴν ὑπὲρ ἄλλων ἐν τοιούτῳ καιρῷ φροντίδα στοχάσασθε· οὐ μόνον γὰρ ὑπὲρ ἑαυτῶν ἠγωνίουν οἱ ἅγιοι, ἀλλὰ κἀκείνων ἕνεκεν οὐχ ἧττον ἑαυτῶν ἐδεδοίκεισαν· εἰ μὴ τῆς σφῶν αὐτῶν ὀλιγότητι, κἀκείνων αἴτιοι γένωνται πρὸς ἀσέβειαν· ἄρα γὰρ πρὸς πόσα τὸν

19. Providentia praeterea hoc Christi sponsi factum est, ut athletarum perseveranti resistenti constantia, infirmiores acuerentur mulierculae, et cum paranymphis sponsae in caelestem thalamum pariter introirent; impletur autem sponsi voluntas, et una cum paranymphis, sponsas quoque in caelestibus admittit cubiculis. Hic mihi martyrum aspicite curam, et pro aliis in tali tempore sollicitudinem contemplamini; non enim tantum pro se sancti agonizabant, sed et propter illas nil minus quam propter se formidabant, ne pusillanimitate sua, et illarum quoque ad impietatem efficerentur auctores. Siquidem, rogo, ad

τότε καιρὸν οἴεσθε μερίζειν αὐτῶν τὴν διάνοιαν; ἆρα πρὸς πόσους ἀφανεῖς λογισμοὺς παλαίειν αὐτοὺς τότε νομίζετε; ἆρα πρὸς πόσαις τότε προσβολαῖς τοῦ φθονεροῦ καὶ μισοκάλου προσεπλέκοντο δαίμονος; ὁ μὲν γὰρ διάβολος τὴν παροῦσαν ἴσως αὐτοῖς ζωὴν ὑπετίθετο, καὶ ὡς ἴδιον τὸ τοῦ κόσμου θεόκτιστον σχῆμα διέγραφεν, ἥλιον γλυκὺν ὁρᾷν ἀνατέλλοντα, σελήνην τε βλέπειν σὺν ἄστρασι τὸν οὐρανὸν καλλοπίζουσαν, αέρων τε προσηνῶν ἔχειν ἀνάπνοιαν, καὶ γῆν πατεῖν τὴν παμποίκιλον, θάλατταν πλεῖν τὴν εὐρύχωρον, καὶ κρήναις καὶ ποταμοῖς ἐπιτέρπεσθαι, ἄνθεσι καὶ λειμῶσι τῆς γῆς ἐπαγάλλεσθαι, καὶ τῶν ἐκ τούτων καρπῶν τὴν ἀπό-

quot per idem tempus divisam eorum fuisse opinamini mentem? vel adversus quot invisas cogitationes eos tunc extitisse luctatos arbitramini? aut quot putatis invidi et odientis bonum daemonis adnectebantur immissionibus? diabolus enim praesentem vitam eis forte pollicebatur, et a Deo creatam mundi figuram quasi propriam ascribebat, id est dulcem videre solem oriri, lunamque cum stellis aspicere venustantem et noctis tenebras illustrantem, aërisque desiderabilis habere respirationem, et terram calcare pervariam, mare navigare spatiosum, fontibus ac fluminibus delectari, super floribus terrae et campis odoriferis

λαυσιν δρέπεσθαι· θαλαΐτίοις γοναῖς ἐνΊρυφᾷν, καὶ τὰς ἐκ ποταμῶν καρποφορίας κορέννυσθαι· ἀεροδρόμοις πτηνοῖς διατρέφεσθαι, καὶ ζώων ἐδωδίμων ἔχεσθαι βρώσεως.

κ. Καὶ ταῦτα μὲν ὁ διάβολος ἴσως ὑπέβαλλεν, καὶ πολλάκις αὐτὰ καὶ πρὸ τῶν παρόντων ἀγώνων ἰσχύνετο· τὴν γὰρ ἔξοδον τοῦ βίου τηρῶν ὁ ἀναίσχυνΊος, τάχα γὰρ ταύτην διὰ τῆς πτέρνης τὸ θεῖον ᾐνίξατο λόγιον, ὡς ἐνθάδε διάγωμεν, τῶν ἰδίων προσβολῶν οὐκ ἀφίσταται, καὶ εἰς ἀεὶ προσερχόμενος καταισχύνεται· οἱ δὲ τούτου πρόμαχοι καὶ τῆς αὐτοῦ κακίας θεράποντες, Συριανὸς ἦν ὁ θεήλατος καὶ οἱ σὺν αὐτῷ μυσαρῶς ἑλληνίζοντες βασιλικοῖς ὑπηρε-

exultare, et ex his fructuum refectionem carpere, marinis foetibus (frui), et ex fluminibus productis fructificationibus saturari, per aëra discurrentibus volatilibus aleri *, et habilium escam animalium persequi.

20. Et haec quidem diabolus forsitan suggerebat, licet multoties ea et ante praesentes agones offerendo, confunderetur. Exitum quippe vitae observabat impudentissimus, et forte hunc per calcaneum, divinum videtur innuere eloquium: donec quippe hic degere noscimur, a propriis ille non cessat insidiis, et semper accedens confunditur. At vero huius propugnatores et ipsius mali-

* ita cod.

τοῦντες προστάγμασιν, βασάνων μὲν ἀνοχὴν ὑπηγόρευον, καὶ τῶν ἠπειλημένων θανάτων ψυχοκτόνον ἀνάλυσιν, πλοῦτον τε ἐπηγγέλλοντο, καὶ ἀξίας παρέχειν ἐπώμνυντο, καὶ πολιτάρχαις ἐγγράφειν ἀπήγγελλον, καὶ Διοκλητιανῷ καίσαρι γνωρίμους ποιεῖν ἰσχυρίζοντο, εἰ ταῖς αὐτῶν πεισθεῖεν κελεύσεσιν, καὶ σέβειν σὺν αὐτοῖς μᾶλλον δὲ δυσσεβεῖν ἀναισχύντων ξοάνων καὶ δαιμόνων μορφώμασιν, μᾶλλον δὲ δυστήνων ἀνθρώπων προσάγειν προσκύνησιν, καὶ θεοὺς ἀποκαλεῖν ξύλα κωφὰ καὶ ἀναίσθητα, καὶ πρὸς τροφὴν μόνον πυρὸς χρησιμεύοντα· πυρὶ γὰρ

tiae famuli Syrianus erat divinitus fulminandus, et qui cum eo execrabiliter paganorum ritibus serviebant, imperialiumque praeceptorum ministri; tormentorum quidem indutias denegabant, minitantesque mortis resolutionem quae animas perimeret, et divitias promittebant, (et dignitates tradituros iureiurando affirmabant (1)) et inter principes urbium inscribere pollicebantur, et Caesari Diocletiano notos facere affirmabant, si eius dumtaxat iussionibus obedissent, et colere cum illis, immo vero impie agendo colere idola paterentur, ac daemonum formis, magis autem detestabilium hominum, adorationem obtulissent, et Deos ligna muta et insensibilia, atque ad escam

(1) Haec desunt in codice latino.

αὐτὰ παραδίδοται, καὶ τοὺς οἰκείους ἐφέλκεται τέκτονας· καὶ ταῦτα μὲν ἐκεῖνοι καὶ τούτων ἔλεγον πλείονα.

κα. Οἱ δὲ μάρτυρες τῶν τοῦ σωτῆρος φωνῶν ἀεὶ μνημονεύοντες, καὶ τῶν αὐτοῦ μαθητῶν ἀεὶ μελετῶντες τὰ ῥήματα, τούτοις τῶν ἀντιπάλων τὰς προσβολὰς ἀπεκρούοντο· ἡμεῖς γὰρ, ἔλεγον, ὦ δικαστὰ, τὰς σὰς ὑποσχέσεις καὶ δωρεὰς καὶ τὰς τοῦ λαλοῦντος δι' ὑμῶν καὶ προστάττοντος, ὡς βλαβερὰς παραιτούμεθα μᾶλλον καὶ οὐκ ἐποφελεῖς· τί γὰρ ὠφεληθήσεται ἄνθρωπος ἐὰν ὅλον τὸν κόσμον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; ἢ τί δώσει τῆς ψυχῆς αὐ-

tantummodo ignis utilia nuncupassent. Igni namque tam ipsa traditis, quam proprios fabricatores attrahitis. Et haec quidem illi, et his plura, dicebant.

21. At vero martyres vocum semper memores Salvatoris, ac discipulorum ipsius verba iugiter meditantes, huiuscemodi hostium impetum retundebant: nos enim, dicebant, o iudex, repromissa et dona tam tua quam eius qui per vos praecipit loquens, ut noxia et non profutura respuimus. Quid enim proficiet homo, si totum mundum lucretur, animae vero suae detrimentum patiatur? aut quam dabit homo commutationem pro anima sua? aut quid proderunt substantiae

τοῦ τίς ἀντάλλαγμα; ἢ τί ὀφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ; ἢ τί δώσει τίς ἀντάλλαγμα ἢ τῷ Θεῷ ἐξίλασμα ἑαυτῷ, εἰς τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ; ἐπὶ τὸ αὐτὸ γὰρ ἄφρων καὶ ἄνους ἀπωλοῦνται, καὶ καταλείψουσιν δὲ καὶ ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν· οὔτε γὰρ ἡ δόξα αὐτῶν εἰς ᾅδην αὐτοῖς συνκατέρχεται, ἀλλ᾽ ὁ τάφος αὐτῶν αἰώνιος οἰκία αὐτοῖς γενήσεται· καὶ οὐρανὸς μὲν ὡς γεννητὸς παρελεύσεται, καὶ ὡσεὶ περιβόλαιον παλαιούμενον ἀλλαγήσεται· χρονικὴν γὰρ ἔχων τὴν σύμπηξιν, χρονικὴν καὶ τὴν λύσιν εἰσδέξεται, ὅτ᾽ ἂν Θεὸς ὁ τοῦτον ὡσεὶ δέῤῥιν ἐκτείνας κελεύσειεν· ὁ ἥλιος δὲ σκοτισθήσεται, καὶ ἡ σελήνη

in die furoris? aut quam dabit quis propitiationem suam, aut pretium redemptionis animae suae? Nam simul quidem insipiens et stultus peribunt; relinquent autem alienis divitias suas; neque enim gloria eorum in infernum cum illis descendet, sed sepulchrum eis aeterna domus efficietur; et caelum quidem utpote factum transibit, et sicut amictus veterescens mutabitur, temporalem enim habens compaginem, temporalem quoque solutionem accipiet, cum Deus qui id sicut pellem extendit, praeceperit; sol autem obtenebrabitur, et luna non dabit lumen suum, cum is qui illum quidem in potestatem fecit diei, hanc vero in po-

σὺ δώσει τὸ φέγγος αὐτῆς, ὅτ' ἂν τὸν μὲν εἰς ἀρχὰς ποιήσας τῆς ἡμέρας, τὴν δὲ εἰς ἀρχὰς τῆς νυκτὸς, ἀποφήνηται· ἀστέρες δὲ ὡς φύλλα συκῆς τῆς αἰθερίας ἀψῖδος ἐκπέσουσιν, ὅτ' ἂν θεὸς ὁ εἰς σημεῖα καὶ καιροὺς αὐτοὺς θέμενος βούληται· γῆ δὲ καὶ τὰ ἐν αὐτῇ πάντα ἡ ἐξ ὕδατος καὶ δι' ὕδατος λόγῳ θεοῦ δεξαμένη τὴν σύστασιν παύσηται, ὅτ' ἂν ἐθέλοι θεὸς ὁ μὴ εἰς κενὸν ποιήσας αὐτὴν ἀλλ' εἰς ἀνθρώπων κατοίκησιν· ἥξει γὰρ ἡ ἡμέρα κυρίου ὡς κλέπτης, ἐν ᾗ οἱ οὐρανοὶ ῥοιζηδὸν παρελεύσονται· στοιχεῖα δὲ καυσούμενα λυθήσεται, καὶ γῆ καὶ τὰ ἐν αὐτῇ ἔργα κατακαήσεται, καινοὺς δὲ οὐρανοὺς καὶ καινὴν γῆν, καὶ τὰ ἐπαγγέλματα αὐτῷ προσ-

testatem noctis, pronuntiaverit. Stellae vero sicut folia ficus ab aetheria cadent abside, cum Deus voluerit, qui in signa eas et tempora posuit: praeterea terra quae de aqua, et per aquam verbo Dei stabilitatem suscepit, cum ominibus quae in ea sunt cessabit, cum voluerit Deus, qui non in vacuum fecit eam, sed in hominum habitationem: adveniet enim dies Domini sicut fur, in quo caeli magno impetu transibunt, elementa vero calore solventur, et terra et quae in ea sunt opera comburetur: novos autem caelos et novam terram secundum ipsius promissa expectamus: quae enim videntur, temporalia sunt; aeterna vero, quae

δοκῶμεν· τὰ γὰρ βλεπόμενα, πρόσκαιρα· αἰώνια δὲ, τὰ μὴ βλεπόμενα· ἅπερ ἀεὶ λογιζόμενοι, καὶ δι' ἐνθυμήσεως ἔχοντες, καὶ κλῆρον ἴδιον ἔχειν πιστεύοντες, ἄσπιλοι θεῷ καὶ ἀμώμητοι εὑρεθῆναι σπουδάζομεν· δι' ὃ τὰς βασάνους ὑμῶν οὐ φοβούμεθα, καὶ τὰς ἀπειλὰς οὐ δεδοίκαμεν· μὴ φοβεῖσθαι γὰρ ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι, ἐμάθομεν· καὶ τὰς ὑποσχέσεις ὑμῶν βδελυττόμεθα, ὡς χωριζούσας Θεοῦ καὶ συναπτούσας τοῖς δαίμοσιν· κρείττους γὰρ ἡμῖν ὑποσχέσεις Χριστὸς τῶν ὅλων δεσπότης δεδώρηται, κληρονομίαν ἄφθαρτον καὶ ἀμίαντον· καὶ ἀμόλυντον καὶ ἀμάραντον τετηρηκῆναι ἐν οὐρανοῖς, καὶ ἃ

non videntur. Quae semper pensantes, et per cogitationem habentes, et nos sortem propriam habituros credentes, immaculati Deo et inviolati satagimus inveniri. Et idcirco tormenta vestra non timemus, et minas vestras non formidamus: non timere namque ab his qui occidunt corpus, animam autem non possunt occidere, didicimus. Et repromissa vestra execramur, tamquam a Deo separantia, et daemonibus copulantia: meliores enim nobis repromissiones Christus hominum dominator donabit, hereditatem videlicet incorruptam, et incontaminatam et inmarcescibilem, conservatam in caelis; et quae oculus non vidit, nec au-

ὀφθαλμὸς οὐκ ἶδεν καὶ οὖς οὐκ ἤκουσεν καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτὸν· ἐπιγείου φίλοι γενέσθαι βασιλέως οὐ θέλομεν, γένος ὄντες ἐκλεκτὸν, καὶ βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον χρηματίζοντες, καὶ λαὸς εἰς περιποίησιν· ἀξιώμασιν τοῖς παρ' ὑμῖν οὐκ ἀξιοῦμεν σεμνύνεσθαι, θεοῦ παῖδες ὑπάρχοντες, καὶ ἀξίας κατὰ τὸ μέτρον τῆς πίστεως ἔχοντες· πολιτάρχαις ὑμῶν οὐκ εὐψυχοῦμεν ἐγγράφεσθαι, οὐρανοπολῖται τυγχάνοντες, βίβλῳ ζωῆς ἀναγεγράφθαι πιστεύοντες· ὅθεν καὶ θαῤῥοῦμεν εἰπεῖν, τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; τοῦ ἐκ σκότους ἡμᾶς εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς μεταστήσαν-

ris audivit, et in cor hominis non ascenderunt, quae praeparavit Deus diligentibus se. Terreni amici imperatoris fieri nolumus, cum genus simus sanctum, regale sacerdotium, gens sancta vocati, et populus in acquisitionem. Dignitatibus, quae apud vos sunt, non poscimus decorari, pueri Dei existentes et dignitates secundum fidei mensuram habentes. Principes urbium vestrarum non anhelamus inscribi, cum simus caelestes cives, et nos inscribendos in libro vitae credamus; unde et praesumimus dicere, quis nos separabit a charitate Christi? qui de tenebris nos transtulit in admirabile lumen suum: qui propter nos pauper fa-

τος· τοῦ δι' ἡμᾶς σάρκα πτωχεύσαντος, ἵν' ἡμεῖς πλουτήσωμεν τὴν αὐτοῦ θεότητα· τοῦ θανέντος ὑπὲρ ἡμῶν, ἵνα θάνατον ἡμεῖς καὶ φθορὰν ἀποφύγωμεν· θλίψις τοῦ τὴν ἀνθρωπίνην φύσιν ῥυσαμένου τῶν θλίψεων; στενοχωρία τοῦ διὰ στενοπορίας ἡμᾶς εἰς τὴν ἀπερίγραφον αὐτοῦ βασιλείαν ἰθύνοντος; διωγμὸς τοῦ διωχθέντος δι' ἡμᾶς καὶ νικήσαντος τοὺς διώκοντας, καὶ μισθὸν ἡμῖν τοῖς δι' αὐτὸν διωκομένοις οὐρανῶν βασιλείαν δωρήσαντος; λιμὸς τοῦ τὴν ἡμετέραν σωτηρίαν πεινάσαντος, καὶ λιμόσσοντας ἡμᾶς καὶ μηδὲ χοίρων τροφαῖς εὐποροῦντας χορτάζεσθαι, τροφῶν ἀθανάτων ἐμπλήσαντος; κίνδυ-

ctus est, ut eius divinitate ditaremur: qui mortuus est pro nobis, ut mortem nos et corruptionem effugiamus; tribulatio eius, qui humanam naturam a tribulatione liberavit? an angustia eius, qui nos per angustum iter in incircumscriptum regnum suum introducit? an persecutio eius, qui persecutionem passus est propter nos, et vicit persequentes, et mercedem nobis qui propter ipsum persecutionem patimur caelorum regnum definiit? an fames eius, qui salutem nostram esurivit, et famem patientes nos, et nec porcorum escas, quibus satiaremur habentes, immortalibus escis replevit? An nuditas eius, qui in Adam misertus est nuditatis, et stola prima nos induit? an pe-

νος τοῦ κινδύνων ἡμᾶς ἐξαρπάσαντος; μάχαιρα τοῦ τυθέντος ὑπὲρ ἡμῶν καὶ ψυχοφθόρου μαχαίρας ἡμᾶς διασώσαντος; πεπείσμεθα οὖν, ὡς οὐδὲ θάνατος, οὔτε ζωὴ, οὔτε ἄγγελοι, οὔτε ἀρχαὶ, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε δυνάμεις, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τίς κτίσις ἑτέρα, δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, διὰ τὸ ὑπερέχον τῆς γνώσεως καὶ τὸν ὑπερβάλλοντα πλοῦτον τῆς αὐτοῦ φιλανθρώπου χρηστότητος· καὶ ὅτι μὴ ἄξια τοῦ νῦν καιροῦ τὰ παθήματα, καὶ ἡ τῶν παρόντων ῥοώδης ἀπόλυσις, πρὸς τὴν δόξαν τὴν εἰς ἡμᾶς ἀποκαλύπτεσθαι μέλλουσαν.

riculum eius, qui perituros a periculis nos eripuit? an gladius eius, qui pro nobis immolatus est, et a corrumpente animam gladio nos salvavit? Certi ergo sumus quod neque mors, neque vita, neque angeli, neque pricipatus, neque instantia, neque futura, neque virtutes, neque altitudo, neque profundum, neque alia aliqua creatura poterit nos separare a charitate Dei quae est in Christo Iesu domino nostro; propter eminentiam scientiae, et abundantes divitias misericordissimae bonitatis suae, et quia non sunt condignae huius temporis passiones ac praesentium fluxa refectio * ad futuram gloriam quae revelabitur in nobis.

* ex voc. ἀπόλαυσις.

κβ. Ταύτην ἐγνωκότες τῶν ἁγίων τὴν βουλὴν οἱ δικάζοντες, καὶ τοῦ φρονήματος αὐτῶν ἀγασάμενοι, οἰηθέντες δὲ ὡς λόγοις αὐτοὺς μεταπείθειν ἀδύνατον, εἰ μὴ καὶ δισσοῖς πειραθεῖεν κολάσεσιν, ἐν λόγοις ἀρετὴν ἀλλ' οὐκ ἐν ἔργοις ἀνδρείαν ἔχειν αὐτοὺς λογισάμενοι, ὠμοτέρας αὐτοῖς τὰς βασάνους προσέφερον, δύο ταῦτα πραγματευόμενοι· τούς τε γὰρ ἁγίους οὕτω πρὸς τὸ δοκοῦν αὐτοῖς τὴν τῶν εἰδώλων προσκύνησιν ἄγειν ἐνόμιζον, τά τε συναθλοῦντα καὶ συναγωνιζόμενα γύναια, τοῖς τῶν δρομαίων συνεφέλκεσθαι αἵμασιν· ἀλλ' οὐκ ἐπιτεύξηται δόλιος θήρας κατὰ τὸ λόγιον· Χριστοῦ γὰρ ἀμφοτέ-

22. Hoc iudices sanctorum consilium agnoscentes, et eos prudentiae admirantes, arbitrantesque quod verbis eos inflectere foret penitus impossibile, nisi et intolerabilibus temptavissent suppliciis, in sermonibus virtutem eos et non in operibus habere fortitudinem arbitrantes, crudeliora illis tormenta inferebant, duo haec operantes; denique (1) taliter et sanctos, secundum quod sibi videbatur, adducere ad Deorum adorationem existimabant, et mulieres quae cum illis certaverant et passae fuerant, per timores eorum, quae gesta fuerant, simul adtrahere nitebantur. Sed non consecutus est dolosus capturam, iuxta quod scri-

(1) Dic *videlicet*.

ρους δύναμιν ἐξ ὕψους ἐνδύοντος, τὰ ποικίλα τῶν δικαστῶν διεῤῥήγνυντο δίκτυα καὶ τῶν ἁγίων αἱ ψυχαὶ τῆς παγίδος ὡς στρουθίον ἐῤῥύσθησαν· ὥσπερ γὰρ τὰ πελάγια κύματα ταῖς πέτραις προσρήσσοντα διαλύεται, καὶ πλεῖον οὐδὲν ἢ κοῦφος ἀφρὸς ἀποδείκνυται, οὕτως Κύρῳ τε καὶ Ἰωάννῃ ἀγρίως τε καὶ ὠμῶς προσβάλλοντες οἱ κολάζοντες, καὶ πάσας ὑπερβολικῶς αὐτοῖς ἰδέαν βασάνων προσφέροντες, ὡς οὐ προσβάλλοντες ἔμενον ἄπρακτοι, ὑπὸ τῆς αὐτῶν στεῤῥότητος ἐν Χριστῷ ἀντωθούμενοι· ἢ ὥσπερ πύργοις ἀπορθήτοις προσάγοντες τὰς μηχανὰς οἱ πολέμιοι ἑαυτοὺς δαμάζουσι καὶ λυμαίνονται, κέρδος οὐδὲν τῆς ἐγχειρήσεως ἔχον-

ptum est; Christo enim utrosque virtute ex alto induente, varia iudicum retia scissa sunt, et sanctorum animae de laqueo sicut passer ereptae sunt; sicut enim pelagi fluctus saxis illisi volvuntur, et nihil amplius quam leves spumae monstrantur, ita et carnifices cum Cyro et Iohanne ferociter et crudeliter congredientes, et omnem suppliciorum speciem illis nimium inferentes, quasi numquam cum eis habuissent conflictum, manebant inefficaces, a stabilitate ipsorum, quae erat in Christo, repulsi; vel quasi cum turribus quae devastari nequeunt hostes machinas inferunt, semet edomant ac devastant, et conatus

τες ὑποστρέφουσιν· οὕτως ἐπιτιθέντες τοῖς μάρτυσιν τὰς αἰκίας οἱ δήμιοι, ἑαυτοὺς τῷ καμάτῳ κατέκοπτον, καὶ ῥωμαλαιοτέρους τοὺς δεχομένους εἰργάζοντο, καὶ τῆς τῶν ποθουμένων εὑρήσεως ἀπετύγχανον· ὅθεν καὶ τοῦ σωτῆρος αἱ νύμφαι θάρσος ἀήττητον ἐνδυσάμεναι, καὶ πρὸς πάσας τοῦ ἐχθροῦ τὰς ὁρμὰς ὁπλισάμεναι, καὶ γενναίως ἐν τῷ θεάτρῳ τῆς πίστεως τοῖς ἀντιπάλοις παλαίσασαι, ἀκλινεῖς καὶ ἀχείρωτοι τοῖς κολάζουσιν ἔμενον, οὐ τοσοῦτον τῶν μαστίγων φροντίζουσαι, ὅσον οἱ μαστίζοντες ἔπασχον· ἡ γὰρ τῶν οὐρανίων ἐλπὶς, καὶ τῶν προπασχόντων κραταιὰ καὶ ἀκράδαντος ἔνστασις, ἀνδρειοτέρας αὐτὰς ἀπεδείκνυεν·

sui lucrum nullum habentes reveriti revertuntur; sic et carnifices verbera apponentes, sese labore fatigabant, et eos qui acceperant, robustiores efficiebant, et eorum quae desiderabant frustrabantur intentione. Unde et illae Salvatoris sponsae insuperabili indutae constantia, et adversus omnem impetum inimici armatae, fortiterque in spectaculo fidei cum hostibus colluctatae, inflexibiles et paene intractabiles poenas inferentibus permanebant; non tantum de flagellis ipsae sollicitae, quantum hii qui flagellabant patiebantur, laboribus fatigati. Spes enim caelestium, et eorum, qui antea passi fuerant, immobilis et fortis in-

καὶ αἱ ἀλγηδόνες αὐταῖς τῶν πληγῶν ὑπετέμνοντο.

κγ. Ἐπὶ πολὺ δὲ τοῖς μάρτυσι φιλονεικήσαντες οἱ δικάζοντες, τέλος ἡττήθησαν καὶ τῶν βασάνων ἐπαύσαντο, καὶ τὰς μάστιγας εἴασαν, καὶ τοὺς ξυστῆρας ἀπέῤῥιψαν, καὶ νικητικῶν αὐτοῖς στεφάνων γεγόνασιν αἴτιοι, τὸν διὰ τοῦ ξίφους αὐτοῖς ἐπενέγκαντες θάνατον· ἡμέραν εἶχεν ἕκτην ὁ παρ᾽ αἰγυπτίοις μεχὶρ, μίαν δὲ καὶ τριάκοντα ὁ παρὰ ῥωμαίοις ἰανουάριος, ὅτε μάρτυρες οἱ φιλόχριστοι διὰ Χριστὸν μαρτυρήσαντες κεφαλὰς ἀπετμήθησαν· οὕτω τοὺς ἁγίους ἀθλήσαντας μάρτυρας καὶ τοὺς νικητικοὺς στεφάνους ἁρπάσαντας, καὶ τὰ βραβεῖα

stantia, robustiores eas monstrabat, (immo et plagarum dolores extinguebat).

23. Diutius autem cum adversus martyres contendissent, superati sunt, et a tormentis cessaverunt, et flagella dimiserunt, et strigiles proiecerunt, atque victricum eis facti sunt coronarum auctores, mortem illis per gladium inferentes, cum sextum diem haberet mensis, qui apud Aegyptios nuncupatur mechir, et primum ac trigesimum is qui apud Romanos ianuarius appellatur: quando et amici Christi martyres cum propter Christum martyrizassent, animadversionem capitum pertulerunt. Taliter sanctos martyres pas-

τῆς ἄνω καὶ θείας ἀνύσαντας κλήσεως, ὁ πιστὸς λαὸς ἀνελόμενοι ᾠδὴν ἐπινίκιον ᾄδοντες, εἰς τὸ Μάρκου τέμενος ἤγαγον, ὃς τήν τε πίστιν αὐτοῖς ἐνερίζωσεν, καὶ τῶν ὑπὲρ ταύτης ἀγώνων τὸ στάδιον ἤνοιξεν, καὶ τῶν ἀμαράντων στεφάνων ἀπήρξατο· καλῶς τοὺς φοιτητὰς τῷ διδασκάλῳ συνάπτοντες, καὶ τῷ βραβευτῇ προσνέμοντες τοὺς ἀθλήσαντας, καὶ τῷ ποιμένι τὰ πρόβατα φέροντες, καὶ τῷ γεωργῷ τὰ πλήρη καρπῶν τῶν σταχύων προσάγοντες, καὶ τῷ στρατηγῷ τὴν τῶν στρατευομένων ἀήττητον φάλαγγα· ὁ δὲ γεγηθὼς ὡς τέκνα γνήσια τοὺς ἁγίους ἐδέξατο, καὶ χαίρων ὡς μιμητὰς ἀκριβεῖς ἐν ἀγκάλαις προσέλαβεν, καὶ σκιρτῶν τῷ θεῷ προσ-

sos, et triumphalia diademata consecutos, et bravia supernae ac divinae vocationis adeptos, fideles populi efferentes, canticum triumphale canendo, ad Marci basilicam detulerunt, qui eis et fidem radicavit, et per hanc certaminum aperuit stadium, ac perceptarum eis inmarcescibilium coronarum exordium factus est: bene discipulos magistro copulantes, et agonithetae eos qui certaverant praesentantes, et oves ad pastorem ducentes, et agricolae plenam fructibus spicam, atque praetori insuperabilem contionem ferentes. At ille gratulabundus tamquam proprios filios sanctos suscepit, et gavisus veluti diligentes imitato-

ἤγαγεν, φωνὴν ἀφιεὶς διαπρύσιον· ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ Θεός· καὶ παρόντων τῶν πιστῶν ὁμηγύρεων, τὰ τῶν μαρτύρων κατέθηκε λείψανα· οὐ κοινῇ τοὺς ἀμνοὺς καὶ τὰς ἀμνάδας συνθάψαντες, οὐδ᾽ ἅμα τὰς νύμφας Χριστοῦ καὶ τοὺς νυμφαγωγοὺς τῇ γῇ κατακρύψαντες, ἀλλ᾽ ἰδίαις ἀμφοτέρους σοροῖς θησαυρίσαντες, ἐπεὶ φυλὴν φυλὴν καθ᾽ ἑαυτὴν καὶ ταύτας διαιρεῖν ἐπαιδεύθησαν, κἀνταῦθα τηρεῖν ἐσπούδασαν τὸ παράγγελμα· καὶ τῶν μὲν ἁγίων οἱ ἄθλοι καὶ οἱ δρόμοι καὶ αἱ πάλαι καὶ αἱ νίκαι, καὶ πρὸς τούτοις οἱ ἀμάραντοι στέφανοι, καὶ ἡ ἐν τῷ ναῷ Μάρκου τοῦ θείου κατά-

res, in ulnis assumpsit, (et exultans Deo obtulit) clare missa voce profatus: ecce ego et pueri, quos mihi dedisti Deus. Apud quem fidelium caterva martyrum recondidit corpora, non communiter agnos et agnas consepelientes, neque simul sponsas Christi et paranymphos humo abscondentes, sed privatis utrosque tumulis recondentes: nam tribum tribum seorsum, et mulieres eorum seorsum dividere fuerant eruditi; quapropter et hic quoque festinaverunt servare praeceptum. Et sanctorum quidem certamina, et cursus, et luctamina, et victoriae, quin et coronae immarcescibiles, et in templo Marci sacratissimi depositio, taliter ut per pauca di-

θεσις, οὕτω πῶς ὡς δι' ὀλίγων εἰπεῖν ἐτελέσθησαν, καὶ πέρας ἔσχον ἐπίσημον.

κδ. Εἴπωμεν δὲ καὶ τὴν ἐκεῖθεν ἐνταῦθα μετάθεσιν, καὶ τὴν αἰτίαν δι' ἣν ἡ μετάθεσις γέγονεν· μετὰ τὰς πολλὰς ἐκεῖθεν ἡμέρας, ἵνα τί καὶ μωσαΐσωμεν, καὶ τοῦτο τοῖς μάρτυσι χαρισώμεθα· ἀποδέξονται γὰρ ἡμᾶς ἐν τοῖς αὐτῶν ἐγκωμίοις μωσαΐζοντας μᾶλλον ἢ πλατωνίζοντας· μετὰ τὴν ἐκείνων τῶν τυράννων κατάλυσιν, καὶ τῶν τοὺς ἁγίους κολασάντων ἀπώλεσιν, καὶ τῆς τῶν εἰδώλων μυσαρᾶς λατρείας καθαίρεσιν, καὶ ἱδρυμένων αὐτοῖς ναῶν καὶ βωμῶν τὴν κατάπτωσιν· μετὰ τὴν Κωνσταντίνου τοῦ μακαριστοῦ πρώτου χριστιανῶν καὶ ῥωμαίων τὰ

camus consummata sunt, et finem habuerunt insignem.

24. Dicamus autem etiam inde huc factam translationem, et causam propter quam translatio facta est. Post multos itaque dies, ut aliquid etiam mosayce fateamur, et hoc martyribus condonemus, recipient enim nos in praeconiis suis mosayzantes potius quam platonizantes, post illorum tyrannorum destructionem, et eorum qui sanctos punierunt interitum, et simulacrorum detestabilis servitutis depositionem, et ararum ac templorum quae ipsi statuêre ruinam; post beati Constantini qui primus christianus Romanorum

σκῆπτρα κρατύναντος, καὶ τῶν υἱῶν μεταβίωσιν· μετὰ τὴν Ἰοβιανοῦ καὶ Οὐαλεντιανοῦ τε καὶ Γρατιανοῦ πρὸς ζωὴν τὴν κρείττω μετανάστασιν, μετὰ Θεοδοσίου τοῦ μεγάλου καὶ τῶν ἐγγόνων πρὸς τὴν ἄνω λῆξιν ἀνάλυσιν, Θεοδοσίου τοῦ μικροῦ τὴν βασιλείαν διέποντος, καὶ Κυρίλλου τοῦ θείου τὰ ἐνθάδε λογικὰ τοῦ Χριστοῦ ποιμαίνοντος πρόβατα, καὶ μεγαλοφώνῳ σάλπιγγι τὴν τῆς εὐσεβείας σοφίαν κηρύττοντος, δαίμων τίς ζοφερὸς καὶ αἰγύπτιος ἀνεφαίνετο Μενουθὴς τοὔνομα, κώμην οἰκῶν τὴν ἐπώνυμον, θήλεως μορφὴν προσποιούμενος, καὶ ταύτῃ δεικνὺς τὴν οἰκείαν ἀσθένειαν, καὶ πρὸς τοὺς ἄῤῥενας τῇ ψυχῇ τὴν ἀσθένειαν μᾶλλον ἀδράνειαν, οὐ σθένει φυγὼν τὴν ἀβύσσιον ἄλυσιν,

sceptra roboravit, ac filiorum obitum; post Ioviniani quoque et Valentiniani, et Gratiani ad meliorem vitam migrationem; post Theodosii magni ac filiorum ad requiem supernam resolutionem; Theodosio minore imperium moderante, et divino Cyrillo rationabiles hic Christi oves pascente, et magniloqua tuba pietatis sapientiam praedicante, daemon quidam teterrimus et aegyptius apparebat Menuthis nomine, castellum a se cognominatum inhabitans, et formam feminae fingens, et hac propriam infirmitatem et imbecillitatem demonstrans adversus eos qui mares sunt

ἀλλὰ Θεοῦ συγχωρήσει τέως ἐαθεὶς πρὸς ἡμετέραν ἀσφάλειαν, ἵνα ἀεὶ μνημονεύωμεν, τούτου τὰς κακουργίας θεώμενοι, ὁποίων ἡμᾶς δυσχερῶν Χριστὸς ὁ Θεὸς ἠλευθέρωσεν· οὗτος ὁ δαίμων ὁ σκοτεινὸς ὡς αἰγύπτιος, ὁ θηλύφρων ὁμοῦ καὶ θηλύμορφος μετὰ Λοξίου τὲ καὶ τρίποδος τὴν κουφότητα, καὶ τῆς ἐν Δωδώνῃ δρυὸς σιγὴν ἀνεκλάλητον, καὶ τὴν τοῦ κασταλικοῦ νάματος σιωπὴν ἀτελεύτητον, καὶ τοῦ ῥοδίου ταύρου τὴν συνϊνωσθεῖσαν αὐτῷ πτῶσιν ἀμύκητον, καὶ τὴν πάντων ὡς εἰπεῖν τῶν ἑλληνικῶν μαντείων κατάσβεσιν, Ἀσκληπίου τε τὴν μὴ τελευτῶσαν ἐκπύρωσιν, καὶ τῶν κατ' αὐτῶν ἰατρῶν τὴν παντελῆ καὶ ἀνίατον λόβωσιν, προφη-

animo, non virtute fugiens abyssi catenam, sed Dei permissione interim ad cautelam nostram dimissus, ut semper memores simus huius mala opera conspicientes, qualibus nos Christus Deus difficultatibus liberaverit. Hic daemon tenebrosus sicut aegyptius feminei sensus erat pariter et formae, post Loxii et tripodis surditatem, et ineffabilem dodoneae quercus taciturnitatem, et interminabile castalici fluenti silentium, postque rhodii tauri sine mugitu sibi non agnitum casum, et omnium ut ita dicatur paganarum divinationum extinctionem, Asclepiique non finitam inflammationem, et similium omnimodam et insa-

τεύειν καὶ νόσους ἰατρεύειν, μᾶλλον δὲ ψευδοειπεῖν καὶ νοσοποιεῖν ἐτερατεύετο φάσμασιν· πῶς γὰρ ὁ ψευστὴς ὢν ἀπ' ἀρχῆς, καὶ τὸ ψεῦδος ἐκ τῶν ἰδίων λαλῶν, ἐν ἀληθείᾳ τε παντελῶς οὐχ ἱστάμενος; ἢ πῶς ὁ τὴν ἰδίαν ἣν εἶχέν ποτε μὴ φυλάξας ἀρχὴν, ἀλλ' ὡσεὶ νεκρὸς ἐβδελυγμένος ῥιφεὶς, καὶ σκώληξι βρύων, καὶ σῆψιν ἔχων ὑπόστρωμα, ὁ πᾶσαν πτῶσιν πεσὼν, καὶ μεγάλην νοσῶν τὴν ἀσθένειαν, αὐτοὶ γὰρ προφητικῶς εἰπεῖν, ἠσθένησάν τε καὶ ἔπεσον, καὶ παντὸς ἀγαθοῦ τὴν ἀνίατον περικειμένοι νέκρωσιν ἑτέροις ῥῶσιν ὀρέξειεν; ἢ νοσοῦσιν τισὶν ἀλεξήσειεν, ὁ βοηθεῖν ἑαυτῷ μὴ δυν-

nabilem medicorum laesionem, prophetare ac mederi languoribus, immo falsa dicere ac morbis inficere per phantasmata protendebat. Nam quomodo is qui mendax est ab initio, et mendacium de proprio loquitur, in veritateque prorsus non stat, veritatem asseveret? aut quomodo is qui proprium quem habuit aliquando principatum non custodivit, sed veluti mortuus abhominatus proiectus est, et vermibus scatet, et putredinem habet stratum, qui omni casu cadit, et ingenti languet infirmitate; ipsi enim, ut prophetice dicamus, infirmati sunt et ceciderunt; totiusque boni est mortificatione circumdatus, aliis sanitatem porrigeret? aut languentibus quibusdam praesta-

άμενος ; ὃ γάρ τις ἔχει ἐκ φύσεως τοῦτο λαχὼν, ἢ πρὸς ἑτέρου λαβὼν καὶ φυλάξας ἀμείωτον, τάχα ἂν ἠδύνατο καὶ πρὸς ἄλλων ἐκτείνειν μετάδοσιν· ὃ δὲ μὴ ἔχει, πῶς ἑτέροις διδόναι δυνήσεται ;

κε. Καὶ τούτων οὕτω κειμένων, πολλοὺς τὸ εἰδεχθὲς τοῦτο δαιμόνιον ταῖς ἀπάταις παρέσυρεν, καὶ προσκαλεῖσθαι αὐτοῦ τῷ βωμῷ ἐλπίδι ῥώσεως ἢ προφητείας ἀνέπειθεν, οὐ μόνον ἀπιστοῦσιν καὶ πάντη τοὺς αὐτοῦ προκειμένους κελεύσμασιν, ἀλλὰ καὶ πιστοὺς καὶ Χριστοῦ τὰ σύμβολα φέροντας· δεινὸν γὰρ ἡ κακία πρὸς ἑαυτὴν ἕλκουσα τὸν ἄκακον, τάχα δὲ καὶ τὸν ἀρά-

ret remedia, qui sibi auxiliari non valet? quod quis habet, hoc vel ex natura sortitus, vel ab altero acceptum si custodierit indiminutum, fortassis poterit ad alios quibus impertitur extendere: at vero qui non habet, quomodo aliis tribuere potuerit?

25. Et his ita positis, multos foedissimum hoc daemonium seductionibus suis abstraxit, et aram suam residere, spe recipiendae sanitatis, vel percipiendae prophetiae, suasit, non solum infidelibus, et cunctis his qui iussionibus eius parebant, sed et fidelibus et hominibus qui Christi portabant inditia. Novit enim malitia ad se trahere simplicem, fortassis autem et eum qui ad melio-

ρότως πρὸς τὰ κρείσσονα νεύοντος, εἰ μὴ θεὸν φύλακα τῆς αὐτοῦ κτήσετο νεύσεως· ἄλλως δὲ καὶ οἱ τούτου τοῦ ἄστεως ἔκγονοι πολὺ τὸ ἀκέραιον ἔχοντες, καὶ μᾶλλον ἐν ἁπλότητι γνωριζόμενοι, εὐχερῶς τῶν ἀρίστων ἐπὶ τὰ χείρω μεθίστανται, καὶ ῥαδίως βλαβεροῖς παραφθείρονται, καὶ δυσχερῶς ἐκ τῶν ἡττωμένων ἀνάγονται, τὸν πολυόμματον νοῦν οὐκ εὐόμματον ἔχοντες· ὅθεν καὶ Παῦλος τοιούτους τοὺς Γαλάτας θεώμενος, θαυμάζω φησὶν πῶς οὕτως ταχέως μετατίθεσθε ἀπὸ τοῦ καλέσαντος ὑμᾶς ἐν χάριτι Χριστοῦ· καὶ μετὰ πολλὴν διδασκαλίαν καὶ σοφωτάτην παραίνεσιν εἰκότως αὐτοῖς ἐμαρτύρησεν τὸ ἀνόητον· Ἑβραίους δὲ βλέπων ἔτι

ra congrue spectat, nisi Deum sui custodem habeat nutus: alias et huius urbis soboles multam simplicitatem habentes, et in simplicitate potius agnitae, facile a melioribus ad peiora mutantur, et leviter a noxiis corrumpuntur, ac difficilius ex minoribus eriguntur, multorum oculorum mentem non bene oculatam habentes: unde et Paulus cum tales Galatas vidisset, miror, ait, quod sic tam cito transferimini ab eo qui vos vocavit in gratiam Christi: et post multam doctrinam, sapientissimamque admonitionem, consequenter eos insensatos esse testificatus est. Porro cum Hebraeos lacte adhuc egere, et inexercitatos habere

χρήζοντας γάλακτος, καὶ γυμνὰ τὰ τῆς ψυχῆς αἰσθητήρια πρὸς διάκρισιν καλοῦ καὶ τοῦ χείρονος ἔχοντας, νοθροὺς ἀξίως καὶ νηπίους ὠνόμασεν· Κορινθίοις τοῖς προλαβοῦσιν σωφρονεῖν κινδυνεύουσιν, μή πως ὡς ὁ ὄφις, ἔφη, ἐξηπάτησεν Εὔαν ἐν τῇ πανουργίᾳ αὐτοῦ, φθείρῃ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος καὶ τῆς ἁγνότητος τῆς εἰς τὸν Χριστόν· ἡ δὲ σοφία τὸν κακὸν νοῦν εὐμαρῶς φησὶν μεταλλεύεσθαι, καὶ διὰ τοῦτο διδόναι πανουργίαν ἀκάκοις, παισὶν δὲ καὶ νέοις τὸ φρόνημα, αἴσθησίν τε καὶ ἔννοιαν ἐπαγγέλλεται.

κϛ. Ἀλλ' ὁ θεσπέσιος Κύριλλος ὁ ποιμὴν ὁ καλὸς καὶ Χριστοῦ τοῦ καλοῦ ποιμένος μαθητὴς καὶ ἀκόλουθος ἀεὶ τῷ τῆς ἡμέρας καύμα-

animae sensus ad discretionem mali et boni vidisset, imbecilles merito et parvulos nominavit. Corinthiis autem, qui deprehensi fuerant cum periclitantibus sapere, timeo, inquit, ne forte sicut serpens seduxit Evam in astutia sua, corrumpantur sensus vestri a simplicitate et castitate, quae est in Christo. Sapientia quoque animum, qui sine malitia est facile transmutari dicit, et idcirco dari astutiam innocentibus, pueris autem et iuvenibus prudentiam, sensumque ac intellectum.

26. Sed ille Cyrillus egregius, pastor bonus, et Christi boni pastoris discipulus et sectator, qui

τι συγκαιόμενος, καὶ τῷ παγετῷ τῆς νυκτὸς συμπηγόμενος, καὶ τῶν ὀμμάτων τὸν ὕπνον ἀφιστῶν καὶ τροπούμενος, ἵνα ἀγρυπνοῖς ὄμμασιν καὶ ἐγρηγόρῳ τῷ νῷ φυλάττῃ τὰ πρόβατα καὶ μὴ κλέπτοιντο καὶ θύοιντο καὶ ἀπόλλοιντο μηδὲ θηριάλωτα γίγνοιντο· οὕτω γὰρ καὶ τὸν φθορέα καὶ θῆρα Νεστόριον λῃστὴν ὁμοῦ καὶ λύκον ἐφώρασεν, καὶ τῆς μάνδρας ἐδίωξεν, καὶ τῆς ποίμνης ἀπήλασεν ἄπρακτον, τὰ πρόβατα φυλάξας ἀλώβητα. Κύριλλος ὁ Θεοφίλου τοῦ θείου καὶ τῆς ἀρχῆς καὶ τοῦ ζήλου τυγχάνων διάδοχος, τὴν ἀπάτην βλέπων τοῦ δαίμονος, καὶ τῶν πιστῶν τὴν βλάβην θεώμενος, τοῦ σωτῆρος ἱκέτης ἐγένετο, καὶ παῦσαι τὸ κακὸν ἐλιτάνευεν,

semper et diei caumate cremabatur, et noctis glacie stringebatur, quique ab oculis somnum repellebat et avertebat, ut lucubrantibus visibus et vigili mente custodiret oves, ne furto ablatae fuerint et mactarentur, et perderentur, vel a bestiis caperentur; sic enim et furem et feram Nestorium, latronem simul et lupum perspexit, et a mandra insecutus est, atque inefficacem pepulit ab ovili, illaesas oves custodiens; Cyrillus inquam, qui cum Theophili avunculi sui et praesulatus esset et zeli successor, seductionem daemonis intuens, et fidelium laesionem conspiciens, Salvatoris servus effectus, ut cessaret malum, daemo-

τοῦ τε δαίμονος καταργῆσαι τὰ φάσματα, καὶ τελείαν τῷ λαῷ παρασχεῖν τῆς ἀληθείας ἐπίγνωσιν, καὶ τῆς αὐτοῦ θεογνωσίας τὸν ἔρωτα· ὁ θεὸς δὲ θᾶττον τὰς τοῦ θεράποντος δεήσεις δεξάμενος, καὶ τὸ τῆς καρδίας θέλημα δέδωκεν, καὶ τὰς ὑπὲρ τῶν πιστῶν αἰτήσεις ἐπλήρωσεν· ὀφθαλμοὶ γὰρ κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν· θέλημα γὰρ ὄντως τῶν φοβουμένων αὐτῶν ποιήσει, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται· ἐπειδήπερ ἐγγὺς πᾶσιν τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ καθέστηκεν· καὶ τοῦ μὲν δαίμονος ἔθραυσεν τὴν ἐνέργειαν, τοῦ δὲ λαοῦ τὴν ἀσθένειαν ἐθεράπευσεν· ἑνὶ γὰρ δικαίῳ ὁ θεὸς χιλίους χαρίζεται· καὶ λαῷ πολλάκις εὐσεβῶς ἱκετεύοντι· οὔ-

nisque destruerentur phantasmata, et perfecta populo praeberetur veritatis agnitio, ac divinae ipsius cognitionis amor, precatus est; Deus autem maturius famuli sui precibus admissis et cordis voluntatem dedit, et effusas pro fidelibus suis petitiones implevit; oculi Domini super iustos, et aures eius ad preces eorum; voluntatem enim re vera timentium se faciet, et orationes eorum exaudiet; quoniam prope est omnibus, qui invocant eum in veritate. Et daemonis quidem fregit operationem, plebis autem infirmitatem curavit; uni enim iusto Deus mille peccatores donat, et popu-

τω γὰρ καὶ τῷ Λὼτ τὴν πόλιν ὁλόκληρον ἐχαρίσατο ἐπὶ τῇ αἰτήσει θαυμάσας αὐτοῦ καὶ τὸ πρόσωπον· καὶ τῷ Μωϋσεῖ τὸν Ἰσραὴλ ἁμαρτάνοντα πολλάκις δεδώρηται· οὕτω καὶ Κυρίλλῳ θεὸς δικαίῳ τυγχάνοντι, καὶ κατὰ Λὼτ αὐτοῦ καὶ Μωϋσέα θεράποντι, πόλιν ὅλην καὶ ὅλον λαὸν ἐδωρήσατο.

κζ. Καὶ δὴ νύκτωρ αὐτοῦ μεθ' ἱκετείας καθεύδοντι, δι' ἀγγέλου τὸ πρακτέον ἐμήνυσεν, Κῦρον κελεύσας τὸν ἀοίδιμον μάρτυρα ἀπὸ τοῦ Μάρκου τοῦ θεσπεσίου νεὼ πρὸς τὸν τῶν ἁγίων εὐαγγελιστῶν σηκὸν μεταστήσασθαι, ὅνπερ ὁ προεδρεύσας Θεόφιλος ἐν αὐτῇ τῇ κώμῃ Μενουθῇ ἦν δομησάμενος, ἐν ᾗ καὶ τὸ εἴδωλον ἵδρυτο,

lum non numquam pie supplicanti; sic enim et Loth civitatem integram donavit, super petitione admiratus eum et facie; et Moysi Israël peccantem saepe donavit. Ita et Cyrillo Deus cum esset iustus, et suus instar Loth et Moysi famulus, totam civitatem et populum totum donavit.

27. Et ecce noctu et post supplicationes dormienti per angelum quid esset agendum significavit, Cyrum iubens memorabilem martyrem ab egregii Marci templo, ad sanctorum evangelistarum transferre basilicam, quam Theophilus, qui ante illic praesulatum tenuerat, in eodem castello Menuthi dedicaverat; in quo et simulacrum

καὶ τὸ δαιμόνιον ἐπεπόλαζεν· τοῦτον Κύριλλος ὁ θαυμάσιος τὸν χρησμὸν δι' ἀγγέλου δεξάμενος, ἐπὶ Μάρκον τὸν ἅγιον ἔδραμεν, καὶ τὸ σεπτὸν ἐκκαλύψας Κύρου σπιρίδιον, ἔνδον σὺν αὐτῷ καὶ Ἰωάννην τὸν τρισόλβιον εὕρισκεν· καὶ σοφῶς λογισάμενος ὡς ἀμφοτέρους τὸ θεόλεκτον πρόσταγμα τῇ τοῦ ἑνὸς προσηγορίᾳ, διὰ τὴν ἀμφοτέρων ὁμολογίαν τὲ καὶ ὁμοφροσύνην ἐμήνυσεν, καὶ ὡς οὐ δέον διελεῖν μετὰ θάνατον οὓς οὐ τρόπος οὐ τόπος οὐ τάφος οὐ χρόνος οὐ πάθος διέλυσεν, τούτους ἄμφω λαβὼν εἰς τὸ λεχθὲν αὐτῶν τῶν εὐαγγελιστῶν ἱερὸν μετήγαγεν τέμενος, σκιρτῶν ὁμοῦ καὶ ἀγαλλόμενος κατὰ Δαβὶδ τὸν μακάριον πρὸ τῆς κυβω-

locatum fuerat, et daemonium frequentabant; hoc itaque Cyrillus mirabilis oraculo accepto, ad sanctum Marcum cucurrit, et venerabili revelato Cyri sepulchro intus cum eo et Iohannem ditissimum (1) repperit, et sapienter arbitratus quod utrosque a Deo dictum praeceptum, per unius appellationem propter utriusque concordiam et unanimitatem indicaverit, et quod non esset decorum post mortem separare quos non mos, non locus, non sepulchrum, non tempus, non passio dissolvisset; hos ambos acceptos in idem iam dictum evangelistarum sacrum transtulit templum,

(1) Dic *beatissimum*.

τοῦ κυρίου χορεύοντα παραπλησίως μιμούμενος· ὅθεν καὶ κατ' αὐτὸν τὸν μελῳδὸν τὴν πνευματικὴν αὐτοῦ λύραν καὶ θεόπνευστον ἁρμοσάμενος μελῳδίαις δύο τοὺς μάρτυρας ἤνεσεν, τὴν ἐνοῦσαν αὐτῷ δημοσιεύων τερπνότητα, καὶ τοῖς εὐσεβέσιν εἰκὼν καὶ ὑπόδειγμα τοῖς ἐπὶ τοῖς ἁγίοις εὐφροσύνης γινόμενος· ὡς καὶ οἱ νῦν ἐντυγχάνοντες, καὶ τὸν ἐκείνου πόθον γινώσκουσιν, καὶ πρὸς τὴν αὐτοῦ διάθεσιν μεταβάλλουσιν· χαίρουσιν γὰρ εὐθὺς καὶ σκιρτῶσιν ὡς Κύριλλος, καὶ τὸν Χριστὸν τοῖς ὕμνοις γεραίρουσιν, καὶ ταῖς εὐφημίαις στεφανοῦσιν τοὺς μάρτυρας.

κη. Θαυμάσαι γὰρ ὄντως ἐστὶν τοῦ σωτῆρος

tripudians pariter, et exultans, beatique David morem imitans, ante arcam Domini chorum ducentis: unde et secundum eundem modulatorem, cum spiritalem lyram suam et divinitus inspiratam coaptasset, duobus martyres laudavit modulaminibus, iocunditatem quae sibi inerat publicans, et piis imago et exemplum in sanctorum laetitia factus; quae et hii qui nunc sunt relegentes, et illius amorem cognoscunt, et ad ipsius affectum pertranseunt: gaudent enim continuo et exultant more Cyrilli, Christumque hymnis concelebrant, et coronant laudibus martyres.

28. Miranda enim re vera est Salvatoris po-

τὸ πάναλκες καὶ τὸ τῆς αὐτοῦ προνοίας πανεύπορον, πῶς οὐ θεῖον ἐξ οὐρανοῦ βρέξας καὶ πῦρ, τὸν ἀλιτήριον ἐκεῖνον ἐκεραύνωσε δαίμονα, ὡς πάλαι Σόδομά τε καὶ Γόμοῤῥα τῇ φύσει μεμφόμενα, καὶ τὸν ποιητὴν ὡς οὐκ εὖ τὰ καθ' ἡμᾶς διαθόμενον ἐνυβρίζοντα· οὔτε γῆν ἀνοιχθῆναι καὶ καταπιεῖν τὸν ἀκάθαρτον ἔκρινεν, ὡς ποτὲ Δαθὰν καὶ Ἀβιρὼν συναγωγὴν ὑπερήφανον· οὔτε λίθους ὀμβρήσας τὸν ἀνόσιον ἐχαλάζωσεν, ὡς ἔθνος ποτὲ τῷ Ἰσραὴλ ἀνθιστάμενον· οὔτε πεσεῖν τὸ τοῦ μιαροῦ βδελλυρώτατον ἄγαλμα, καὶ εἰς λεπτὰ συντριβῆναι προσέταξεν, ὡς πάλαι τὸν Βὴλ καὶ τὸν Δαγὼν κατελέπτυνεν, ἀλλὰ σώμασι νεκροῖς καὶ κοιμη-

tentia, et providentiae divitiae, quomodo non sulphur de caelo pluens et ignis, noxium illum daemonem fulguraverit, quemadmodum Sodoma quondam atque Gomorra, naturae detrahentia, et factorem quasi non bene quae circa nos sunt disposuerit, iniuriis impetentia! neque terram aperiri et absorbere immundum iudicaverit, ut aliquando superba Dathan et Abiro conventicula: neque lapidibus instar imbrium dimissis grandinaverit non sanctum, sicuti gentem quondam quae restitit Israëli: neque cadere illius polluti abhominabile simulacrum et in pulverem conteri iusserit, sicut olim Bel et Dago comminuerat; sed per cor-

μένοις ἐν μνήματι τὸ τούτου θράσος κατεύνασεν, καὶ τῶν ἐπ' αὐτῷ καυχωμένων τὴν ἀλαζονείαν κατήσχυνεν· δεῖξαι θέλων ὡς οἶμαι τοῖς συνετοῖς καὶ ἀρτίφροσιν, πόση μὲν ἡ τῶν αὐτοῦ μαρτύρων καὶ μετὰ θάνατον δύναμις, πόση δὲ τῶν παρ' ἕλλησι θεῶν ἡ ἀσθένεια, καὶ ὅσον ἡττῶνται οἱ θεοὶ χρηματίζειν αὐχήσαντες, ἀκινήτοις ἁγίων καὶ νεκροῖς καὶ μὴ πορεύουσιν σώμασιν.

κθ. Ἐνταῦθα γὰρ ἐλθόντες οἱ ἅγιοι, καὶ τοῖς εὐαγγελισταῖς γενόμενοι σύσκηνοι, πρῶτον μὲν ἐξ αὐτῆς εὐθὺς τῆς εἰς τὸν ἱερὸν τοῦτον σηκὸν ἐπιβάσεως εἰς φυγὴν τὸ δαιμόνιον ἔτρεψαν εἰς τάρταρον ἐκ γῆς ἐκδιώξαντες, καὶ

pora mortua et iacentia in monumento, huius temeritatem deposuit, et compescuit insaniam, et in se gloriantium confusit * iactantiam; ostendere volens ut reor sapientibus et sensus sanos habentibus, quanta eorumdem ipsorum martyrum etiam post mortem fuerit virtus, quanta vero gentilium deorum infirmitas, et quanto facilius hi qui Deos vocatos se gloriantur, per immobilia sanctorum et mortua et non spirantia corpora superentur.

* ita cod.

29. Huc cum sancti venissent et evangelistarum cohabitatores effecti, primum quidem ipsa locatione, quae in hoc sacro templo effecta est, protinus in fugam daemonium converterunt, et

τρόπαιον ἐπὶ τῇ τούτου φυγῇ θριαμβεύσαντες, ἔρημον τὴν οἰκίαν τοῦ οἰκήτορος ἔδειξαν· δεύτερον δὲ τούτοις ἔργον ἐπράττετο ἡ τῶν ὑπαρχόντων τῷ δαίμονι σκύλευσις ἤγουν ἡ πόρθησις· ἄνθρωποι ἦσαν αὐτοῦ τὰ ὑπάρχοντα καὶ γύναια τῷ βωμῷ προσκαθήμενα, ἐλπίσι κεναῖς ἀπατώμενοι καὶ φαντασίᾳ δεινῇ χλευαζόμενοι· οὕσπερ οἱ μάρτυρες ψυχὰς νεκρωθέντας καὶ σώματα, τὸν ἰσχυρὸν τῇ φυγῇ κατὰ τὴν θείαν φωνὴν πρότερον δήσαντες, ὡς νεκρὸν ἐσκύλευσαν· δεύτερον καὶ ζωὴν αὐτοῖς φιλανθρώπως χαρίζονται τῇ πηγῇ τῆς ζωῆς αὐτοὺς προσενέγκαντες· καὶ γνῶναι θεὸν δωρησάμενοι, ὃν ἀγνοοῦντες νενέκρωντο· καὶ φῶς ἀληθινὸν χαρισάμενοι,

atrum illum in tartara persequentes, et trophaeo in huius fuga triumphantes, desertam exhibuerunt habitatoris domum. Secundum vero ab his opus agebatur patrimoniorum, quae inerant daemoni, expoliatio idest devastatio: viri enim erant patrimonia eius, cum mulierculis, qui ad aram sedebant, et spe vana decepti, et acriori phantasia delusi; quos martyres animabus et corporibus mortuos veluti quaedam spolia depraedati sunt: prius forte fuga secundum divinam vocem veluti mortuo alligato; postmodum eis et vitam misericorditer donant, ad fontem illos vitae adducentes, et cognoscere Deum dantes, quem ignoran-

ὅπερ ἐσκοτοῦντο μὴ βλέποντες· οὕτω γὰρ σώζουσιν τὲ καὶ ζωγρεύουσιν τὰ πρὸς ἐχθρῶν αὐτοῖς ἁρπαζόμενα, ὡς ὁ δεσπότης αὐτῶν καὶ διδάσκαλος τὴν οἰκουμένην ἁρπάσας ἐζώγρησεν· τρίτον οἱ μάρτυρες τῶν φθασάντων ἱδρῶν τότε οὐκ ἔλασσον· καὶ τὸ βδελλυρὸν ἐκεῖνο τοῦ δαίμονος τέμενος ἐν ᾧ τὰς ψευδεῖς φαντασίας ὁ δραπέτης εἰργάζετο, ἐν ᾧ βωμὸς ἦν ἀεὶ τοῖς αἵμασι διαινόμενος· καὶ τὸ γυναικόμορφον ἵστατο ξόανον παραλίᾳ ψάμμῳ κατέχωσαν, καὶ κατὰ τὸν πατριάρχην Ἰακὼβ ὑπὸ χθόνα κατέκρυψαν· ὡς καὶ λήθην ἐμποιῆσαι τοῖς ἔπειτα, καὶ ὠφέλιμον ἄγνοιαν τῆς μυσαρᾶς αὐτοῦ καὶ ψυ-

tes mortui erant, lumenque verum donantes, quod non videntes obtenebrabantur. Sic enim salvant, et captant ea quae sibi ab inimicis diripiuntur; sicut Dominus et magister eorum cum orbem terrae rapuisset captavit. Tertium martyres his, quae iam diximus, nil minus gerebant; abhominabile quippe illud daemonis templum, in quo phantasias mendaces tergiversator operabatur, et in quo erat ara semper sanguinibus madefacta, et ille stabat femineae formae statunculus, maritimo sabulo obruerunt; et secundum patriarcham Iacob subtus terram occultaverunt, ita ut oblivionem et utilem ignorantiam execrabilis et animas corrumpentis dedicationis illius posteris faceret. Quar-

χοφθόρου δομήσεως· τέταρτον τοῖς προλαβοῦσιν συνήπτετο ὁ τοῦ δυσαγοῦς αὐτοῦ κτήματος ὄλεθρος, ὃ τῆς δαίμονος ὑπῆρχεν ἐπώνυμον, καὶ τῶν μυσαρῶν αὐτῆς τελετῶν μιαρὸν ἐνδιαίτημα· τοῦτο γὰρ ψάμμος καὶ θάλαττα μαρτύρων ἐμερίσαντο νεύματι· καὶ τὸ μὲν αὐτοῦ ψαμμαίοις ἔστιν ὑποβρύχιον, τὸ δὲ θαλαττίοις περικλύζεται ῥεύμασιν· πέμπτον ἐτελεῖτο τοῖς μάρτυσιν, τὸ καὶ νῦν παραδόξως τελούμενον, καὶ πρὸ τῆς τοῦ παντὸς συντελείας οὐ συντελούμενον, ὃ καὶ πάντες ἴσασιν οἱ καὶ τοὺς μάρτυρας ἐπιστάμενοι, καὶ τῆς αὐτῶν ἀπολαύοντες χάριτος, ὅσοι καὶ τὸ τέμενος ἐθεάσαντο, καὶ τὴν σορὸν αὐτῶν ἠσπάσαντο τὴν πολύευκτον· ἔστιν δὲ καὶ τὸ

tum praecedentibus iungebatur, profanae constructionis ipsius exitium, quae daemonis erat aequivoca, ac detestabilium eius immolationum execrabilis habitatio: hanc enim harena et mare martyrum partiti sunt nutu, et quiddam eius harena est obrutum, quiddam vero inter marina reumata fluctuat. Quintum a martyribus gerebatur, quod et nunc gloriosissime geritur, Deique gratia perenniter est gerendum, et ante universitatis consummationem minime consummandum; quod et omnes norunt quotquot martyres norunt, ipsorumque gratia perfruuntur; quotquot etiam templum viderunt, et tumulum eorum honorabilem

τεράστιον, τῶν ἁγίων τὸ τέμενος παραδόξως ἱστάμενον καὶ πάντας ἐκπλῆττον τῷ θαύματι· ἐπ' ἠϊόνος γὰρ οὐχ ὑψιλῆς οὐδὲ σταθερᾶς ᾠκοδόμηται, καὶ μεσιτεύει ψάμμῳ καὶ κύμασι, τὰς ἑκατέρων ὁρμὰς προσδεχόμενον, καὶ κατευνάζον ὡς μεσίτης τὸν πόλεμον· πρὸς ἕω μὲν γὰρ ἔχει βρυχωμένην τὴν θάλασσαν, καὶ τὴν ψάμμον πορθεῖν ἐπαΐουσαν· πρὸς δὲ δυόμενον ἥλιον, τῆς ψάμμου τὸν σκόπελον, πολεμίως ἐφορῶντα τοῖς κύμασιν, καὶ χερσοῦν τὴν ὑγρὰν ἐπεισέρχοντα· ἀλλ' οὔτε τὸ ὕδωρ ἐᾷ τῇ ψάμμῳ συμπλέκεσθαι, οὔτε τὴν ἄμμον τοῖς ὕδασιν μίγεσθαι τὴν μεθόριον, ὡς παρ' ἑκατέρων φανὲν, καὶ χαῦνον αὐτοῖς τὸν οἰκεῖον προτεῖνον θεμέλιον· εἰς ὕψος

salutaverunt ; est autem prodigium, sanctorum templum mirabiliter stans, et omnes prae admiratione percellens : supra ripam enim non altam nec firmam aedificatum est, et medium est inter harenam et fluctus, impetum utriusque suscipiens : ad orientem quidem habet saeviens mare, et harenam vexantem et supervenientem ; ad occidentem vero solem, harenae scopulum hostiliter contra fluctus insilientem, et terram humidam perurgentem. Sed neque aquam dimittit cum harena copulari, neque harenam cum aquis misceri, interpositus quodammodo terminus utriusque apparens, et frenum eis proprium fundamentum pro-

δὲ πολὺ ἐπαιρόμενον καὶ τῷ αἰθέρι συνάπτον τὸν ὄροφον, ποθεινὸν ὑπάρχει τοῖς πλέουσιν· ἐκ πολλῶν γὰρ σταδίων φαινόμενον, τοὺς μὲν Ἀλεξάνδρειαν πλέοντας τοῦ πελάγους φανέντας προσδέχεται, καὶ τέρψιν αὐτοῖς οὐ τὴν τυχοῦσαν χαρίζεται, προμηνύον ὡς ἐγγὺς τὸ ποθούμενον· τοὺς δὲ ταύτην ἐκπλέοντας μέχρι πολλοῦ προπέμπει βλεπόμενον, καὶ σωτηρίοις ἐφοδιάζει δωρήμασιν.

λ. Τὰ δὲ τοῖς ἁγίοις ἐντεῦθεν τερατουργούμενα τίς ἱκανὸς ἀριθμήσασθαι, ἢ γλώττῃ τολμηρᾷ διηγήσασθαι, ἢ πολυρρήμονι φθέγξασθαι στόματι; ἀνθρώπων μὲν οὐδεὶς, οὐδὲ εἰ δέκα μὲν εἶεν γλῶτται τινὶ, δέκα δὲ στόματα, ψυ-

tendens. In altitudinem autem multam erigitur, et aetheri tectum conectit; unde et desiderabile est navigantibus; a multis enim stadiis apparens, eos qui ad Alexandriam navigant, cum de pelago visi fuerint suscipit, et delectationem illis non modicam donat, praenuncians quod prope sit quod desideratur: eos vero qui ab hac navigant, usque ad multa spatia praemittit dum cernitur, et salutaribus farsum * muneribus viaticum praebet. * ita cod.

30. Porro prodigia quae hinc a sanctis effecta sunt, quis enumerare, vel audaci lingua narrare, aut ore multiloquo effari sufficiat? hominum quidem nullus, nec si cuiquam decem sint lin-

χὴν τε χαλκείαν καὶ φωνὴν ὁ τοιοῦτος ἄῤῥηκτον κτήσαιτο· μόνος δὲ Θεὸς ὁ καὶ τοσαύτην αὐτοῖς ἰσχὺν δωρησάμενος, δι' οὗ προεθέσπισαν τὰ δι' αὐτῶν εἰς δόξαν αὐτοῦ πραχθησόμενα· ὁ ἀριθμῶν πλήθη ἄστρων καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν, ὁ χειρὶ μὲν τὸ ὕδωρ μετρῶν, καὶ τῇ σπιθαμῇ τὸν οὐρανὸν, δρακὶ δὲ πᾶσαν τὴν γῆν, ᾧ καὶ ὑετοῦ σταγόνες ἠρίθμηνται, καὶ βόλοι δρόσου μεμέτρηνται, καὶ ψάμμου προέγνωσται ψήγματα· δι' οὗ λεπροὺς καθαρίζουσιν, χωλοὺς ποιοῦσιν ἀρτίποδας, ἀσθενεῖς θεραπεύουσιν, τυφλοῖς τὸ βλέπειν χαρίζονται, δαιμόνιά τε ἐκβάλλουσιν, καὶ νεκροὺς ἐγείρουσι, καὶ μάλιστα τοὺς ψυχῆς πεπονθό-

guae, et totidem ora, aeneamque animam et vocem qui talis est fortissimam habeat; sed solus Deus, qui et tantam eis fortitudinem contulit et ex aeternitate praedestinavit, quae per eos ad gloriam suam erant agenda; qui numerat multitudinem stellarum et omnibus eis nomina vocat; qui manu quidem aquam metitur, et palmo caelum, pugillo autem omnem terram, cuique pluviae guttae dinumeratae sunt et roris iacula mensurata, et micae praesciuntur harenae: per quem leprosos emundant, claudos faciunt pedibus sanis, infirmos curant, caecis visum donant, et daemonia eiciunt, et mortuos suscitant, maximeque

τὰς τὴν νέκρωσιν· καὶ δωρεὰν πᾶσιν ἀνθρώποις παρέχουσιν, τὰ δωρεὰν αὐτοῖς δοθέντα χαρίσματα· ἄπληστά τε ὄντα καὶ ἄσπειρα, καὶ ἡμέρας ἑκάστης καὶ ὥρας αὐξούμενα, καὶ ζυγὸν ἀριθμοῦ μὴ δεχόμενα, λέγειν ἀδύνατον· ἀεὶ γὰρ τοῖς δευτέροις τὰ φθάσαντα σκέπεται, καὶ ταῦτα τοῖς ἐπιοῦσιν κατακαλύπτεται, λήθῃ καταχωννύμενα καὶ σιγῇ σκιαζόμενα, θαλάττιόν τι καὶ φθονερὸν ὑπομένοντα· ὥσπερ γὰρ ἐνταῦθα κύματα κορυφούμενά τε καὶ αὐξούμενα ὁρᾶται καὶ βλέπεται, καὶ τέρπει τοὺς ὁρῶντας καὶ βλέποντας, εἶτα προχωρήσαντα καὶ δευτέροις ὑπείξαντα εὐθὺς τῷ τῆς λήθης ἐκδίδοται ῥεύματι,

illos qui mortificationem animae patiuntur; et gratis hominibus tribuunt quae sibi data sunt gratis charismata: quae cum sint plurima et infinita, et per singulos dies et horas crescentia, numerique trutinam non recipientia, dici non possunt; semper enim succedentibus praecedentia conteguntur, et subsequentibus ista velantur, oblitteratione obruta, silentio obumbrata, atque marinum et invidiosum quid perferentia. Sicut enim hic fluctus cum elevantur et crescunt, videntur et aspiciuntur, delectarique faciunt videntes et aspicientes: deindeque praecedentes succedentibus subillatis, mox reumati oblivionis traduntur; et decidunt oblivione, priusquam defluant aquis; et

καὶ ῥεῖ τῇ λήθῃ πρὶν ἢ ῥεύσει τοῖς ὕδασιν, καὶ σιγῇ κατακρύπτεται πρὶν ἢ κρυβῇ τοῖς ἔπειτα κύμασιν· οὕτω καὶ τῶν ἁγίων Κύρου τε καὶ Ἰωάννου τὰ θαύματα ἐπαλλήλως πηγάζοντα καὶ πλουσίως ἐκβλύζοντα, σιγῇ καλύπτει τὰ παρόντα τὰ πρότερα, καὶ ἀληθείᾳ καὶ αὐτὰ τῇ τῶν ἐπιόντων ἐφόδῳ καλύπτεται.

λα. Ἀλλ' εἰ καὶ οὕτω ταῦτα καὶ τοσαῦτα καθέστηκεν, ὀλίγα λίαν αὐτῶν εἰπεῖν πειρασώμεθα· συντελέσει γὰρ καὶ αὐτὰ τοῖς ἐγκωμίοις τὸν ἔρανον, προλάμπουσαν ἔχοντα τὴν ἀλήθειαν· ὀλίγα γὰρ ὄντως εἰσὶ τὰ λέγεσθαι μέλλοντα τὸν ἀριθμὸν ἑβδομήκοντα, πρὸς πληθὺν ἀμέτρητον παραβαλλόμενα, ὥσπερ καὶ ῥανίδες ὀλί-

absconduntur, priusquam abscondantur posterioribus fluctibus; ita et cum sanctorum martyrum Cyri et Iohannis miracula vicissim et inseparabiliter effluant, et divitius emanent, silentio et oblitteratione praesentia quae prius acta sunt contegunt, et ipsa quoque imminentium supervenienti visione velantur.

31. Sed quamvis haec et tot ita consistant, pauca tamen ipsorum effari temptemus: consummabunt enim et ipsa laudibus censum, praefulgidam habentia veritatem. Pauca enim re vera sunt quae dicenda sunt, idest numero septuaginta, ad multitudinem immensam collata; quemadmodum

γαι καὶ εὔμετροι πρὸς πέλαγος ἀκατάληπτον συμβαλλόμεναι· οὐ τούτοις τῶν ἁγίων χάριν, μὴ γένοιτο, περιγράφοντες, οὔτε τὰς εἰς ἡμᾶς αὐτῶν εὐεργεσίας συστέλλοντες· μὴ οὕτω τοῦ πρέποντος ἐκμανίημεν, ἀλλ' ἀπόδειξιν αὐτὰ τῶν ἐγκωμίων ποιούμενοι, καὶ τῆς αὐτῶν εὐφυΐας ἀσάλευτον σύστασιν· διὸ καὶ μέρος αὐτὰ τῶν ἐπαίνων τιθέμεθα, ὄροφον ὥσπερ τῷ λόγῳ στέγανον προμηθούμενοι, ὡς ἂν μὴ ταῖς τῶν ἀπίστων ἀθυροστόμοις βολαῖς καταστάζοιτο, καὶ δι' αὐτῶν ἐμφράττοντες τῶν τοῖς εἰδώλοις προστετηκότων τὰ στόματα· διὰ τοῦτο γὰρ οὔτε θαυμάτων παλαιῶν μνημονεύσωμεν, οὔτε τῶν πρὸ πολλοῦ γεγονότων καιροῦ ποιησώμεθα τὴν

et guttae paucae ac numerabiles ad incomprehensibile pelagus. Non hic sanctorum gratiam circumscribentes, absit; neque illa quae in nobis ipsis patrata sunt beneficia breviantes, ne sic ab eo quod decorum est in insaniam convertamur, sed illa praeconiorum probationem, et laudibus eorum commendationem, immobilem facientes; propter quod et partem ea laudationum ponimus, quasi tectum sermone stabile providentes, quo infidelium iaculis, quae veluti ora sine ostio sunt, minime stillare cogantur, ac per ipsa idolis faventium ora oppilantes. Ideo ergo nec veterum miraculorum memoriam faciamus, nec eorum re-

διήγησιν, ἵνα μὴ τὴν συμμαχίαν τοῦ χρόνου ἐνφράξωμεν, καὶ δυνηθεῖεν οἱ θεοστυγεῖς αὐτὰ παραγράψασθαι· ἀλλὰ τὰ ἐν τοῖς ἡμετέροις καιροῖς γενόμενα γράψωμεν, ὧν τινὰ μὲν ἡμεῖς τεθεάμεθα, τινὰ δὲ παρ' ἑτέρων θεασαμένων ἠκούσαμεν· οὐ μὴν ἀλλὰ καὶ οἱ πλείους τῶν πεπονθότων μᾶλλον δὲ θεραπευθέντων ἔτι τῷ βίῳ τούτῳ τῷ καθ' ἡμᾶς περιλείπονται, καὶ τοῦτον τὸν ἥλιον βλέπουσιν, καὶ τοῖς παροῦσιν κέχρηνται πράγμασιν, καὶ μαρτυροῦσιν ἡμῖν τὴν ἀλήθειαν, αὐτοὶ ταῦτα πρὸς δόξαν μὲν θεοῦ, τιμὴν δὲ τῶν ἁγίων οἰκείοις διηγούμενοι στόμασιν· τινὲς δὲ καὶ πρὸς κύριον ἐξεδήμησαν, καὶ τῶν τῆδε πραγμάτων ἐλύθησαν, πολλοῖς καὶ

lationem, quae ante multum tempus gesta sunt prosequamur, ne prolixi temporis auxilio praemuniti, possint Deo invisi ea respuere; sed quae temporibus nostris facta sunt conscribamus: quorum alia quidem nos vidimus, quaedam vero ab aliis qui viderunt audivimus: sed et plurimi eorum qui passi sunt, immo et de infirmitatibus suis convaluerunt, et vitae huic hactenus supersunt, solemque istum intuentur, et praesentibus rebus utuntur, nec non et testimonium nobis perhibent veritatis, haec ad gloriam Dei, et honorem sanctorum ore proprio retulerunt; quidam autem et ad Dominum sunt profecti, et praesen-

αὐτοὶ τὰ καθ' αὐτοὺς ἀπαγγείλαντες, καὶ μάρτυρας ἡμῖν τῶν λεχθησομένων ἀψευδεῖς τοὺς ἰδόντας τὲ καὶ ἀκούσαντας καταλείψαντες.

λβ. Ἀλλ' εἰ καὶ τῶν παλαιῶν εἰς ἔρευναν ἑαυτοὺς ἐμβαλεῖν ἠβουλόμεθα, καὶ κἀκείνων τινὰ τῷ γράμματι διηγήσασθαι, οὐκ ἂν ἡμᾶς ἕλληνες ψευδοποιοῦντας ἐλέγχειν ἠδύναντο· τούτοις αὐτοὶ καὶ τοῖς εἰς ἀεὶ πρὸ τῶν ἁγίων γιγνομένοις σαφῶς ἐλεγχόμενοι· ἡ γὰρ τῶν εἰς ἀεὶ πραττομένων θέα, καὶ τῶν ἔναγχος γεγονότων διήγησις, καὶ τοῖς παλαιοῖς τὴν πίστιν παρεῖχον ἀνάτρωτον· καὶ ἡμῖν ἐπετείχιζον τὴν ἀλήθειαν, καὶ τοῖς βδελλυροῖς εἰδωλολάτραις

tibus rebus exempti, cum multis et ipsi quae circa se gesta fuerant annunciassent, et testes nobis dictorum veraces, eos scilicet qui viderant et audierant, dereliquissent.

32. Verum etsi in veterum scrutinium nosmet immittere, et illorum etiam quaedam litteris enarrare voluissemus, non utique pagani nos falsi criminis arguere potuissent, his ipsis et quae iugiter a sanctis fiunt manifeste redarguti; eorum quippe quae perpetuo geruntur visio, et eorum quae nuper acta sunt enarratio, et veteribus utique fidem praestabant, et in nobis muniunt veritatem, atque abhominandis idolorum cultoribus, eorum diffidentiam excludunt. Veteribus er-

τὸ ἀπιστεῖν τοῖς λεγομένοις ἀπέκλειον· τοῖς παλαιοῖς οὖν παλαιὰ σεμνολογεῖν καταλείψαντες, ἃ τοῖς αὐτῶν καιροῖς ἀναλάμψαντα, καὶ τοὺς τότε παρόντας εὐφραίνοντά τε καὶ σεμνύνοντα, αὐτοὶ τὰ νεωστὶ γεγονότα καὶ ἐν τοῖς ἡμετέροις καιροῖς ἐπομβρήσαντα λέξωμεν· καὶ τοῖς ἰδίοις ἡμῶν καλλοπισώμεθα ἀΐδια καὶ τὰ χρόνῳ πρεσβύτερα· ὅτι Χριστὸς οὐ μεμέρισται, ὁ ταῦτά τε κἀκεῖνα διὰ τῶν ἁγίων τευξάμενος· καὶ τὰ μέλλοντα πάλιν ἡμῖν δι' αὐτῶν παρεχόμενος· ἴδιοι δ' αὖ καὶ ἡμέτεροι καὶ οἱ δράσαντες αὐτὰ θεσπέσιοι μάρτυρες, καὶ οἱ τοῖς τῶν μαρτύρων θαύμασιν κατ' ἐκεῖνο καιροῦ πιστοῖς σεμνυνόμενοι, ἵνα μὴ πάλιν ἡμᾶς οἱ ἐπάρατοι ἀπο-

go vetera compte loqui deserentes, utpote temporibus eorum refulgentia, et eos qui tunc praesentes erant laetificantia et ornantia, ipsi quae noviter facta sunt, nostrisque temporibus desuper effusa, imbrium more consistunt, dicamus, et verbis propriis venustemus. Propria quippe sunt et quae antiquiora sunt tempore, quia Christus non est divisus, qui haec et illa per sanctos fabricans, et futura quoque nobis est iterum praestaturus: proprii vero rursus et nostri sunt qui operati sunt ea egregii scilicet martyres, atque fideles qui martyrum miraculis per illud tempus nobilitabantur; ne nos iterum maledici novorum

ρίᾳ νέων θαυμάτων τὰ παλαιὰ διεξέρχεσθαι λέγωσιν· δεινοὶ γὰρ οἱ ἀνόσιοι καὶ ἀναίσχυντοι καθεστήκασιν, συσκιάζειν μὲν τὴν ἀλήθειαν, ἀντ' αὐτῆς δὲ τὸ ψεῦδος προβάλλεσθαι, καὶ τὸ ψεῦδος ἀληθεύειν παρὰ τοῖς ἀνοήτοις ἐργάζεσθαι, καὶ τὸ μὴ πάλιν ψεύδεσθαι τὴν ἀλήθειαν, εἰ καὶ τὰ μάλιστα ταῖς τῶν ἀεὶ γιγνομένων θαυμάτων νιφάσι ψευδηγοροῦντες ἁλίσκοιντο· ἀνθρώπων μὲν γὰρ ἄγνωστος οὐδεὶς ὡς οἶμαι καθέστηκεν τῆς ἱερᾶς Κύρου καὶ Ἰωάννου δυνάμεως, ἣν αὐτοῖς ὁ τῶν ὅλων θεὸς καὶ σωτὴρ Ἰησοῦς Χριστὸς κατὰ πάντων ἁπλῶς τῶν παθῶν ἐχαρίσατο, πρὸς καύχημα πιστῶν καὶ ἀσφάλειαν, ἐκκλησίας (καθολικῆς) οἰκοδομὴν καὶ βεβαίωσιν.

inopia miraculorum vetera prosequi dicant; acres enim et inverecundi atque scelesti consistunt ad umbrandam veritatem, et huic praeferendum mendacium, veritatem prosequi apud insensatos videri, et e contrario mentiri veritatem putari, quamvis miraculorum quae semper fiunt nimbis falsiloqui capiantur vel consumantur. Hominum plane nescius nullus ut opinor sacrae Cyri atque Iohannis virtutis existit, quam eis omnium Deus et salvator Iesus Christus (adversus cunctos omnino morbos) donavit, ad gloriam fidelium atque catholicae ecclesiae aedificationem et stabilitatem.

λγ. Ἀλλὰ πάντες οἱ μὴ παρόντες τῷ σώματι, ὡς παρόντες καὶ βλέποντες ἴσασιν, χῶρον ὅσοι τουτονὶ τὸν ἐπίγειον ναίουσιν· εἰς πᾶσαν γὰρ ὄντως τὴν γῆν ὁ φθόγγος ὁ περὶ αὐτῶν ἐξελήλυθεν, καὶ εἰς αὐτὰ τῆς οἰκουμένης τὰ πέρατα, τὰ περὶ τούτων ἀφίκετο ῥήματα· οὐ γὰρ περὶ μόνων τῶν ἀποστόλων τοῦτο βοᾷν τὸν ψαλμῳδὸν ἐκδεξόμεθα, ἀλλὰ καὶ περὶ πάντων τῶν ζηλωσάντων αὐτῶν τὴν ἀθάνατον μίμησιν· ὅθεν καὶ ἡμεῖς ἀκροαταὶ μόνον πρὸ τούτου τῆς αὐτῶν ἐτυγχάνομεν χάριτος, ὡς καὶ πάντες οἱ μακροῖς ἀφεστῶτες τοῦ τεμένους αὐτῶν διαστήμασιν· νῦν δὲ καὶ θεαταὶ τῆς τῶν ἀκουσμάτων ἀληθείας γεγόναμεν, ὀφθαλμικοῦ νοσήματος

33. Sed omnes qui non corpore fuere praesentes, tanquam praesentes atque videntes noverunt quotquot hanc terrenam habitant regionem; in omnem quippe re vera terram sonus eorum de illis exivit, et in ipsos orbis terrae fines, de his verba venerunt: non enim de solis apostolis hoc psalmista clamare accipiendus est, sed de hominibus qui aemulati sunt immortalem imitationem ipsorum. Unde et nos ante hoc, sicut etiam omnes qui longioribus a templo eorum spatiis distant, gratiae ipsorum auditores tantum eramus, nunc autem inspectores auditionum veritatis effecti sumus, ob oculorum languorem accedentes ad

ἕνεκα προσελθόντες αὐτοῖς, ὡς προείρηται· καὶ αὐτοὶ μὲν τὴν ὑγείαν δεξάμενοι, καὶ τρυγῶντας ἄλλους τὰς ἰάσεις θεώμενοι· ἀλλ᾽ ὁ μὲν προφήτης τὴν λύραν τὴν ἱερὰν ἁρμοσάμενος, καθάπερ ἠκούσαμεν, οὕτως καὶ ἴδομεν, πρὸς τὴν παλαιὰν Ἱερουσαλὴμ βοάτω τοῖς ᾄσμασιν· ἡμεῖς δὲ πρὸς τοὺς μάρτυρας φήσωμεν· βραχύτερα πάνυ περὶ ὑμῶν τοῖς ὠσὶν ἐπυθόμεθα, ὧν τοῖς ὄμμασιν ἴδομεν, καὶ σταγόσι μικραῖς ἐδροσιζόμεθα πρότερον, αἷς αἱ γλῶτται νεφέλαις μιμούμεναι τοῦ μαρτυρικοῦ τῶν ἰάσεων ἀνιοῦσαι πελάγους ὑέτιζον· τούτου δὲ ἡμεῖς αὐτόπται τοῦ πελάγους γενάμενοι κἂν τοῖς αὐτοῦ νηξάμενοι νάμασιν, μετὰ τοῦ Ἰὼβ πρὸς ὑμᾶς τὰς τούτου πηγὰς ἀνακράξομεν· ἀκοὴν μὲν ὠτὸς

eos, ut praedictum est; qui et ipsi sanitatem carpsimus, et alios sanitates vindemiare conspeximus. Sanctus propheta quidem sacram lyram coaptans, sicut audivimus ita et vidimus, ad veterem Hierusalem cantibus clamet; nos autem ad martyres asseramus: pauca de vobis auribus audiebamus, quos oculis vidimus: et modicis prius roris guttis perfundebamur, quibus linguae nubes imitantes, martyrico sanitatum vestrarum assumptae pelago compluebant. Huius autem et nos inspectores pelagi facti, et in ipsius natantes fluentis, cum Iob ad vos, qui huius estis pelagi fon-

ἠκούομεν ὑμῶν μόνον τὸ πρότερον, νυνὶ δὲ τοῖς ὀφθαλμοῖς ὑμᾶς ἑωράκαμεν· ἅπερ οὖν παρόντες τοῖς ὄμμασιν ἴδομεν, καὶ τοῖς ὠσὶν ἀκηκόαμεν, ταῦτα καὶ γράψομεν· καὶ τοῖς μακρὰν διεστῶσιν τοῖς σώμασιν, καὶ τοῖς μεθ' ἡμᾶς γίνεσθαι μέλλουσιν παραπέμψομεν· δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ θεοῦ, ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς, τῷ προφήτῃ Δαβὶδ συνφθεγγόμενοι, καὶ πιστὸν λεὼν διεγείροντες, συναθροίσωμεν πρὸς τὴν τῶν θεόθεν διὰ Κύρου καὶ Ἰωάννου γιγνομένων τεράτων ἀκρόασιν· φέρε δὴ οὖν φέρε πάλιν τὰς τῶν ἁγίων εὐχὰς ἀρωγὴν ἐνδυσάμενοι, τῶν θαυμάτων ἐγχειρίσωμεν τὴν διήγησιν, ἐν ἅπασιν σύμμαχον τὴν ἀλήθειαν καὶ μάρτυρα τῶν λεγομένων ποιούμενοι.

ἀνατέλλοντα τὸν ἥλιον οὐ θεάσεται· ἀλλὰ ταύτης ὡς ἤκουσεν τῆς οἰκτρᾶς ἀποφάσεως, τῆς ἔναγχος αὐτῷ πρὸς τῶν ἁγίων γενομένης ἀρωγῆς ἐμνημόνευσεν, καὶ μνημονεύσας ἐδέετο πάλιν τυχεῖν ἐπισκέψεως· ἐκάλει δὲ πρὸς ἐπίσκεψιν σὺν Ἰωάννῃ καὶ Κύρῳ τοῖς μάρτυσιν, καὶ τὸν ἐν μάρτυσι στρατοπεδάρχην Θεόδωρον· φιλοθεόδωρος γὰρ ἦν ὁ Χριστόδωρος, καὶ ἐκ φίλτρου πολλοῦ συχνότερον αὐτὸν προσεκαλεῖτο πρὸς ἄμυναν· ὁ δὲ τὰς ἐπικλήσεις ὡς παρὰ φίλου δεξάμενος, καὶ ἐπικαμφθεὶς πρὸς μεγίστην συμπάθειαν, καθ' ὕπνους αὐτῷ παραγίνεται ἐκ πολλοῦ διαστήματος, πρὸς τὴν αὐτοῦ ποθουμένην βοήθειαν· εἶχεν δὲ καὶ σημεῖον τῇ δεξιᾷ

solem non cerneret. Quam miserabilem sententiam audiens, praesidiorum quae a sanctis nuper concessa sunt, recordatus est. Et iterum precabatur visitationis auxilium: invocabat autem ad sui visitationem cum Iohanne et Cyro martyribus Theodorum, qui est magister militiae, amator quippe Theodori fuit Christodorus, eumque ex multo frequenter invocabat affectu succurrere. Cuius ille invocationem ut ab amico suscipiens, et magna eius compassione inflexus, per somnium ei festinus equester * apparuit, tamquam ex multo veniens spatio, ad eius quod desiderabat auxilium; deportabat autem signum in dextera, in

* ita cod.

χειρὶ βασταζόμενον, ἔχων καὶ σταυρὸν ὑπερκείμενον, φανερὰν ἐκποιῶν αὐτῷ τὴν λυσίπονον ἄφιξιν· οἶδας φησὶν, ὦ Χριστόδωρε, τίνος ἕνεκα παραγέγονα; κἀκείνου τὴν ἄγνοιαν ἀπαγγείλαντος, τοῖς ἐνθάδε προσέδραμον, εἴρηκεν, παρακαλέσαι Κῦρον ὑπὲρ σοῦ τὸν ἡγούμενον· καὶ ταῦτα, φησὶν, Θεοδώρου τοῦ μάρτυρος φήσαντος, Κῦρος εὐθὺς ἀναφαίνεται, Ἰωάννην σὺν αὐτῷ τὸν ἀδελφὸν ἐπαγόμενος· καὶ τῇ κλίνῃ κοινῇ τῇ σπουδῇ πλησιάσαντες, τὸν ἐπ' αὐτῇ κατακείμενον ἐπεσκέπτοντο, ταῖς χερσὶν ἐπαφῶντες τὰ τραύματα, καὶ οἷον νίτρῳ τὸν τῶν ἐκβρασμάτων θυμὸν κατευνάζοντες· καὶ τοῦτο προσηνῶς ἐκτελέσαντες, πάλιν οἱ τρεῖς ἀνεχώρησαν.

Ἀλλὰ ταῦτα μὲν καθ' ὕπνους ἐπράττετο· ὕπαρ

quo erat et crux superposita. Et ut manifestam faceret salutiferam sui praesentiam, scis, inquit, Christodore quid advenerim? Et illo ignorantiam praetendente, tui gratia inquit huc accurri rogare pro te Cyrum abbatem. Et haec agente Theodoro martyre, Cyrus statim apparuit una secum fratrem Iohannem adducens: atque ad lectulum pari festinatione propinquantes, iacentem visitant, vere eius vulnera manibus contractantes, et tamquam (nitro) furiam ebullientium vulnerum mitigantes; haecque leniter peragentes, pariter idem tres recesserunt.

δὲ ἡ νόσος ἔδειξεν τοῦ ἡλίου ἐκλάμψαντος· τούτου γὰρ ὑπερφυῶς αὐγάσαντος, καὶ τὴν ἡμέραν ἐν κόσμῳ φαιδρύναντος, ὡσεὶ λεπίδες ἰχθύων πᾶσιν ὑπέφαινον, οὓς ὀψὲ δύνων κατέλειπεν ἄνθρακας· ταύταις γὰρ ἐοίκεισαν πῶς κατεσκληκότα τὰ φύματα καὶ τοῦ σώματος λεπτιζόμενα καὶ χαμαὶ καταπίπτοντα· ἀλλ' ὅτε πάντα τοῦ σώματος ἐκπεπτώκασιν, καὶ τοῦτο τῆς αὐτῶν ἀπειλῆς ἐλεύθερον εἴασαν, ἐπιφανέντες πάλιν οἱ μάρτυρες, πέμπτη δὲ ἦν μετὰ τὴν πρώτην ἡμέραν, κελεύουσιν λούσασθαι τὸν παρ' ἐλπίδας φυγόντα τὸν θάνατον· καὶ καλῶς ἑψηθέντι πισσαρίῳ, εἶδος ὀσπρίου τοῦτο παρὰ πᾶσιν οὕτω καλούμενον, ὅλον αὐτοῦ τὸ σῶμα χρῖσαι κελεύουσιν,

Et haec quidem fiebant in somnio, visio autem erat, ut sol exoriens demonstravit; et proinde super terram radiante, et in tenebris * diem illustrante, tamquam squamae piscium omnibus visae sunt, quas occidens vespere carbunculos reliquerat: his namque similes videbantur illae durissimae papulae, dum desquamatae in humum de corpore cecidissent. Dumque omni delaberentur ex corpore, et hunc de tali afflictione liberum reliquissent, apparentes iterum martyres, quinta iamque dies erat post primam, lavari eum iubent, qui propter spem mortem effugerat, et piso bene cocto, hoc autem est genus leguminis

* *graecus* in orbe.

ὡς πᾶσαν κηλῖδα καὶ λείψανα τῆς τῶν φυμάτων ἐκλύσεως εὐθὺς ἀποσμήχοντι, ὃ καὶ γεγένηται· εἰσιόντι μὲν γὰρ τῷ λουτρῷ τὰ τῶν ἀνθράκων συνεισήρχετο στίγματα· ἐξιόντι δὲ, τούτων οὐδὲν συνεξήρχετο γνώρισμα, ἀλλ' ὁρᾷ τὸ λοιπὸν ὡς γεγένητο τῶν τε σπίλων τῶν ἐκ φυμάτων ἐλεύθερος, καὶ τῶν ἐκ νόσου τοσαύτης ἐπὶ πολὺ φαινομένων οἰδημάτων ἀμέτοχος· τοσαύτη γάρ ἐστιν τῶν ἁγίων ἡ δύναμις, ὡς μόνον φανεῖσα, ἅπαν ἐξαφανίσαι νόσου μνημόσυνον, καὶ μόνον θελήσασα πᾶν ἀῤῥωστίας ἐξαλεῖφει τεκμήριον· καὶ Χριστόδωρὸς μὲν οὕτω τὸ διπλοῦν διέφυγεν νόσημα· καὶ σωθεὶς δουλεύει καὶ γε-

ab omnibus sic appellatum, totum eius corpus perungere, qui omnem maculam et reliquias effluentium papellarum confestim abstergeret, quod et factum est: dum enim lavacrum intrasset, cum vulnerum signis ingressus est: dum vero egrederetur, nullum horum indicium simul egressum est, sed tamquam noviter genitus videbatur, tam a maculis papellarum liber, quam ab aegritudinis tantae nimium parentibus indiciis alienus. Tanta quippe est sanctorum potentia, ut si tantum appareant, omnem aegritudinis abstergant memoriam; et dum voluerint, omne perimant infirmitatis indicium. Et Christodorus quidem ita duplicem aegritudinem evasit, et salvatus vene-

ραίρει τοὺς μάρτυρας· ἡμεῖς δὲ ἐνταῦθα τὰ κατ᾽ αὐτὸν συμπεράναντες, καὶ τῆς εἰς τοὺς ἁγίους ὑμνῳδίας αὐτῷ κοινωνήσαντες, ἐπὶ τὰ παραπλησίως εἰς τὴν αὐτοῦ σύμβιον δραθέντα τοῖς μάρτυσι θαύματα τὸν λόγον μετάγωμεν.

9. ΠΕΡΙ ΘΕΟΔΩΡΑΣ ΤΗΣ ΓΥΝΑΙΚΟΣ ΤΟΥ ΟΙΚΟΝΟΜΟΥ ΚΑΚΩΣ ΟΦΘΑΛΜΗΣΑΣΗΣ.

Ἐπειδὴ Χριστοδώρου τὰς νόσους καὶ τὰς ἰάσεις εἰρήκαμεν, καλὸν καὶ Θεοδώρας μνήμην ποιήσασθαι, τοῦτο γὰρ τῆς Χριστοδώρου συμβίου τὸ ὄνομα, καὶ τῶν εἰς αὐτὴν πραχθέντων θαυμάτων τοῖς μάρτυσιν· πρῶτον οὖν τοῦ κατ᾽

ratur, ac deservit martyribus. Nos autem his, quae de eo dicta sunt, terminum apponentes, et in sanctorum laudibus ei communicantes, ad similia miracula, quae in eius coniuge martyres operati sunt, sermonis ordinem transferamus.

9. DE THEODORA UXORE EIUSDEM OECONOMI OCULOS GRAVITER DOLENTE.

Quoniam quidem Christodori aegritudines et curas iam diximus, congruit ut et Theodorae faciamus memoriam, hoc etenim erat nomen uxoris Christodori, et quae in ipsa martyres gesserunt miracula. Primum ergo quod in ea primum operati sunt memoremus miraculum, quia et me-

αὐτὴν πρώτου μνημονεύσωμεν θαύματος μνήμης ἀξίου τυγχάνοντος, καὶ παριστάντος ἡμῖν καὶ τὴν πρὸς τοὺς ἀπόντας τῶν ἁγίων προτροπὴν καὶ ἐπίσκεψιν, οἳ εἰς τοὺς πόῤῥω νοσοῦντας, πρὸς τὴν αὐτῶν ἐλθεῖν θεραπείαν προτρέπουσιν, καὶ ταύτην ἑαυτοῖς ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου τοὺς θησαυροὺς καὶ λίθων τιμίων φαιδρότητα· καὶ μετὰ τοῦτο τὸ γενόμενον παραθώμεθα. Ὠφθαλμία τὸ γύναιον, κατὰ τὴν πόλιν δὲ διατρίβουσα τὴν νόσον ὑπέμεινεν, ἔνθα καὶ πλῆθος ἰατρῶν εὐδοκίμων αὐτὴν ἐπεσκέπτοντο, καὶ τοῦ πάθους ἡττᾶσθαι πάντες ὑφ' ἓν ἐκινδύνευον· οὕτω δεινὸν ἦν τὸ ἀῤῥώστημα, καὶ πάντων ἀσκληπιάδων πολέμιον· ἀλλὰ

moria dignum est, quo ostendatur sanctorum etiam in absentes visitatio: et quomodo longe quoque aegrotantes accedere ad eorum medelam hortentur, hoc sibi (potius), quam argenti et auri lapidumque pretiosorum fulgores, thesaurizare negotium. Et prius hoc quod postmodum factum est apponemus. Haec mulier in gravem oculorum dolorem inciderat, et in civitate degens, aegritudinem sustinebat; et dum multitudo eam medicorum probabilium visitaret, omnibus erat periculum infirmiores a cura huius passionis ostendi: sic pessima erat infirmitas et discipulis asclepiadarum adversa! quorum contentionem sancti ap-

ταύτην αὐτῶν τὴν μάχην διέλυσαν προφανέντες οἱ ἅγιοι, καὶ τὴν νίκην ποιητικῶς εἰπεῖν ἑτεραλκέα ποιήσαντες· μᾶλλον δὲ τὸ δίκαιον ἑκατέροις βραβεύσαντες, τῇ αὐτῶν ἀρωγῇ τὸ πάθος ἀκέσαντο, καὶ μήτε τὴν νόσον, μήτε τοὺς αὐτὴν θεραπεύειν ἐθέλοντας, ὡς ὑπ᾽ ἀλλήλων ἡττωμένους λυπήσαντες.

Λέξωμεν δὲ καὶ τὸν τρόπον τῆς τῶν μαρτύρων ὀρθῆς διαιτήσεως· εἰκονίζει γὰρ ἰδιοτάτην πρὸς πάντας αὐτῶν συγκατάβασιν· κατ᾽ ἐκεῖνον δὲ τὸν καιρὸν, καθ᾽ ὃν τὸ γύναιον ἐνόσει τὴν ὅρασιν, καὶ τοῖς ἰατροῖς πρὸς τὸ πάθος ὑπῆρχεν ὁ πόλεμος, οἰκονομεῖν Ἰωάννου καὶ Κύρου τὸ τέμενος προσεβλήθη Χριστόδωρος, Εὐλογίου

parentes solverunt; et ut poëta dixit, alterna virtute facientes victoriam, magis autem utriusque iustitiam perpendentes, virtute propria aegritudinem curaverunt. Et neque passionem, neque qui hanc mederi voluerant, quasi vel victores vel ab alterutro victos contristavere.

Dicemus ergo et modum quo recte martyres iudicaverunt, quo erga omnes eorum condescensio possit describi. Tempore quo haec mulier oculis aegrotabat, et inter medicos contra hanc passionem certamen agebatur, tunc Christodorus promotus est Iohannis et Cyri basilicam dispensare, Eulogio hunc promovente, sicut iam sumus ef-

τοῦτον ὡς ἔφημεν τοῦ μεγάλου προτρέψαντος· ὃ Θεοδώρα μαθοῦσα ἡ σύνευνος, θᾶττον τῷ ἀνδρὶ διεμάχετο, καὶ τὴν διακονίαν ἐκάκιζεν, ὅτι περ φησὶν τῆς πόλεως πόῤῥω διέστηκεν, καὶ τὴν ἑστίαν ἰόντες καταλιμπάνομεν ἔρημον· καὶ παντοίως παρητεῖτο τὴν ἔξοδον· καὶ ὅσα γυναιξὶν ἕτοιμα πρὸς ἀφορμὰς παραφέρουσα· καὶ τὸ δὴ πάντων στεῤῥότατον καὶ δυσανάτρεπτον λογιζόμενον, καὶ τῶν ὀφθαλμῶν τὴν ἀσθένειαν· καὶ τάχα ἂν ἔπεισε τὸν ὁμόζυγον παραιτήσασθαι τὴν ἐγχείρησιν· δεινὰ γὰρ πρὸς τὸ πείθειν τοὺς ἄνδρας τὰ γύναια, καὶ πρὸς ἅπερ ἂν ἀθελήσειεν, εἰ καὶ λίαν εἴη φαυλότατα, τὴν φύσιν ἔχοντα σύμμαχον· καὶ ὡς ἀσθενέστερα σκεύη

fati : quod Theodora coniux eius cito cognoscens, contendebat cum viro, et ministerium refutabat inquiens, quod porro a civitate seiunctum est, et pergentes illuc domum desertam relinquimus ; et prorsus egredi recusabat, et ut solent mulieres ad excusationem praeparatae eadem retexebat. Quodque erat praeterea fortius et esse inrefragabile putabatur, oculorum aegritudinem obtendebat ; et fortassis comparem persuaderet ad ministerium recusandum, callidae quippe sunt, natura eis suffragante, ad persuadendum mulieres in quocumque voluerint, quamvis nimis sint hebetes, et tamquam infirmiori vasi concederetur mu-

παρεχομένην τῷ γυναικίῳ φίλῳ τὸ δύνασθαι· εἰ μὴ τοῦτο μαθόντες οἱ ἅγιοι, ὡς καὶ τῇ προβολῇ Χριστοδώρου τερπόμενοι, κατὰ τοὺς ὕπνους τῷ γυναίῳ παρέστησαν, καὶ συνδραμεῖν τῷ ἀνδρὶ πρὸς τὸ τίμιον αὐτῶν παρεσκεύασαν τέμενος· τίνος γὰρ ἕνεκεν, εἶπον πρὸς αὐτὴν ἀφικόμενοι, εἴργεις σου τὸν ὁμόζυγον λειτουργῆσαι ἡμῖν ὡς προβέβληται; ἡ δέ· τίνες γὰρ ὑμεῖς, τοῦ Χριστοῦ τοὺς μάρτυρας ἤρετο; Κύρου δὲ φήσαντος, ὡς ἐγὼ μὲν Κῦρος, Ἰωάννης δὲ οὗτος ὁ σὺν ἐμοὶ τὸ τῆς εὐσεβείας ἆθλον ἀράμενος· τὸ Γύναιον ἀπεκρίνατο· μόνου χάριν τοῦ τῶν ὀφθαλμῶν ἀῤῥωστήματος· ὅτι φησὶν ἐκεῖσε γιγνωσκομένη * τῆς τῶν ἰατρῶν ἀρωγῆς ἀπολείπο- *γινομένη?

lieri posse quod volebat. Nisi hoc sancti scientes, et promotione Christodori delectati, mulieri per somnium astitissent, atque ad comitandum cum viro in venerabilem eorum basilicam praeparassent. Ad eam quippe venientes, quamobrem asserunt tuum comparem prohibes nobis sicut promotus est ministrare? At illa, qui enim estis, Christi martyres inquirebat? Cyro vero asserente quod ego sum Cyrus, Iohannes autem hic, qui mecum pietatis certamen adeptus est; mulier respondebat: sola infirmitatis oculorum causa; quia si illuc inquit abiero, medicorum frustrabor subsidio. Hos sermones dum martyres accepissent,

μαι· τούτων οἱ μάρτυρες τῶν ῥημάτων ἀκούσαντες, εὐθὺς αὐτῇ τὸν ἱερὸν σηκὸν ὑποφαίνουσιν, καὶ τῶν ἐν αὐτῷ κατακειμένων ἀσθενῶν τὸ πλῆθος ἐδείκνυον, καὶ τὴν ἑκάστου νόσον οἵα τις ὑπῆρχεν ἀπήγγελλον· εἶτα σὺν τούτοις ἅπασι φασὶ, καὶ τοὺς σοὺς θεραπεύειν ὀφθαλμοὺς οὐκ ἰσχύομεν; καὶ ταῦτα λέξαντες, ἔπεισαν ἔργοις τὴν πειθῶ καὶ οὐ λόγοις ψιλοῖς ἐργασάμενοι· ἐξελθοῦσα δὲ καὶ θεασαμένη μόνον τὸ σεπτὸν αὐτῶν τέμενος, τὴν νόσον εὐθέως ἀπέβαλεν, ὀδύνης μηκέτι τοιαύτης ὀφθαλμῶν πεῖραν ἀθρήσασα, οὐ τὸ καὶ τὸ πρὸς θεραπείαν ποιήσασα, ἀλλὰ μόνῃ τῇ θέᾳ τοῦ τῶν μαρτύρων νεοῦ δρεψαμένη τὴν ἀμάραντον ἴασιν· ἴσχυσεν γὰρ ἡ τοῦ σηκοῦ γλυκυτάτη μορφὴ πάθος θεραπεῦσαι πι-

confestim ei sacrum eorum ovile describunt, et ibidem periacentium infirmorum multitudinem monstrant, atque uniuscuiusque aegritudinem, qualis quisque esset, edisserunt. Cum his omnibus inquiunt etiam tuos curare non valebimus oculos? Et haec dicentes, non solis sermonibus, sed operibus persuadent. Egressa vero conspiciens ad venerandam eorum basilicam, statim abicit aegritudinem, oculorum dolorem ultra non sentiens; nec hoc aut illud ad curam accipiens, sed sola templi martyrum visione immarcessibili salute potita est. Valuit nempe ovilis eorum forma

κρώταΐον, καὶ παραστῆσαι τῶν ἐνοικούντων ἁγίων τὴν ἀμέτρητον δύναμιν.

Λέξω δὲ καὶ τὸ ἕτερον, ὅπερ εἰς αὐτὴν ἐπράχθη θαῦμα τοῖς μάρτυσιν, ἐπειδὴ τὸ προλαβὸν ἀπηγγείλαμεν, καὶ οὐ κρύψω σιγῇ τοὺς ἀκούοντας· οὐ γὰρ σιγῇ ἄξια τὰ ἡμέτερα ὡς τὰ τῶν δαιμόνων φαυλώτατα φάσματα· τούτοις γὰρ πρέπει σιγὴ καὶ λήθη καὶ τάφος καὶ σκότος ἐξώτερον, τόπος ἀπόκρυφος τῆς αὐτῶν βδελλυρίας γιγνόμενα· ἀλλὰ καὶ βαρυφώνου σάλπιγγος, καὶ μεγαλορήμονος κήρυκος καὶ δόματος ἀρχινέφους τοῖς ὑψώμασιν, ἐφ᾽ οὓς στήσονται καὶ βοήσονται οἱ κηρύσσοντες· τὰ γὰρ ἐν φανερῷ καὶ

conspecta pestem amarissimam curare, et inhabitantium sanctorum virtutem innumerabilem comprobare.

Dicam autem et alterum quod in ea gestum est a sanctis miraculum. Quia igitur quod praecessit narravimus, nequaquam silentio etiam hoc ab audientibus occultamus : nec enim nostra silentio digna sunt, sicut daemonum vanissima phantasmata ; illos enim competit silentium et oblivio et sepulchrum exterioresque tenebrae, locus qui abhominationes eorum abscondat ; sed tuba fortiter personans, et praeconium magnanimiter vociferans, et tectum sublime nubibus appropinquans, in quibus consistentes praedicatores exclament,

οὐκ ἐν παραβύστῳ τοῖς μάρτυσιν δρώμενα θαύματα, θαύματος γέμοντα καὶ οὐκ αἰσχύνης ἀνάπλεα, πᾶσιν γνωρίζεσθαι πέφυκεν ἄξια, καὶ κατὰ πᾶσαν τὴν γῆν διαῤῥήδην κηρύττεσθαι· οὐκοῦν λέξωμεν καὶ οὐ κρύψωμεν καὶ σκιρτήσωμεν λέγοντες, καὶ χορεύσωμεν τῶν ἁγίων τὰς πράξεις κηρύττοντες, πάντων ὄντα πιστῶν ἀγλάϊσμά τε καὶ καύχημα.

Μετὰ πολὺν αὖτη καιρὸν ἡ Θεοδώρα τῆς ὀφθαλμίας μᾶλλον δὲ τῆς τῶν ὀφθαλμῶν ἐλούετο ῥώσεως· τὸ δὲ λουτρὸν τῶν ἁγίων ἐτύγχανεν· ἐκεῖσε γὰρ τότε διέτριβεν, καὶ λουομένη πίπτει δεινῶς, εἰς τοὐπίσω γὰρ καταφέρει ῥήγματι,

haec quae in manifesto et non abscondito martyribus gesta sunt, miraculoque referta, et non confusione repleta sunt, ab omnibus cognosci naturaliter digna, et per omnem terram manifestius praedicanda. Ergo dicemus et non occultabimus, et dicentes exultabimus atque tripudiabimus, actus praedicantes sanctorum ad fidelium omnium exultationem et gaudium.

Post multum itaque tempus quo dolor immo restauratio oculorum concessa est, lavata est eadem Theodora in balneo sanctorum, ibique tunc morabatur. Dumque lavaretur, post tergum graviter cecidit, et conlapsa deiecta est in lubricam quandam oleaginem quae femineis fricamentis defluxe-

γλυώδεσι τισὶν ὀλισθήσασα, τοῖς ἐκτριμμάτων τάχα γυναικείων ἐκρέουσιν· ἦν δὲ καὶ τὸ πτῶμα δεινόν· μετὰ γὰρ τὸ λούσασθαι τοῦτο συμβέβηκεν, ἐξιούσης τῶν ἐμπύρων ἐπὶ τοὺς ψυχροὺς ἀέρας καὶ νάματα, ὅτε καὶ τῶν λουομένων τὰ σώματα εὐπαθῆ τέ ἐστιν καὶ χαυνώτερα, τῇ διαχύσει τοῦ χαυνοῦντος τε καὶ ἐκλύοντος αἵματος· τοῦτο γὰρ τὸ θερμὸν ἕως ἐν ἀέρι ψυχροτέρῳ τυγχάνωμεν, ἐπὶ καρδίαν ἔσω φεύγει καὶ κρύπτεται, τῇ ἐπαφῇ τοῦ ψυχροῦ συστελλόμενον· ἐπειδὰν δὲ ἀέρι θερμῷ προσομιλήσωμεν, ἀναχωρούσης τῆς ἔξω θερμότητος, εὐθὺς ἐπὶ τὴν ἐπιφάνειαν ἔξεισιν, ἐλευθερωθέντος τοῦ διείργοντος ψυχροῦ καὶ συστέλλοντος, καὶ τὸ συγγενὲς γνωρίσαν τῆς ἔξω θερμότητος.

rat. Fuit autem lapsus gravis : post enim quam lota est, hoc ei contigerat dum egreditur de caloribus ad aquarum fluenta et frigidos aëres, quando et lavantium corpora mollia sunt et fragilia per diffusionem sanguinis calore relaxato atque disperso. Nam quamdiu frigido sumus in aëre, ad corda interiora refugit in conditis, frigido quippe tactu contrahitur corpus : dum vero aëri propinquaverit, exteriore frigore recedente, ad superficiem statim calor egreditur, ilico quod exemptum et a prohibente se et contrahente frigore fuerit liberatum, extrinsecus positi caloris cognationem sentiens.

Ἐν τοιαύτῃ γοῦν διαθέσει καὶ Θεοδώρα τότε τυγχάνουσα σώματος, πίπτει μὲν ἐπὶ νῶτον καὶ τένοντα, ἐπλήγη δὲ τὸν ἀγκῶνα βαθύτατα, μεγάλου καὶ κατ' αὐτῷ ἀνοιχθέντος τῷ κρούσματι τραύματος, καὶ πολλοῦ ἐκ τούτου κατενεχθέντος τε καὶ ῥύσαντος αἵματος· ἀλλὰ τὴν τοσαύτην πληγὴν ἐπικύνδυνον, καὶ τὸ τοσοῦτο τραῦμα δυσίατον, εὐθέως οἱ μάρτυρες ἐπιφανέντες ἰάσαντο· μηδὲ τριταῖον αὐτὸ συγχωρήσαντες ἐπὶ τῆς χειρὸς καὶ τοῦ παθόντος ἀγκῶνος γνωρίζεσθαι· ἀκοῦσαι δὲ πάντως ἐπείγεσθε καὶ τῆς ὑγείας τὸ φάρμακον, ὃ μάρτυρες οἱ θεσπέσιοι ἐν χρόνου ῥοπῇ πάθος τηλικοῦτον ἰάσαντο· λέξω δὲ καὶ τοῦτο συντόμως καὶ φανερὸν ποιήσομαι τοῖς ἀκούουσιν.

Theodora itaque in aequalitate corporis constituta, cecidit quidem post tergum et iugulum, et in profundo cubiti vulnerata est; magnum namque ibidem ex tali collisione reseratum est vulnus, multusque sanguis effluxit. Sed tantam plagam plenam periculo et vulnus insanabile confestim apparentes martyres sanaverunt; nec triduum permittentes in manu eius et cubito, quod vulneratum erat, agnosci. Audire autem profecto estis intenti etiam salutis remedium, quomodo venerabiles martyres in momento temporis tantam plagam sanaverint. Quod et breviter astruam, et auditoribus manifestum efficiam.

Νυκτὸς γὰρ ἐπιλαβομένης καὶ τὴν ἡλιακὴν τῆς ἡμέρας ἐκείνης διαδεξαμένης λαμπρότητα, μικρὸν οἱ ἅγιοι καθευδησάντι τῷ γυναίῳ παρίστανται· τάχα γὰρ τούτου χάριν τὸν ὕπνον ἐν τοσαύταις ὀδύναις ἐδέξατο, ἵνα καὶ τῶν ἁγίων τὴν ταχίστην ἐπίσκεψιν δέξοιτο· ἐπιστάντες οὖν οἱ φιλάνθρωποι μάρτυρες οἴνῳ τῷ ἐκ Μαρεωτοῦ τὴν χεῖρα σπογγῆσαι προσέταξαν, καὶ σάρκας ἐπιθεῖναι τῷ τραύματι λάβρακος· θαλάττιος οὗτος ἰχθὺς λάβραξ οὕτω καλούμενος· καὶ λουτρῷ δὲ προσφόρως κελεύουσι χρήσασθαι, ἐκ δαιμόνων εἶναι τὴν βλάβην νοήσαντες, ἵνα καθ' ὃν τρόπον ἡ τούτων ἐπήρεια γέγονεν, κἀν τοῦτο αὐτοὶ τὸ τῆς θεραπείας στήσωσι τρόπαιον·

Nocte namque subsequente, quae luci eiusdem diei successerat, iidem sancti dum haec mulier paululum requiesceret, astiterunt. Profecto enim huius rei gratia in tantis doloribus tale somnium acceperat, ut sanctorum celerem visitationem perciperet. Assistentes ergo hominum amatores, vino mareotico manus eius spungiolari praecipiunt, superque vulnus imponi carnes lupelli : marinus hic piscis est, lupellus vocitatus; sed et lavacro competente uti praecipiunt; ex daemonibus esse noxam hanc sentientes; quatenus in loco in quo eorum insidiae factae sunt, in eodem et isti salutis tropaeum sisterent. Peracto autem, quod san-

γενομένου δὲ τοῦ τῶν ἁγίων προστάγματος, ἡ Θεοδώρα μὲν εὐθὺς ἰατρεύετο· οἱ δὲ δαίμονες ὡς μάτην ἐπιβουλεύσαντες κατησχύνοντο, οἱ δὲ μάρτυρες ἐδοξάζοντο, καὶ Χριστὸς ὁ θεὸς ὁ δι' αὐτῶν ἐνεργῶν τὰ παράδοξα.

ι. ΠΕΡΙ ΜΑΡΟΥΣ ΤΗΣ ΘΥΓΑΤΡΟΣ ΤΟΥ ΟΙΚΟΝΟΜΟΥ ΠΑΘΟΥΣΗΣ ΕΚ ΤΩΝ ΟΔΟΝΤΩΝ ΚΑΙ ΤΩΝ ΩΤΩΝ ΤΗΝ ΚΩΦΗΣΙΝ.

Τούτοις τὴν Μαροῦν προσποιήσωμεν, καὶ τοῖς τεκοῦσιν προσθήσωμεν τὸ θυγάτριον· ἐκ Χριστοδώρου γὰρ αὕτη καὶ Θεοδώρας ἐβλάστησεν· μὴ οὖν αὐτὴν παραδράμωμεν, εἰ καὶ τὸν καθ' ἡμᾶς αὐτὴ βίον ἀρτίως παρέδραμεν, ἐν ἀκμῇ νεότητος ἐκδημήσασα, καὶ ἐν ἡλικίας ἄν-

cti praeceperant, mox Theodora medelam adepta est: daemones autem tamquam vane insidias facientes, confusi sunt; glorificati vero sunt martyres, et Christus dominus noster qui per eos operatur miracula in laudem Dei.

10. DE MARU FILIA OECONOMI QUAE PER DENTES ETIAM ET AURES DOLUERAT.

Eis etiam Marum annectamus, gignentibus copulantes et filiam: de Christodoro quippe haec et Theodora pronata * est; non itaque eam transcurramus; et si illam vitam qua vivimus nuper transiit, in ipso iuventutis momento praeteriens,

* prognata?

θει τοὺς ἐπὶ γῆς καταλείψασα, γάμου μὲν ὥραν ἁρμόδιον ἔχουσα, ἀνδρὸς δὲ κοίτην παντελῶς ἀγνοήσασα· συνάψωμεν οὖν καὶ αὐτὴν τοῖς γεννήσασιν τὰ τῶν ἁγίων διηγούμενοι θαύματα· καὶ μὴ θάνατον μιμήσωμεθα τὸν ἀπάνθρωπον, τὸν τῶν φυσάντων αὐτὴν διαστήσαντα, ἀμνημόνευτον καὶ ἡμεῖς καταλείψαντες· μαρτύρων γὰρ καὶ Μαροῦ συμμαχίαν ἐτύχησεν ἔτι κατὰ τὸν βίον διάγουσα· ἣν ἐκθησώμεθα μνημονεύοντες ὡς γεγένηται.

Νέον ὑπῆρχε πάνυ τὸ κόρριον καὶ μαζὸν ἐτρύγα, τὸν τὴν τοιαύτην ἡλικίαν ἐκτρέφοντα, μήπω τῶν ὀδόντων τοὺς τοίχους ἐκφύσασα· οὐ

et in aetatis flore quae in mundo sunt derelinquens: nuptiarum quidem horam iam maturam habuerat, viri vero concubitum nequaquam agnoverat. Coniungamus ergo suis etiam hanc genitoribus, sanctorum miracula, et non mortis inclementiam imitati, quae hanc a progenitoribus separavit. Sed nos relinquamus inmemorabilem mortem *. Martyrum itaque etiam Marus est adepta praesidium, dum adhuc in hac vita degeret. Quare vero fuerit memorantes, explanemus ut factum est.

* aliter graecus.

Haec puella invenior nimis extiterat, et fructu mamillarum vescebatur, qui ad huiusmodi aetatem eam aluerat; nec dum dentium protulerat

χερσὶν τὸ γάλα, τοῦτο γὰρ τῶν μαζῶν ὁ καρπὸς, ἀλλὰ χείλεσιν ἐπιδρεπομένη καὶ στόματι· ἐπειδὴ δὲ τούτοις ὁ χρόνος ἀφίκετο καθ' ὃν τοῖς ἀρτιγενέσιν οἱ ὀδόντες ἐκφύουσιν, χάριν αὐτῷ μαργαροειδῆ παρεχόμενοι, καὶ τὴν δι' αὐτοῦ φερομένην ἄσημον φωνὴν διορθούμενοι, καὶ τροφὴν τὴν στερεωτέραν λεαίνοντες, σὺν πόνῳ δέ τινι αἱ τούτων φύσεις εἰώθασι γίγνεσθαι, ὀδύνας πολλὰς τοῖς ἀνάγουσι παισὶ τοὺς ὀδόντας παρέχοντι, καὶ πυρετοὺς προξενοῦντι δεινοὺς τοὺς τὸ σῶμα χαλεπῶς καταφρύγοντας*· ἐν τούτοις καὶ Μαροῦ νηπιάζουσα φαίνεται, καὶ τοὺς ὀδόντας τὴν ἀνάγκην ταύτην τὴν τρίμορφον ἔβλυσεν, ὡς μηδενὸς ἀνέχεσθαι φραγμοῦ καὶ κω-

* Est aliquid amplius in lat.

aciem : non lac manibus qui uberum fructus est, sed ore et de labiis capiebat. Postquam autem ei tempus accessit, quo noviter nati dentes exiliunt, et exorti os exornant, gratiam ei ad specimen marmorum annectentes, ut per eos articuletur et vox quae procedit incondita, et cibum solidiorem comminuant; cum tormento vero quodam solent erumpere, dolores plurimos parvulis dentes proferentibus infligentes, et febres excitantes acerrimas, quibus corpus graviter concrematur. In his et Marus parvula posita, dum dentes emittit, tormentum sustinebat, quod hos solet praecedere; praecurrunt quippe dolores ad instar satellitum,

λύματος τὴν φερομένην ἐκείνην ῥοὴν ἀναστέλλοντα· ἅπερ ἡ τὴν παῖδα γεννήσασα βλέπουσα, καὶ φέρειν ἐπὶ πολὺ μὴ ἰσχύσασα, εἰς Ἀλεξάνδρειαν ἐλθεῖν ἐβουλεύσατο, καὶ τὸ παιδίον ἰατροῖς προσενέγκασθαι, ἰαθησόμενόν τε καὶ πρὸς αὐτῶν θεραπευθησόμενον· εἰς τὸ τῶν ἁγίων γὰρ τότε διέτριβεν τέμενος.

Καὶ κατ' ἐκείνην τὴν νύκτα καθ' ἣν εἰσελθεῖν

vias dentium apparantes, gingivas punientes, et omnia corporis membra. Ita et Marum graviter puniebant febres exaggerantes, aures affligentes, et caput inundantes, et totam eam pessime cruciantes, et in his puellula fuerat donec dentes apparerent. Postquam autem affluxerunt de gingivis, et eorum gratiam assecuta est, dolores quidem requiem habuerunt; ad extremum humoris inundationem non capientes, tamquam de petra quae aquarum mater est eruperunt; cuius fons putor et vermes effectus est. Sic vero pertinaciter hanc triformem necessitatem influxerat, quatenus nihil admitteret, quo posset refrenare vel coërcere ex eo descendentis humoris illuviem. Quae mater puellae conspiciens, et diu sustinere non praevalens, ad Alexandriam venire delegerat, et parvulam medicis tradere, ut ab eis curaretur, et medelam perciperet: eo quod tunc in sanctorum commorabatur basilica.

In ipsa igitur nocte, qua praeparata fuerat in-

παρεσκεύαστο, ἔρημον ὁρᾷ καθευδήσασα ἰατροῦ τὸ δομάτιον· εὕρισκεν καὶ μοναστὴν ἐν αὐτῷ καθεζόμενον. Κῦρος ἦν οὗτος ὁ φανεὶς καθεζόμενος· μοναστὴς γὰρ ἐγένετο καὶ μοναστῶν ἀεὶ ὀφείλεται φαίνεσθαι σχήματι· πυργίσκος δὲ ἔμπροσθεν ἱστήκει τοῦ μάρτυρος ἵνα τὸ τῶν ἰατρῶν φησὶν σχῆμα κἀκεῖ διασώζοιτο, ὡς ἰατρεῖον τοῦτο καθέστηκεν· ἐκφυοῦσα γὰρ τὰς τούτων προηγούμενας ὀδύνας ὑπέμενεν· ἐν δορυφόρων γὰρ αὗται προτρέχουσιν σχήματι, τὰς τῶν ὀδόντων ὁδοὺς εὐτρεπίζουσαι, καὶ τὰ οὖλα μαστίζουσιν, καὶ πᾶν δι' αὐτῶν μέλος τοῦ σώματος, εἰ καὶ πρὸς παρασκευὴν ἴδοιεν μέλλοντα αἱ τὴν Μαροῦν οὕτω ποτὲ δεινῶς κατετίτρωσκον, πυρετοὺς ἐκπυρσεύουσαι, καὶ στόμα δριμύττουσαι, καὶ ὦτα πιέζουσαι, καὶ κεφαλὴν ῥευματίζουσαι, καὶ οὕτω μὲν διετιθοῦσαν τὸ κόρριον, ἕως οἱ ὀδόν-

gredi, per desertum se conspicit pergere, per quod diu iter faciens, medici domicilium repperit, et sedentem inibi monachum, Cyrus autem hic erat qui videbatur consedere. Monachus namque fuerat, et monachorum apparet in habitu. Armarium vero coram martyre positum stabat, ut etiam in hoc medicorum figuram ostenderet. Ingressa vero, apud semetipsam cogitabat utrum haec statio esset medici. Ad quam sanctus qui quasi super solium sedebat affatus est: quam ob rem o

τες ἐφάνησαν· ἐπεὶ δὲ τὰ οὖλα τούτοις ἀπέστραπτεν, καὶ τὴν ἰδίαν τὸ στόμα χάριν ἐδέξατο, αἱ μὲν ὀδύνες παῦλαν ἐσχήκασιν, τὰ ὦτα δὲ τοῦ συναχθέντος ἐπλήρωτο ῥεύματος· τέλος δὲ τὴν τούτου συῤῥοὴν μὴ καταστάντα, κατὰ τὰς τῶν ὑδάτων μητέρας πέτρας ἐκρέγνυνται· κἀκ τούτου πηγαὶ καὶ δυσωδίαι σκωλήκων ἑσμὸς προσεγένετο σύντονος· πρὸς ἣν ὁ ἅγιος ὁ δῆθεν ἐπὶ θρόνου καθήμενος ἔλεξεν· ἐνθάδε ὦ γύναι τί παραγέγονας; ἡ δέ· ἰατρεῖον ζητοῦσα, πρὸς αὐτὸν ἀπεκρίνατο· καὶ τοιοῦτον μὲν ἐγὼ τόνδε τὸν οἰκίσκον νενόμικα· ἐν αὐτῷ δὲ οὐδὲν τῶν ἐν τοῖς ἰατροῖς πρὸς περιοδείαν ὄντων, ὁρῶ παρακείμενον· ἀλλ' οὐδὲ ἔνδον τι τῶν τοιούτων ἔχει σου τὸ ἁρμάριον· ὁ δὲ πρὸς αὐτὴν ἀκριβῶς ἀπεκρίνατο· ἐρεύνησον, καὶ ὅπερ ἂν εὕροις, ὠσὶ

mulier huc advenisti? illa vero respondit: stationem medici quaerens, huiusmodi ego arbitrata sum habitaculum. Sed nil in eo esse, quae in stationibus ad curandum praeparantur, conspicio, neque intus horum aliquid tuum habet armarium. Ad quam ille, accurate ait inquire, et quicquid inveneris, in auribus dolentis immitte, et filiola tua curabitur. Illa autem totam domum circumiens, fenestram modicam conspicit, in qua erat mellis positum poculum; arbitror quippe quod armarium, medicamentorum est repositio propter

τοῖς πάσχουσιν ἔμβαλε, καὶ ἰαθήσεται σου τὸ θυγάτριον· ἡ δὲ τὸν οἶκον ἅπαντα περινοστήσασα, θυρίδα μικρὰν ἐθεάσατο, καὶ μέλιτος ἐν αὐτῇ ποτήριον κείμενον· ὡς οἶμαι γὰρ τὸ ἁρμάριον φαρμακοθήκη μειζόνων νοσημάτων ἐτύγχανεν· ἀναστάσα δὲ θᾶττον τοῦ σκίμποδος, τὸ λεχθὲν αὐτῇ διεπράξατο, καὶ βραχὺ τοῦ μέλιτος τοῖς ὠσὶ τοῦ βρέφους ἐγχέασα, σκωληκόμεστον ἀνήγαγεν θύλακα· δακτύλων τὸ μῆκος τεττάρων, καὶ πλάτος ἀνάλογον ἔχοντα· καὶ τούτου λυτρωθεῖσα παραχρῆμα τὸ κόῤῥιον οὗπερ αὐτῇ τῶν ἀλγηδόνων ταμεῖον ἐγένετο· καὶ τῶν ἀπλέστων τικτομένων δεινῶν ἐλυτροῦτο κολάσεων.

Καὶ Μαροῦν μὲν οὕτως οἱ μάρτυρες μέλιτι ψιλῷ θεραπεύουσιν· ἄλλο δὲ γύναιον εὐσεβὲς καὶ φιλόχριστον, Μαρίαν μὲν ὁμωνύμως ἀκουου-

magnas aegritudines. Quae de lectulo velociter surgens quod ei dictum fuerat peragit: modicumque mellis parvulae fundens in auribus, follem plenum vermibus eiecit, habentem digitorum quatuor longitudinem et latitudinem similem. Ex hoc ergo confestim est liberata puellula, eo quod dolorum ei promptuarium fuerat, et ita ab acerrimis suppliciis quae ex eo gignebantur erepta est.

Et Marum quidem sic solo melle martyres curaverunt; alteram namque mulierem piam atque

σαν, Μαροῦν γὰρ τὸ κόῤῥιον ἔλεγον τὸ τῆς Μαρίας ὑποκοῤῥίζοντες ὄνομα, ἀλλ' οὐ σύγχρονον οὐδὲ ὁμήλικα· καὶ πάθος μὲν ὅμοιον ἔχουσαν, ἀπ' ἄλλου δὲ τοῦτο συμπτώματος, μετὰ πολλῶν ἰατρῶν πεῖραν ἀνώνητον, εἰς τὸ σεπτὸν αὐτῶν ἐλθοῦσαν μαρτύριον, κηρωτῇ καὶ συκαμινοῖς ἐξιάσαντο, ταῦτα καθ' ὕπνους ἐνῶσαι ταῖς τρίψεσιν, καὶ τοῖς ὠσὶν ἐμβαλεῖν ἐντειλάμενοι· ἡμεῖς δὲ πάλιν ὑμνήσαντες σὺν τοῖς ἰαθεῖσιν γυναίοις τοὺς μάρτυρας, πρὸς ἄλλας αὐτῶν τερατουργείας ὁρμήσωμεν, καὶ ταῦτα τὰ πράγματα * τοῖς εὐσεβῶς ἀκούουσιν παραθώμεθα.

* interpres lat. legebat γράμματα.

christianam Mariam univoce nominatam; nam Marum illam parvulam vocitabant, Mariae derivantes vocabulum, quae nec coaetaneam tot annorum nec passionem similem habuit; ex altero autem eventu post experimentum inutile medicorum multorum, dum ad venerabilem eorum confessionem occurreret, cerote et celsis * hanc sanaverunt, per somnium confricare, et auribus haec infundere demandantes. Nos denique conlaudantes una cum curatis mulieribus martyres; ad alia eorum prodigia decurramus, et has litteras pie audientibus proponamus.

* ita cod.

ια. ΠΕΡΙ ΜΑΡΙΑΣ ΤΗΣ ΘΥΓΑΤΡΟΣ ΤΟΥ ΔΙΑΚΟΝΟΥ ΚΑΙ ΜΗΔΕΝ ΒΛΑΒΕΙΣΗΣ ΤΟ ΣΥΝΟΛΟΝ ΑΦ' ΥΨΟΥΣ ΠΕΣΟΥΣΗΣ.

Ἑτέρας παιδὸς μνημονεύσωμεν, ὁμωνύμου τε καὶ ὁμήλικος, ἑτέρου δηλονότι θαύματος μνημονεύοντες, εἰ καὶ τοῦτο μεῖζον τοῦ προλαβόντος ἐστὶν καὶ ἀσύγκριτον· ἐκεῖνο μὲν γὰρ καὶ ἰατρὸς ἴσως ἂν ἔπραξεν ἄριστος, εἰ καὶ μὴ οὕτω ταχέως μηδὲ τοιούτῳ φαρμάκῳ χρησάμενος· τοῦτο δὲ οὔτε τίς ἰατρῶν ποιήσειεν, ἀλλ' οὐδὲ πάντες ἄνθρωποι πρὸς τὴν αὐτοῦ ποίησιν ἀθροιζόμενοι, ἕως ἂν καὶ νεκροὺς ἐκ τάφων ἐγείρωσιν, καὶ τοὺς θνητοὺς ἀνθρώπους ἀθανάτους ἐργάσαιντο· εἰ δὲ καὶ τὸ κόρριον ἕτερον καὶ πά-

11. DE MARIA FILIA DIACONI QUAE PER FENESTRAM ALTAM CECIDERAT, ET CADENS IN NIHILO LAESA EST.

Alterius parvulae memoremus eiusdem aetatis et nominis, alterum dumtaxat miraculum recordantes, licet hoc praecedente incomparabiliter maius sit. Illud quidem forsan et elegans medicus ageret, et si non sic, et sic cito, neque tali uteretur medicamine: hoc autem neque quisquam medicorum facturus est, neque omnes medici, vel omnes homines, si ad eius effectum congregarentur et facerent, quoadusque obeuntes de sepulchris erigerent, et mortuos homines facerent im-

λιν ἕτερον θαῦμα καθίστηκεν, ἀλλ' οἱ τοῦτο κἀκεῖνο ποιήσαντες οἱ αὐτοὶ καὶ οὐχ ἕτεροι, Κῦρος οὗτος ὁ θειότατος καὶ Ἰωάννης ὁ Κύρου συνόμιλος, οἱ τὰ μικρὰ καὶ τὰ μέγιστα πρὸς τὰς νόσους ποιούμενοι τέρατα, καὶ παντοίως εὐεργετοῦντες τοὺς πάσχοντας, καὶ σώζοντες τοὺς ἀρωγῆς εἴτε μικρᾶς εἴτε μείζονος χρήζοντας.

Μαρία μὲν ἐκαλεῖτο τὸ κόῤῥιον, Ἰωάννου μὲν τοῦ διακόνου τοῦ τῶν ἁγίων τεμένους ὑπῆρχε θυγάτριον· τὸ δὲ θαῦμα ὡς ἂν οἷός τε ὦ, διηγήσομαι. Ἀθύρον ἦν παρὰ θυρίδι τινὶ τοῦ δοματίου τὸ κόῤῥιον, ἐν ᾗ καθεζομένη συχνότερον ἡ γεννήσασα, λήνους πλήρη νήματος ἐχά-

mortales. Et siquidem alia puella, et alterum existit miraculum; sed hi qui hoc et illud et alia operati sunt, iidem sunt et non alteri, Cyrus hic venerabilis, et Iohannes Cyri socius: qui et nimia et magna secundum morbos operantes prodigia, et universis modis praestant aegrotantibus beneficia, et salvificant qui eorum praesidium vel minimum vel magnum poposcerunt.

Maria ergo vocabatur puellula, Iohannis vero diaconi basilicae sanctorum fuerat filia; miraculum vero ut valuero referam. In quadam domi fenestra iocabatur haec parvula, in qua frequentius genitrix eius considens, fusum tunc lineo fi-

λα τὸν ἄτρακτον· καὶ ῥέμψεως γενομένης τινὸς οἷα φιλεῖ πολλάκις συμβαίνειν καὶ γίνεσθαι, καί τινος τάχα τῶν ἀναγκαίων ἀπασχολήσαντος, καὶ τὸ παιδίον ἐπὶ τῆς θυρίδος ἐᾷν ἀναγκάσαντος, ἐκείνη μὲν ἦν ἐφ' ὅτε καὶ ἔδραμεν· τὸ βρέφος δὲ μητρικῆς προνοίας στερούμενον ἔρημον χηρεῦον τὲ φυσικῶς τῆς καλοῦ καὶ κακοῦ διακρίσεως, ἄνωθεν ἀφ' ὑψηλῆς πάνυ θυρίδος εἰς τὸ ἔδαφος ἔπεσεν· κτύπῳ δὲ κάτωθεν τῷ τιναγμῷ γεγονότος τοῦ σώματος, ἡ μήτηρ ἰδεῖν τοῦ κτύπου παρακύπτει τὸ αἴτιον, παντελῶς ἀμνημονήσασα, ὡς ἐπὶ τῆς θυρίδος καθήμενον κατέλιπεν αὐτῆς τὸ θυγάτριον· ὃ παρακύψασα, ἐῤῥιμμένον ἴδεν ἐπὶ τὸ ἔδαφος, καὶ εἰς μνήμην

latu repletum reliquerat. Errore autem ei nescio quo contingente, sicut evenire ac fieri multotiens solet, aliquibus necessariis utilitatibus occupata, parvulam in fenestra reliquerat. Et illa quidem occupabatur ad ea quae curabat, infans autem matris providentia destituta, ignara vero boni ac mali naturaliter discernendi, de alta nimis fenestra in pavimento delapsa est. Strepitu autem inferius facto de illisione corporis, mater ad videndum id quod strepuerat per fenestram inpexit, penitus quippe erat oblita quod filiam in fenestra reliquerat: inspiciens vero, videt in pavimento proiectam, et confestim rediens ad casus eius me-

εὐθέως ἐλθοῦσα τοῦ πτώματος, ἀλάζουσά τε καὶ κοκκυοῦσα τὸν χῶρον ὅλον ἐκεῖνον ἐδόνισεν καὶ τὸ τῶν μαρτύρων οὐράνιον τέμενος, παρέκειτο γὰρ αὐτὸ τὸ δομάτιον, καὶ διὰ τοῦ νεὼ τὴν εἰς οἶκον εἴσοδον ἐποιεῖτο καὶ ἔξοδον· καὶ δραμοῦσα δάκρυσι πολλοῖς τὰς παρειὰς καταβρέχουσα, καὶ σὺν αὐτῇ πάντες οἱ βλέποντες κλαίουσαν καὶ μακρόθεν βοῶσαν ἀκούοντες, πρὸς τὸν νεκρὸν ἀνελέσθαι τὸ κόρριον καὶ ταφῇ παραδοῦναι τῷ μνήματι, τοῦτο σῶον καὶ ἀβλαβές τε καὶ ἀπήμαντον εἰς γῆν εὗρον καθήμενον, καὶ χοίροις κατὰ τὸν τόπον εὑρημένοις προσπαῖζον ἀδρανέσι καὶ ἀχαρίεσσι τοῖς ῥαπίσμασιν· καὶ τοῦτο θᾶττον ἁρπάσαντες, πρὸ τοῦ τῶν ἁγίων

moriam, lugens et eiulans totam illam regionem concussit, sed et sanctorum martyrum caelestem basilicam, cui cohaerebat id domicilium, et per aedes templi ingressum atque egressum habuerat. Quae accurrens et genas multis lacrimis abluens, cumque ea omnes qui flentem conspexerant et eminus clamantem audierant, ut quasi parvulam mortuam tollerent, et sepulchro mandarent, hanc salvam illaesam, atque immunem in terra sedentem inveniunt, et cum porcis qui in loco tunc inventi sunt ludentem, et se transtollentem * atque infantilibus et infirmis alapis eos quatientem inveniunt. Quam ilico rapientes, ante sanctorum

* *ita cod. Hinc ital.* trastullarsi.

ἔῤῥιψαν μνήματος, ὡς σωτῆρας αὐτοὺς τοῦ βρέφους γεραίροντες, καὶ πάντων τῶν ἐπ' αὐτοῖς πεποιθότων ἐν Χριστῷ, ὡς ἀρωγοὺς ὑμνοῦντες καὶ φύλακας.

Οὐ περιττὸν δὲ οἶμαι, καὶ ὅ τίς κατ' ἐκείνην τὴν νύκτα περὶ τούτου καθεύδων τεθέαται προσθεῖναι τῷ διηγήματι· Ἰωάννης οὗτός ἐστιν ὁ διάκονος, οὐχ ὁ τοῦ παιδίου πατὴρ, ἀλλ' ὁ ἐκ Βυζαντίου διὰ πάθος ποδῶν προσπελάσας μάρτυσιν· ψύξις δὲ τῶν γονάτων τὸ πάθος ἐλέγετο, ὅπερ οὐδὲ βασιλέως ἰατρὸς, οὔτε γὰρ τῶν ἄλλων ὅσοι βουλόμενοι θεραπεῦσαι δεδύνηνται· καὶ ἰαθεὶς καὶ ῥυσθεὶς τοῦ νοσήματος, χάριτος ἕνεκα διὰ βίου δουλεύειν τοῖς ἁγίοις ὑπέσχετο·

memoriam proiecerunt, ut salvatores eos venerantes (partulae, et) omnium quicumque de eis in Christo confidunt, ut auxiliatores conlaudantes atque custodes.

Nequaquam autem superfluum esse arbitror quid eadem nocte quiescentibus super hoc apparuerit ad narrationem adicere. Iohannes hic est diaconus non illius parvulae genitor, sed qui de Byzantio propter aegritudinem pedum ad martyres venerat; et passio eius fuerat ariditas genuum, quam nec ipsi imperiales medici, qui prae ceteris sunt nominabiles, curare valuerunt. Sanatus autem et de aegritudine liberatus, ob gratiam

ὁ κληρωθεὶς μετὰ ταῦτα διάκονος, ἐκ λαϊκοῦ μὲν καταστήματος, σπουδαίου δὲ καὶ μοναδικοῦ πολιτεύματος, μαρτυρικῷ ψηφίσματι καὶ κελεύσματι, χειροθεσίᾳ δὲ πατριαρχικῇ Ἰωάννου τοῦ νῦν τὴν ἀλεξανδρέων ἐκκλησίαν ποιμαίνοντος· οὕτως ἔφη τότε κοιμώμενος, ὅτε τῇ αὔριον τὸ θαῦμα τὸ λεχθὲν ἔμελλε γίνεσθαι, Κῦρον ὁρᾷν καὶ Ἰωάννην τοὺς μάρτυρας, καὶ σὺν αὐτοῖς πολλὴν λευσχημονοῦσαν ἁγίων ὁμήγυριν, οἳ ταῦτα πρὸς τὸν θεώμενον ἔλεγον· ἐλθὲ σὺν ἡμῖν, καὶ τῆς ἐσομένης εὐφροσύνης ἀπόλαυσον· Ἰωάννης τε ποῦ πορεύεσθαι καὶ πρὸς ποίαν εὐωχίαν τοὺς ἁγίους ἠρώτησεν· οἱ δὲ· Ἰωάννης, φασὶν, ὁ διακόνος εἰς δεῖπνον ἡμᾶς ἐκάλεσεν

toto vitae tempore martyribus servire devoverat. Qui post ex laici habitu, religiose vero et monachice conversantis, martyrum iussu atque sententia, manu Iohannis patriarchae, qui nunc Alexandriae regit ecclesiam, diaconatum sortitus est. Hic, ut effatus sum, tunc dormiens, dum in crastinum futurum esset, ut fieret quod dixi miraculum, Cyrum et Iohannem martyres conspicit, cumque eis multorum stolas albas vestientium coetum. Hique ad conspicientem aiebant: veni nobiscum, et esto futurae exultationis particeps. Iohannes autem quo se et ad quam laetitiam sanctorum inquirebat hortari? Illi vero Iohannes, in-

σήμερον, καὶ παρ' αὐτῷ πάντες ἡμεῖς ἑστιώμεθα· καὶ ταῦτα φήσαντος, τοῦ λαμπροῦ τῶν ἁγίων ἥγουν τοῦ συντάγματος ἕπεσθαι καὶ αὐτὸν μετὰ τούτους κελεύσαντος· ὡς δὲ πάντες φησὶν εἰς τὴν ἑστίαν ἀπῆλθον οἱ ἅγιοι, ἀνῆλθον κἀγὼ τῶν κελευσάντων πληρῶν τὸ ἐπίταγμα· καὶ συνδειπνήσας αὐτοῖς, πάλιν μετ' αὐτῶν ἀνεχώρησα πρὸς τὰ τῶν δαιτυμόνων τεθηπὼς ἀξιώματα καὶ στολίσματα· καὶ θαυμάσας τοῦ δείπνου τὴν σεμνὴν πολιτέλειαν, καὶ τοῦ φανέντος τότε λυθέντος ὁράματος, Ἰωάννῃ πάντα τῷ διακόνῳ διήγγειλεν, ἀγνοῶν μὲν τὸ τοῦ διηγήματος σύμβολον· εὐδαίμονα δὲ τοῦτον καλῶν καὶ μακάριον, εἰ πρὸς τοιαύτην ἀξίαν ἀφίκοιτο, ὡς τοιού-

quiunt, diaconus ad caenam nos hodie convocavit, et apud eum omnes epulabimur; et haec inquientes candidam illam sanctorum catervam praeibant, et sequi secum eis praecipiebant. Postquam autem omnes, inquit, sancti domum ingressi sunt, ascendi etiam ego mandatum complens iubentium, convivatusque cum eis simul egressus sum; convivarum stupefactus dignitate et habitu, etiam miratus huiusmodi venerabilis caenae divitias: haecque omnia, dum solveretur quod tunc visum est somnium, Iohannes diacono retulit; ignorans quidem quid significaret narratio, felicem vero pronuntians et beatum qui ad tantam dignitatem

τους ἁγίους καὶ τοσούτους ἑστιᾷν τε καὶ καθ' οἶκον εἰσδέχεσθαι· καὶ τοῦτο μὲν ἄγνωστον ἦν παντελῶς τὸ ἐνύπνιον, ἕως τὸ θαῦμα πραχθὲν διηρμήνευσε.

Ἐγὼ δὲ τῶν ἁγίων μετὰ πάντων καὶ τοῦτο τεθαύμακα, ὅτι περ καλῶς ἐν ᾧ πᾶσι Χριστῷ διδασκάλῳ καὶ θεῷ τῶν ὅλων ἑπόμενοι δείπνῳ κἀνταῦθα τὸ θαῦμα παρείκασαν· ὥσπερ γὰρ ὁ σωτὴρ ἐπὶ τῇ πηγῇ τῆς Σαμαρείας καθήμενος, καὶ πρὸς τῶν μαθητῶν φαγεῖν προτρεπόμενος, οὕτω πρὸς αὐτοὺς ἀπεκρίνατο, ἐγὼ βρῶσιν ἔχω φαγεῖν ἣν ὑμεῖς οὐκ οἴδατε, βρῶσιν εἰπὼν τὴν τῶν εἰς αὐτὸν πιστευόντων σωτηρίαν καὶ τερπνὴν ἀπολύτρωσιν· ἐμὸν γὰρ βρῶμα φησίν ἐστιν ἵνα ποιῶ τοῦ πέμψαντός με πατρὸς

accesserat, ut tales sanctos ac tantos in convivium atque hospitium suscepisset. Et hoc quidem quod per somnium viderat penitus erat incognitum, donec de peracti miraculi explanaretur effectu.

Ego autem sanctorum laudo cum omnibus et hoc miraculum, et quod bene in omnibus Christum doctorem et Deum omnium assequentes, nec ipsum miraculum simulaverint. Dum a discipulis ut comederet hortaretur, ad eos respondit: ego cibum habeo comedere, quem vos nescitis; cibum dicens in se credentium salutem, et redemptionem optatam; meus enim cibus inquit est,

(τὸ θέλημα) καὶ τελειώσω αὐτοῦ τὸ ἔργον· ἔργον δὲ καὶ θέλημα τοῦ πατρὸς ἕτερον οὐδὲν ἢ τούτων ἡ σωτηρία καθέστηκεν· οὕτω καὶ νῦν Ἰωάννης καὶ Κῦρος οἱ μάρτυρες βρῶσιν εἰκότως καὶ δεῖπνον ἐκάλεσαν τὴν σωτηρίαν τῆς παιδὸς, προμηνύοντες καὶ τὸ γεγονὸς ἐπ' αὐτῇ θαῦμα παράδοξον, ὡς τρέφον αὐτῶν πεῖναν ἀγαθὴν καὶ φιλάνθρωπον, καὶ τέρπον αὐτῶν τὴν ἁγνὴν καὶ φιλόσοφον πρόθεσιν· ἡμεῖς δὲ τὸ περὶ τῆς παιδὸς ἐνταῦθα διήγημα περαιώσαντες, καὶ τοῖς σεσωκόσι μάρτυσι τὰς εὐφήμους βοὰς ἀναπέμψαντες, ἄλλο αὐτῶν διήγημα ἀναγράψωμεν.

ut faciam voluntatem eius qui me misit patris, et opus eius perficiam. Opus autem et voluntas patris nihil est aliud quam salus eorum qui sunt super terram. Ita etiam nunc Iohannes et Cyrus amabiles Christi martyres opportune cibum et caenam dicentes salutem parvulae, praedixerunt et quod ultra spem in ea factum est miraculum, utpote nutriens benignam eorum et humanam esuriem; delectabile quoque et venerabile gratumque propositum. Nos vero parvulae narrationem explentes, et qui eam salvaverunt martyribus voces laudiferas emittentes, alterius eorum admirandae operationis describemus assertum, ad laudem et gloriam domini nostri Iesu Christi.

ιβ. ΠΕΡΙ ΙΟΥΛΙΑΝΟΥ ΤΟΥ ΚΟΜΗΤΟΣ ΕΚ ΠΕΡΙΕΡΓΙΑΣ ΠΑΡΕΙΘΕΝΤΟΣ ΤΑ ΜΕΛΗ ΑΠΑΝΤΑ.

Ἰουλιανὸς ὁ μᾶλλον νῦν ἢ πρώην θαυμάσιος, ὁ χρημάτων εὐπορίᾳ βρυθόμενος, καὶ κτημάτων ἀρετῆς μὴ λειπόμενος, ὁ γένος ἄγων ἐπίσημον, καὶ πᾶσιν ὡς σεμνὸς γνωριζόμενος, διττὴν ἐσχηκὼς τὴν ἀσθένειαν, καὶ διττὴν ἐπὶ ταύτην κομισάμενος ἴασιν, εἰς διήγησιν πρόεισιν, ἔτι μὲν τῷ βίῳ περιλειπόμενος, καὶ πᾶσι τὰ κατ' αὐτὸν διηγούμενος· θέλων δὲ ὅμως ἐμφέρεσθαι τῷδε ἡμῶν τῷ βραχυτάτῳ συντάγματι, καὶ ὥσπερ ἀεὶ περιὼν τὸ κατ' αὐτὸν διαγγέλλειν θαῦμα τοῖς ἔπειτα· οὗ τὴν στοργὴν ἀγα-

12. DE IULIANO COMITE QUI EX MALEFICIO DISSOLUTUS EST MEMBRIS.

Iulianus, qui magis nunc est quam prius mirabilis, qui copia pecuniarum habundat, et possessionibus virtutis non deficit, qui genus ducit insigne, et omnibus tamquam gloriosus innotuit, duplicem habens infirmitatem, et duplicem super hac percipiens sanitatem, ad narrationem procedit, adhuc quidem vitae superstes, et sua omnibus referens, vult tamen et hoc nostro brevissimo stilo referri, et tamquam qui supersit semper, suum posteris praedicare miraculum; cuius affectum admirantes, et erga hos sanctos martyres

σάμενος, καὶ τὴν πρὸς τούτους τοὺς ἁγίους ἀποδεξάμενος πρόθεσιν, τὰ κατ' αὐτὸν συγγράφειν ὁρμήσωμεν.

Ἤκμαζεν Ἰουλιανὸς ἐν νεότητι, καὶ πλοῦτον εἶχεν ταύτης συνήλικα, ὃς ἀκολασίας ἐστὶν πατὴρ καὶ πάσης ἀσελγίας διδάσκαλος· καὶ ἡ μὲν τὰς ἡδονὰς ἔτικτεν καὶ προὐβάλλετο, ὁ δὲ ταύτας ἐτιθήνει τε καὶ ὑπέτρεφεν· καὶ πόλεμος ἦν τῇ ψυχῇ πρὸς πλοῦτον ὁμοῦ καὶ νεότητα σώματος· ἀλλὰ ταύτην κατὰ κράτος νικήσαντες εἷλον αἰχμάλωτον, καὶ δοῦλον ἦγον, καὶ τὰ αὐτοῖς δοκοῦντα ποιεῖν κατηνάγκαζον, μὴ τολμῶσαν ἀντειπεῖν πρὸς τὰ σκληρῶς αὐτῇ πρὸς αὐτῶν προστασσόμενα· ὥσπερ οὐδ' ὁ παλαιὸς Ἰσραὴλ

propositum approbantes, quae circa eum gesta sunt, conscribere visi * sumus.

* ita cod. non nisi.

Pollebat Iulianus in iuventute, et coaetaneam cum hac habebat opulentiam, quae luxuriae genitrix est et omnis magistra libidinis. Et illa quidem voluptates pariebat et proferebat, haec vero istas alebat tunc et nutriebat; et bellum erat animae adversus divitias pariter et corporis iuventutem. Sed hanc fortissime vincentes tulerunt captivam, et ancillam duxerunt; et quae sibi videbantur, facere cogebant. Non audebat enim contradicere ad ea quae dure sibi ab illis imperabantur, quemadmodum nec vetus Israhel serviens in

πάλαι θητεύων κατ' Αἴγυπτον· καὶ ἦν ἰδεῖν ὥσπερ ἡνίοχον ἀσθενῆ καὶ ἀδύνατον γαυριῶσιν ἵπποις ὀχούμενον, καὶ τὰς τούτων ὁρμὰς ἐπισχεῖν οὐ δυνάμενον, ἀλλ' ἀκουσίως ἀγόμενον καὶ βιαίως πρὸς αὐτῶν ἁρπαζόμενον, καὶ τέλος τὰς ἡνίας ἐάσαντα καὶ σὺν αὐτοῖς κρημνιζόμενον· οὕτως ἡ τοῦ νέου ψυχὴ πλούτῳ τυραννουμένη, τρυφῇ τε καὶ ἀκμῇ δεσποζομένη τοῦ σώματος, πρὸς αἰσχρὰς ἡδονὰς ἀπεφέρετο, καὶ πάθεσιν ἀτόποις δουλοπρεπῶς ὑπεκλίνετο· ἐν τούτῳ δὲ γεγονὼς Ἰουλιανὸς καταστάσεως, πρὸ γάμου νομίμου γάμοις ἀνόμοις συνήπτετο· καὶ πρὸ τῶν ἰδίων ἀγκαλῶν, ἀγκάλαις ἀλλοτρίαις συνείχετο· καὶ πρὶν ἢ πηγὴν οἰκείαν προσκτήση-

Aegypto; et videbatur sicut auriga infirmus et impotens, qui equis exultantibus vehitur, et horum impetum retinere non valet, sed invitus actus ac violenter ab eis arreptus, postremum retinaculis dimissis, cum illis praecipitatur. Sic et iuvenis anima tyrannidem a divitiis passa, deliciarumque ac corporis vigoris dominio oppressa, ad turpes voluptates efferebatur, et more servili passionibus pravis inclinabatur. Cumque Iulianus in hoc devenisset, ante constitutionem legalium nuptiarum, nuptiis copulabatur iniquis; et ante ulnarum amplexus suarum, ulnis alterius artabatur; et priusquam fontem proprium acquisisset, ex fonte sine

ται, ἐξ ἀδεσπότου πηγῆς πίνειν ὕδωρ ὑδρεύετο· καὶ πρὸ πώλου χάριτων, ῥεμβασμοῦ πώλῳ ὡμίλησεν· γυναίου γὰρ ἦλθεν εἰς ἔρωτα, καὶ τούτῳ δι' ἡδονὴν συνεπλέκετο.

Τιμίῳ δὲ γάμῳ συναφθεὶς καὶ ἀμιάντῳ κοίτῃ εἰς ὕστερον, καὶ τοῦ παρανόμου γάμου τῆς βλάβης αἰσθόμενος, τῆς πρὸς ἐκεῖνο τὸ γύναιον κοινωνίας ἐπαύετο· ἡ δὲ τὸν χωρισμὸν μὴ βαστάσασα, καὶ ζῆλον ἐκ τούτου λαβοῦσα παμμίαρον, φαρμακίᾳ τὸν νέον ἠμύνατο, θάνατον αὐτῷ διὰ τὸν χωρισμὸν συσκευάσασα· καὶ τοῦ μὲν φόνου τοῦ παιδὸς ἀπετύγχανεν, ἐποίει δὲ νεκροῦ μηδὲν διαφέροντα, χεῖρας καὶ πόδας τῷ φαρμάκῳ συνδήσασα, καὶ πᾶν αὐτοῦ μέλας τοῦ

auctore aquam bibere gestiebat; et ante pullum gratiarum, cum pullo convenit gratias non habente; in amorem namque mulierculae venit, et huic ob voluptatem commiscebatur.

Porro honorabilibus nuptiis et toro immaculato convinctus, iniquarumque nuptiarum sentiens laesionem, ab illius mulierculae communione cessavit: quae separationem non ferens, et zelum ex hoc scelestum accipiens, veneficio invenem impetit, et mortem ei ob separationem conficiens. Verum quidem occisione pueri frustrata est; fecit tamen eum a mortuo nihil distantem, manus et pedes potione convinciens, et omne ip-

σώματος καταργήσασα· Θεοῦ μᾶλλον τὸν νέον φυλάξαντος, τοῦ δι᾽ ἀγαθότητα μὴ νεότητος ἁμαρτιῶν μνημονεύοντος, καὶ παρορῶντος βροτῶν ἁμαρτήματα, καὶ ὀργὴν αὐθήμερον οὐκ ἐπάγοντος, ἀλλὰ μακροθυμοῦντος ἀεὶ καὶ τὴν ἡμῶν ἐπιστροφὴν καὶ μετάνοιαν ἀναμένοντος· ἐλεεινὸς οὖν ὑπῆρχεν βλεπόμενος· καὶ γονεῦσι μὲν προὔκειτο συμφορὰ, γυναικὶ δὲ νέᾳ καὶ γένει πένθος ἀντὶ χαρᾶς ἀπροσδόκητον, καὶ πᾶσι τοῖς ὁρῶσιν οἴκτιστον θέαμα· ποσὶ μὲν γὰρ ἄλλων ἐφέρετο, καὶ χερσὶν ἑτέρων ἐκέχρητο, καὶ πάντα δι᾽ ἄλλων ἐνήργει καὶ ἔπραττεν ὅσα Θεὸς ἀνθρώποις δι᾽ ἑαυτῶν ποιεῖν ἐδωρήσατο· ἰατρῶν δὲ οὐδεὶς τοῦ πάθους αὐτὸν ἠδύνατο ῥύσασθαι,

sius membrum corporis destruens; immo Deo potius iuvenem conservante, qui propter bonitatem suam delictorum iuventutis non reminiscitur, et peccata hominum despicit, et iram citam non infert, sed magnanimiter semper agit, et conversionem paenitentiamque nostram expectat. Miser ergo erat dum conspiceretur; et parentibus quidem calamitas inerat, uxori autem novae ac generi inopinatus pro gaudio luctus, cunctisque videntibus miserandum spectaculum; nam pedibus et manibus aliorum utebatur, efferebatur, et omnia per alios operatus agebat, quaecumque Deus hominibus per se ipsos facienda donavit: medi-

οὐ διαίταις, οὐκ ἀντιδότοις, οὐκ ἐπαλλήλοις ἀλείμμασιν, οὐ παντοδαποῖς βοηθήμασιν, ἀλλ' ὅλων τούτων ὑπῆρχεν ὁ πάθος ἀνώτερον, ἀνθρωπείᾳ χειρὶ χεῖρα παρασχεῖν μὴ βουλόμενον.

Ὅπερ οἱ γονεῖς θεασάμενοι, ἐπὶ θεὸν καὶ τοὺς μάρτυρας καταφεύγουσιν, χαίρειν μὲν ἰατρικοῖς βοηθήμασιν, καὶ θείαν ἀρωγὴν ἀνθελόμενοι· οἱ δὲ θειότατοι μάρτυρες τὸν νέον οἰκτείραντες, τῶν μὲν ἀλγηδόνων αὐτῷ τὰς ἀκίδας ἀπήμβλυναν, χεῖρας δὲ κινεῖν καὶ πόδας ἐκτείνειν μερικῶς ἐχαρίσαντο· τελείαν γὰρ αὐτοῖς δόγματος αἰτία τίς παρασχεῖν ἐνεπόδιζεν. Ἰουλιανὸς γὰρ οὗτος ὁ νέος, Ἰουλιανοῦ τοῦ παλαιοῦ

corum autem nullus eum a passione poterat liberare, non diaetis, non antidotis *, aut aliis aliisque unguentis, vel diversis adiuvamentis. Sed his omnibus passio potior erat, humanae manui manum praebere non volens.

* cod. datis dictis pro ant.

Quod parentes intuentes, ad Deum et ad martyres fugiunt, havete quidem medicis praenunciantes, havete autem et medicinalibus auxiliis asserentes, divinum potius auxilium exoptantes. At vero sacratissimi martyres super iuvenem misericordia moti, dolorum quidem stimulos reddiderunt optusos, manus autem movere, ac pedes partim extendere donaverunt, perfectam enim illis praebere sanitatem, quaedam causa dogmatis im-

μαθητής ἐστιν Ἀπολιναρίου ἁλικαρνασέος ὑπάρχοντος, καὶ ὁμόφρων αὐτοῦ καὶ ὁμόδοξος· ταῦτα φέρων κατὰ ψυχὴν Ἰουλιανὸς ὁ νέος τὰ δόγματα, οὐ δι' αὐτὰ τοῖς ἁγίοις, ἀλλὰ διὰ τὸ τοῦ σώματος προσεπέλασεν νόσημα· οἱ δὲ μακάριοι μάρτυρες πολλάκις αὐτῷ νύκτωρ ἐπιφερόμενοι, τοῦ τοιούτου δόγματος παρῄνουν ἀπέχεσθαι, καὶ τῆς καθολικῆς ἐκκλησίας τὴν κοινωνίαν ἀσπάσασθαι· πολλάκις δὲ καὶ τὸ ποτήριον ἐβάσταζον ἅγιου σώματος δεσποτικοῦ πεπληρωμένον καὶ αἵματος, καὶ προσελθεῖν αὐτῷ προετρέποντο, αὐτοῖς τὸ δοκεῖν μεταλαμβάνοντες, καὶ συμμεταλαβεῖν αὐτοῖς τὸν Ἰουλιανὸν προσκαλούμενοι· ἔσθ' ὅτε δὲ καὶ δογματικῶς

pedivit. Iulianus quippe hic iunior, cum Iuliani (apollinaristae) veteris halicarnassensis haeresim sequi vovisset, consentaneus erat etiam opinionis eiusdem. Haec ferens in animo Iulianus iunior dogmata, non propter illa sanctis, sed ob corporis approximabat languorem. Porro beati martyres frequenter et noctu apparentes, ab huiusmodi dogmate monebant abscedere, et ecclesiae catholicae communionem amplecti. Multotiens vero etiam calicem portabant sanctum, corpore dominico plenum et sanguine, et accedere illum exhortabantur; ipsi, ut putabantur, sumentes, et Iulianum secum sumere advocantes: nonnumquam

αὐτῷ διελέγοντο διασαφοῦντες τὴν ἐν ἐκκλησίᾳ κηρυττομένην ἀλήθειαν, καὶ οὕτως ἔχειν τὸ περὶ τῆς σωτηριώδους Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἑνώσεως ὤμνυον κήρυγμα.

Ἀλλ' ὡς ταῦτα πάντα καὶ τούτων πλείονα διεπράξαντο, καὶ τὸν Ἰουλιανὸν οὐκ ἔπεισαν, πεισθῆναι μὴ θέλοντα, πάλιν αὐτῷ τῆς προτέρας ὀδύνης ἀνέμνησαν, καὶ τὰ κέντρα τῶν ἀλγηδόνων αὐτῷ μετὰ προσθήκης τάχά τινος ἐπανέστησαν, χεῖρας ὡς τὸ πρὶν καὶ πόδας συνδήσαντες, καὶ μειζόνως τὰς ἀλγηδόνας αὐξήσαντες· τάχά που τὸ τῆς μελῳδίας ἔργοις αὐτοὶ ἐνδεικνύμενοι, ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας τῶν μὴ πρὸς θεὸν ἐγγιζόντων διὰ πίστεως ἄγ-

vero etiam cum eo dogmatice disputabant, edisserentes veritatem quae in ecclesia praedicatur, et sic se habere praedicationem quae est de salutifera Christi Dei nostri unitate iurabant.

Sed cum haec omnia et his plura egissent, Iulianumque nullo modo inflexissent obedire nolentem, iterum eum prioris doloris reminisci compellunt, et aculeos dolorum ei cum additamento forte quodam erexerunt, manus sicut prius et pedes colligantes, et magis doloribus incrementum dantes, et in camo et freno maxillas eorum qui ad Deum per fidem non approximant, constringentes. Ille enim fortis adolescens, qui tot admo-

χοντες· ἐκεῖνος γὰρ ὁ γενναῖος νεανίας ὁ τοσαύτας μὲν παραινέσεις, τοσαύτας δὲ μαρτυρίας καὶ τηνικαύτας ὀπτασίας, καὶ πρός γε τούτων ἁπάντων τὸ ἐπ᾽ αὐτῷ γεγονὸς θαῦμα παραγραψάμενος, τὰς μικρὰς ἐκείνας οὐκ ἴσχυσεν παραγράψασθαι μάστιγας, ἀλλ᾽ ἔκραζεν ἐβόα ἐλιτάνευεν ἐκάλει ἠντιβόλει ἱκετείας ἀπέπεμπεν τοὺς μάρτυρας ἀποκαλούμενος· καὶ ἦν οὐδεὶς ὁ λυτρούμενος ἢ ὁ ῥυόμενος ἢ τῶν δεινῶν ἐξαιρούμενος ἢ βοηθῆσαι δυνάμενος, ἐπεὶ τῶν ἁγίων ἦν ὀργὴ τὸ γινόμενον.

Ἀλλ᾽ ὅτε αὐτοῦ τὸ ἀντίθασσον τοιαύταις βασάνοις ἡμέρωσαν, καὶ πειθήνιον τὸν πρὶν ἀνήκοον ἀπειργάσαντο, τότε φαίνονται μειδιῶντες καὶ προσπαίζοντες, καὶ δι᾽ ἣν αἰτίαν οὕτω βοᾷ

nitiones, tot testimonia, et tantas visiones, et super haec omnia quod in se factum fuerat miraculum parvipendit, modica illa parvipendere flagella non valuit, sed clamabat, vociferabatur, vocabat, deprecabatur, rogabat, supplicationes mittebat, martyres invocans. Et erat nullus qui redimeret, qui erueret, qui a cruciatibus eriperet, vel qui auxiliari potuisset; nam ira sanctorum erat, quod fuerat factum.

Sed quando eius obstinationem talibus manus suae affecerunt tormentis, et persuasibilem eum qui prius fuerat inpersuasibilis operatae sunt, tunc

τε καὶ κράζει διεπυνθάνοντο· ὁ δὲ ὡς ἀγνοοῦσιν αὐτοῖς τὸ τοῦ πάθους διήγγειλεν, καὶ βοηθῆσαι προσετρέπετο κινδυνεύοντι· οἱ δὲ θεσπέσιοι μάρτυρες πάλιν αὐτὸν τῆς ὀραθείσης ἀνεμίμνησκον πίστεως, καὶ ὡς ταύτης χάριν αἱ ἀλγηδόνες αὐτῷ παρενοχλοῦσιν ἐσήμαινον, καὶ ὡς οὐκ ἄν ποτε τῶν δεινῶν αὐτὸν ἀπαλλάξειεν, εἰ μὴ πρῶτος αὐτὸς ἑαυτὸν τῆς ἐχούσης αἱρέσεως ἀπαλλάξειεν, καὶ τῆς ἀποστολικῆς ἐκκλησίας τὴν κοινωνίαν ἀσπάσοιτο· ὅπερ Ἰουλιανὸς ἰδεῖν ἐπόθει, καὶ πύθεσθαι προσηύχετο· ὡς δὲ προϊέμενον αὐτοῖς τὸν νέον ἴδον οἱ μάρτυρες, καὶ ταῦτα οἱ πρὸς μείζονα πληροφορίαν ἀπήγγελλον· χεῖρας γὰρ εἰς οὐρανὸν ἀνατείναντες μεγί-

apparent subridentes et alludentes, et quamobrem ita clamaret sciscitabantur. At ille quasi ignorantibus eis, quae erant passionis, enuntiavit, et adiuvare cohortabatur periclitantem. Egregii vero martyres eum super fide recta denuo commonebant, et quod huius causa dolores illi essent molesti significabant, et quod numquam aliquando a cruciatibus eum essent liberaturi, nisi prius ipse se ipsum ab haeresi qua tenebatur eripuisset, atque apostolicae ecclesiae communionem foret amplexus, quod Iulianus videre desiderabat et consulere semper optabat. Cumque illum accedentem ad se martyres aspexissent, etiam haec ei ad ma-

στους ὅρκους καὶ φρικώδεις διώμνυντο, ὡς οὐ γαϊανίτας, οὐ θεοδοσιανοὺς, ἐν μέτρῳ πιστῶν ἢ εὐσεβῶν ἀριθμῷ ἔχει Χριστὸς ἢ λογίζεται· τούτων Ἰουλιανὸς ἐνομότως πρὸς τῶν ἁγίων πυθόμενος, καὶ πληγαῖς καὶ ὅρκοις παιδευθεὶς τὴν ἀλήθειαν, ἀμφοτέρων αὐτῶν ἀπηλλάττετο, ὑγείαν ψυχῆς καὶ ῥῶσιν σώματος προσλαβὼν διὰ πίστεως.

Βλάψει δ' οἶμαι τὸ διήγημα, εἰ σιγήσω τὸ τῶν ἁγίων ἀνθερὸν καὶ ἐπίχαρι, ὃ περὶ τὴν Ἰουλιανοῦ μετάληψιν ἐπεδείξαντο· ἔστιν δὲ οὕτω· ἐπειδὴ μὲν γὰρ αὐτὸν τῆς προτέρας αἱρέσεως ἀφιστάμενον ἔβλεπον, τὴν ἀληθῆ δὲ τοῦ σωτῆ-

iorem satisfactionem denuntiaverunt: manus enim in caelum extendentes, maxima iuramenta et horrenda iurabant, quod non Gaianitas, non Theodosianos in numero fidelium vel piorum habeat Christus vel reputet. Haec Iulianus cum iuramento a sanctis audiens, et plagis et iuramentis veritatem ediscens, ab utroque liber effectus est, sanitate animae et incolumitate corporis per fidem resumpta.

Laedere autem puto narrationem, si tacuero sanctorum agilitatem, et gratulationem, quam circa Iuliani communionis perceptionem demonstraverunt; est autem haec. Quia enim eum a priori quidem haeresi distantem, et veram Salvatoris

ρος ὁμολογίαν ἀσπάσαντα, περὶ δὲ τὴν μετάληψιν τῶν ἁγίων μυστηρίων αἰδούμενον καὶ αἰσχύνην ἡγούμενον ἐφ᾽ οἷς ἔδει λαμπρύνεσθαι, θαυμαστόν τι καὶ θυμηδίας ἄξιον διαπράττονται· φανέντες γὰρ καθ᾽ ὕπνους αὐτῷ ὥσπερ εἰώθασιν, ἰδοὺ φασὶν ἐγγύς ἐστιν τὸ τοῦ σωτῆρος γενέθλιον, ὅτε τοῦ θεοῦ καὶ πατρὸς ὁ μονογενὴς υἱὸς σαρκωθεὶς ἐνηνθρώπησεν· ταύτην ἀλεξανδρεῖς τὴν ἱερὰν καὶ σεβασμίαν πανήγυριν, οἱ τῆς καθολικῆς ἐκκλησίας υἱοί τε καὶ τρόφιμοι ἐν τῇ ἐπωνύμῳ Θεωνᾷ τῆς ἁγίας παρθένου Μαρίας καὶ θεομήτορος ἄγουσιν· εἰς ταύτην οὖν καὶ αὐτὸς ἀφικνούμενος, καὶ εἷς τῶν τὴν γενέθλιον ἑορτὴν εὐσεβῶς γεραιρόντων γενόμενος,

confessionem arripientem intuebantur, circa perceptionem vero sanctorum mysteriorum verecundantem, et confusionem arbitrantem, in quibus oportebat clarum existere; miraculi quiddam et delectamento dignum peragunt. Apparentes autem in somnis ei, quemadmodum consueverant; ecce inquiunt prope est Salvatoris nativitas, quando Dei patris unigenitus filius incarnatus homo factus est. Hanc alexandrini sacram et celeberrimam festivitatem catholicae ecclesiae filii et alumni, in basilica sanctae virginis Mariae ac Dei matris agunt, quae cognominatur Theona. Ad hanc ergo et ipse profectus, et unus eorum, qui nati-

κἂν τῇ τῶν πιστῶν ἐκκλησίᾳ συναριθμούμενος, τῇ ψαλμῳδίᾳ κοινώνησον, καὶ τῶν ἀποστολικῶν ἀναγνωσμάτων ἀκρόασαι, καὶ τῆς τῶν ἱερῶν εὐαγγελίων ἄκουσον σάλπιγγος· μέχρι γὰρ τῆς τούτων ἀκροάσεως παραμένουσιν· καὶ μετὰ τὴν τῶν εὐαγγελικῶν ἀκουσμάτων ἀπόλυσιν, κατὰ τὴν παλαιάν σου συνήθειαν ἔξιθι, τὸ ἀνύποπτον σαυτῷ προμηθούμενος· καὶ τοῦ τεμένους ἐξιὼν, ἐν τῷ δρόμῳ παράμεινον· τόπος οὗτος ἐπίσημος τῆς ἀλεξανδρέων καθέστηκεν πόλεως, ἐκ λεωφόρου σχήματος κείμενος, ἐμβόλοις μὲν δυσὶν μεσάμενος, καὶ κίοσι καὶ μαρμάροις κοσμούμενος, λεῷ τε στενοχωρούμενος πλείονι, καὶ τοῖς ἐν ἀγοραῖς παντοδαποῖς πρατηρίοις βριθόμενος·

vitatis dominicae pie celebrant sollemnitatem, effectus, et cum ecclesia fidelium connumeratus, psalmodiae communica, et apostolicam lectionem absculta, et sanctorum tubam evangeliorum audi: etenim usque ad horum abscultationem, hii qui haereseos tuae sunt, perseverant; et post evangelicarum auditionum absolutionem, secundum priscam consuetudinem exi, ut absque suspicione remanere videaris, procurrens, et a templo egressus in dromo expecta, qui locus insignis in alexandrina urbe consistit, in plateae figuram coniacens, porticibus quidem duabus mediatus, et columnis ac marmoribus adornatus, populoque plu-

ἐν τούτῳ, φασὶν, τοὺς περιπάτους ποιούμενος, ἐπιτήρει τῆς συνάξεως τὴν ἀπόλυσιν· καὶ ὅτε πάντας ἴδῃς ἀναχωρήσαντας οἴκαδε, τότε καθ' ἡσυχίαν μηδενὸς λοιπὸν καθοπτεύοντος, εἰς τὸ τέμενος εἰσελθὼν, τῶν σεπτῶν μηστηρίων μετάλαβε, καὶ οὕτω εἰς οἶκον ἐλάσας ἡσύχαζε τὸν ἡμέτερον· οὗ γεγονότος, καὶ τὸν τῆς ἐπιγνωσθείσης αἱρέσεως ἅμα τὸ λεχθῆναι μῶμον ἐκφύγειας, καὶ τὴν τῆς αἰσχύνης ὑπόνοιαν παύσεις· τῆς δὲ σωτηρίας ἀκατάληκτον ἕξεις τὸν ἔπαινον· καὶ ταῦτα μὲν οἱ ἅγιοι συνεβούλευον.

Ἰουλιανὸς δὲ τὴν συμβουλίαν ὡς ἐξ ἁγίων δεξάμενος, καὶ τῷ οἰκείῳ σκοπῷ δοὺς ἀκόλουθον ἐντολαῖς ἄγειν συνέθετο· ὁ δὲ οὐκ ἦν ὡς

rimo angustatus, atque diversis forensibus mercimoniis honeratus. In hunc ait cum ieris, observa synaxeos absolutionem; cumque omnes videris domum reversos, tunc silentio, nemine contemplante, in templum ingressus, veneranda suscipe sacramenta, et taliter in domum nostram vadens quiesce. Quo facto atque comperto, his qui haereseos tuae sunt, mox ut dictum fuerit, silentio contegetur, et verecundiae quiescet suspicio, et salutis indesinentem habebit laudem; et hoc quidem sancti dabant consilium.

Iulianus autem consilio tamquam a sanctis accepto, quod proprio videbatur concordare con-

ἐνόμιζεν, οὐδὲ ὡς ἐπόθει τε καὶ ἐγλίχετο, εἰ καὶ ταῦτα ἔχειν ἐνόμιζεν τὴν παραίνεσιν· ἀλλ' ὡς τοῖς ἁγίοις ἐδόκει τε καὶ τεθέσπιστο, καὶ τὸ τοῦ σωτῆρος δημηγόρευσε λόγιον· οὕτως λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσιν τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς· ὃ γὰρ οἱ μάρτυρες ἐπὶ τῶν δομάτων κηρύττειν ἐβούλοντο, τοῦτο ἐκεῖνος ἐν ἀφανεῖ κρύπτειν ἐβούλετο· ἐπιστάσης οὖν τῆς τῶν γενεθλίων ἱερᾶς πανηγύρεως, τῆς τῶν ἁγίων Ἰουλιανὸς μνημονεύσας κελεύσεως, ἐπὶ τὸ Θεωνᾶ καλούμενον φησὶν τέμενος ἔρχεται· καὶ ἀκροατὴς γενόμενος τῶν εὐαγγελικῶν ἅμα τε καὶ ἀποστολικῶν ἀναγνώσεων,

silio, in finem reducere repromisit; quod tamen non erat ut extimabat, neque ut desiderabat et anhelabat; quamquam sic se habere commonitionem putaret: sed ut a sanctis visum atque decretum est, et Salvatoris concionatur eloquium, luceat lux vestra coram hominibus, ut videant opera vestra bona, et glorificent patrem vestrum qui in caelis est. Quod enim martyres supra tecta praedicari volebant, hoc ille in obscuro abscondere satagebat. Instante itaque nativitatis dominicae sacra sollemnitate, sanctorum iussionis recordatus Iulianus, ad templum venit quod Theona vocitatur, et auditor evangelicarum et aposto-

ἐπὶ τὸν δρόμον μετὰ τὴν τούτων ἐξῆλθεν ἀνάγνωσιν· κἀκεῖσε μείνας τὸν καιρὸν τῆς συνάξεως, μετὰ τὴν ταύτης ἀπόλυσιν καὶ τῶν πιστῶν ἀναχώρησιν, πάλιν τῷ νεῷ προσπελάσας ἐκέκρυπτο· καὶ ὡς ἐδόκει τὴν τῶν μυστηρίων ἐποιεῖτο μετάληψιν.

Ἀλλ' ἐν ὅσῳ κάτω νεύων καὶ κεκυφὼς, ὡς προσῆκον ἦν, τοῦ δεσποτικοῦ μετέλαβεν σώματος, κληρικοὶ τῆς τῶν γαϊανιτῶν λεγομένης αἱρέσεως ἑκατὸν περί που τάχα τὸν ἀριθμὸν, εἰς τὸν νεὸν εἰσῆλθον τοῦ εὔξασθαι, ἐκ συνηθείας τοῦτο τινὲς μετὰ τὴν ἀπόλυσιν ποιούμενοι, τοῦ τόπου τὸ σέβας φυλάττοντες, καὶ τῇ θεοτόκῳ τὴν συνήθη προσκύνησιν νέμοντες· οἳ

licarum lectionum effectus, ad dromum post horum recitationem exivit. Et cum ibi mansisset tempore synaxeos, post huius absolutionem et recessum fidelium, iterum ad templum accessit, et occulte ut putabat mysteriorum faciebat communionem.

Sed dum inclinis et submissus, ut conveniebat, dominicum sumeret corpus, clerici haereseos quae dicitur Gaianitarum, centum forte circiter numero, in templum ingressi sunt oraturi, ex more hoc quodam post absolutionem quae ab eis agebatur facientes, locique venerationem custodientes, ac Dei genitrici ad orationem solitam

τὸν Ἰουλιανὸν μεταλαμβάνοντα θεασάμενοι, τῇ μεταβολῇ τοῦ ἀνδρὸς ἐξεπλάγησαν, καὶ ἀλλήλοις ἐνένευον, τοῖς εὐκ ἑωρακόσιν αὐτὸν ἐνδεικνύμενοι· ὁ δὲ ἀνανεύσας τὴν ζωοποιὸν τροφὴν ἐν σπλάγχνοις κατέθετο· κἀκείνους εὐθὺς θεασάμενος, ἐπλήσθη τοῦ τῆς αἰδοῦς ἐρυθήματος· κἀκ τῶν ἁγίων αὐτῷ γεγονέναι τὸν θρίαμβον ἔγνωκεν· καὶ πάντα αὐτοῖς διερωτῶσιν ἀπήγγειλεν, ὅσα τε κατέχοντες αὐτὸν οἱ μάρτυρες διεπράξαντο· καὶ ὡς ἐρυθριῶντα αὐτὸν περὶ τὴν μετάληψιν ἐθριάμβευσαν· καὶ τούτῳ μὲν αὐτῷ τῷ τρόπῳ πρὸς τὴν καθολικὴν ἐκκλησίαν συνάφεια γέγονεν, θαύματος καὶ ἐκπλήξεως καὶ τῆς τῶν ἁγίων ἡμερότητος πεπληρωμένη καὶ χάρι-

impendentes; qui Iulianum communicare videntes, de commutatione viri stupefacti sunt, et invicem innuebant, maxime his qui non viderant hoc monstrantes. At ille cum vivificam escam in visceribus recondidisset, eos mox intuitus, et verecundia repletus erubuit, et a sanctis factam sibi publicationem fuisse cognovit, et omnia illis percontantibus significavit, quanta videlicet instruentes eum martyres egerint, et qualiter erubescentem illum circa communionis perceptionem publicaverint. Et hoc quidem modo ad catholicam ecclesiam copulatio facta est, miraculo et stupore referta et sanctorum mansuetudine repleta et gra-

τος· ἡ δὲ ῥῶσις τοῦ σώματος τῇ τῆς ψυχῆς μετα-θέσει συνέτρεχεν· ἡμεῖς δὲ τὴν περὶ αὐτοῦ διή-γησιν ἐκπληρώσαντες, καὶ τοὺς ἁγίους ὑμνή-σαντες, ἐφ' ἑτέραν αὐτῶν θαυματουργίαν μετέλ-θωμεν, καὶ ταύτης ποιησώμεθα τὴν διήγησιν.

ιγ. ΠΕΡΙ ΗΛΙΟΥ ΤΟΥ ΛΕΠΡΟΥ.

Τὸ εἰς Ἠλίαν δὲ τὸν λεπρὸν πραχθὲν τοῖς ἁγίοις τεράτιον, τίς ἀκούσας οὐ θαυμάσει τοὺς δράσαντας, καὶ πλεῖστα δύνασθαι μαρτυρήσει τῷ θαύματι; λεπρὸς ὁ Ἠλίας ἐτύγχανεν, καὶ χρόνον πολὺν ἔσχε τοῦτο τὸ σύμπτωμα, οὐχ ἐνὶ μέλει λεπρὸς γνωριζόμενος, ἀλλ' ἐν ὅλῳ τῷ σώματι τῆς ἀσθενείας φέρων τὰ στίγματα,

tia. Porro incolumitas corporis cum animi mutatione concurrit. Nos autem narrationem de ipso complentes, sanctosque laudantes, ad aliud eorum mirabile opus (transeamus) et hanc quoque faciamus narrationem.

13. DE HELIA LEPROSO.

Quod autem in Helia leproso patratum est a sanctis prodigium, quis audiens non eos qui patravere mirabitur; et plura posse quam istud miraculum fuerit attestabitur? Helias itaque hic leprosus erat, et hanc concisionem multo tempore habuit, non in uno membro leprosus agnitus,

οὐχ ἅπερ ἔχων ὁ Παῦλος ἐπ' αὐτοῖς ἐσεμνύνετο· ἀρεταὶ γὰρ ἐκεῖναι καὶ πράξεις οὐράνιοι, ἐν Παύλῳ τὸν Χριστὸν εἰκονίζουσαι, καὶ ἀκτῖνες οἷόν τινες τοῦ τῆς δικαιοσύνης ἡλίου τυγχάνουσαι, καὶ τέκνα φωτὸς καὶ υἱοὺς ἡμέρας ποιοῦσαι τοὺς ἔχοντας· ἀλλ' ἐκεῖνα ἃ κατὰ νόμον μωσαϊκὸν βδελλυρά τε ἦν καὶ ἀκάθαρτα, καὶ τὸν γεννώμενον ἄνθρωπον ἔξω παρεμβολῆς καὶ πόλεως ἤλαυνεν, βδελλυρὸν καὶ ἀκάθαρτον τῶν λοιπῶν ὁμοφύλων ἀπείργοντα.

Ταῦτα φέρων Ἠλίας τὰ στίγματα, τῆς ἁμαρτίας ὑπάρχοντα σύμβολα, ἅπερ ὁ λόγος θεὸς ὢν καὶ ἄνθρωπος ἐν ἀνθρώποις γενόμενος, καὶ κα-

sed in toto corpore infirmitatis stigmata ferens; non tamen ea, quae cum haberet Paulus, in ipsis gloriabatur: virtutes enim erant illa, et actiones caelestes in Paulo Christum imaginantes, et radii quidam solem iustitiae demonstrantes, et filios lucis atque diei eos qui has habuerunt facientes: sed illa quae secundum legem mosaycam abhominanda erant, atque inmunda, et a quibus alieni factus coloris homo extra castra et civitatem pulsus, tamquam abhominabilis et immundus a reliquis contribulibus arcebatur.

Haec Helias stigmata ferens, quae peccata sunt singula, quaeque verbum Deus existens, et homo inter homines factus, et secundum spiritum et

τὰ πνεῦμα καὶ κατὰ γράμμα τῶν ἀνθρώπων ἀπήλασεν· καὶ τὸν τότε θεραπευθέντα κατὰ τὸ γράμμα, λεπρὸν κατὰ τὸν νόμον Μωϋσέως προσενέγκαι τὸ δῶρον ἐθέσπισεν· καὶ μηδὲν πρὸς μηδενὸς ὠφελούμενος, ἄπρακτοι γὰρ κἀνταῦθα πεφύκασιν Ἱπποκράτης τε καὶ Γαληνὸς καὶ Δημόκριτος ὁ ἀδελφὸς ὁ νόθος τῆς φύσεως, καὶ σὺν αὐτοῖς οἱ τοῖς λόγοις αὐτῶν βρενθυνόμενοι, καὶ τὰς τούτων ἡμῖν προσηγορίας ἀντὶ μεγάλων φαρμάκων προσφέροντες, πρὸς Κῦρον καὶ Ἰωάννην τοὺς μάρτυρας ἔρχεται, τοῦ πάθους τὴν ἴασιν θέλων πορίσασθαι, καὶ πιστεύων ὡς πάντως πορίσηται· οὐκ ὀλίγου δὲ παρεκταθέντος χρονικοῦ διαστήματος, μηδὲν ὀνήσας ἠθύμησεν, τῶν ἁγίων

iuxta litteram ab hominibus pepulit. Sed et tunc secundum litteram curatum leprosum, secundum legem Moysi, munus offerre decrevit, et nihil a quoquam adeptus utilitatis. Inefficaces enim etiam huic apparuerunt Hippocrates et Galenus, ac Democritus frater eius nothus natura, atque cum illis hii qui ex verbis eorum efferuntur, nobisque horum appellationes pro magnis remediis afferunt; ad Cyrum et Iohannem martyres venit, sanitatem volens passionis acquirere, et credens quod acquisiturus penitus esset. Praeterea non modico prolongato temporis intervallo, nihil proficiens maerore affectus est, sanctis, dispensationibus qui-

οἰκονομίαις τισιν ταμιευομένων τὴν ἴασιν· καὶ τοῦτο παθὼν ἐκ διαβολικοῦ δηλονότι φρονήματος, τοῦ καὶ αὐτὸν κωλῦσαι τῆς θεραπείας θελήσαντος, καὶ τὴν τῶν ἁγίων ἐκκόψαι συμπάθειαν, μένειν ἔτι κατὰ τὸ τέμενος οὐκ ἠδύνατο· βαρὺ γὰρ τῆς ἀκηδείας τὸ πάθος, καὶ πάνυ ψυχαῖς φιλοθέοις πολέμιον, καὶ μεγάλα ταύτας ἀδικῆσαι δυνάμενον, εἰ μὴ θᾶττον αὐτὸ ὡς δαιμονίου φάσμα μεσημβρινοῦ νεανικῶς ἀποσβέσωσιν· ὅπερ ὁ λεπρὸς ποιεῖν ὑπερθέμενος, καὶ μὴ ἰσχύσας ἔτι φέρειν αὐτοῦ τὴν ἐκπύρωσιν, ἀπάρας ᾤχετο, καταλιπὼν τὸ τέμενος, καὶ τὰ τῶν μαρτύρων θεῖα χαρίσματα, καὶ ὅσον ἐπ' αὐτῷ τῆς οἰκείας ἀσθενείας τὴν ἴασιν.

busdam, differentibus sanitatem: et hoc passus ex diabolico procul dubio sensu, qui et ipsum inhibere sanitate voluit, et sanctorum recidere compassionem; manere ultra in templo non potuit; grave namque est acediae vitium, et vehementer animabus diligentibus Deum adversum, et magnopere has laedit; nisi dum recens est, maturius id tamquam daemonii meridiani flammam extinguant. Quod leprosus facere differens, et non valens ultra ferre ipsius incendium, profectus recessit, relictis templo ac divinis martyrum charismatibus, et quantum in se erat infirmitatis propriae sanitate.

Ἀλλ' οἱ ἅγιοι κατὰ τὸν καιρὸν αὐτῷ φθονηθέντα τῆς ῥώσεως θεασάμενοι, οἰκτείραντες ἐπήλεησαν, φροντίσαντες οὐδὲν τῆς εἰς αὐτοὺς ἀλογίας καὶ ὕβρεως· ἀναχωροῦντι δὲ κατὰ τὸ Μητρᾶ τοῦ ἁγίου μαρτύριον μεσούσης ἡμέρας ἐν μοναχῶν ὑπαντήσαντες σχήματι, καὶ ἄγνοιαν συμπαθῆ προσποιησάμενοι, πόθεν ἔρχοιτο καὶ ποῦ πορεύοιτο προσηρώτησαν· ὁ δὲ ὡς ἀληθῶς ἀγνοοῦσιν ἐπαγγελίαν ποιούμενος, καὶ τοὺς ἁγίους ὠνόμασεν καὶ τοὺς μῆνας ἔφρασεν· ἀλλ' οἱ μάρτυρες καὶ τὴν αἰτίαν λέγειν δι' ἣν ἐκεῖ παρεγένετο διεκέλευον· ὁ δὲ τὴν αἰτίαν, ἔφησεν, βλέπετε, προφανὴς γὰρ αὕτη καὶ οὐ χρῄζει τινὸς τοῦ μηνύοντος· οἱ δὲ θεσπέσιοι πάλιν ἐπύ-

Sed sancti per idem tempus eum invidiam passum quia convaluerat * contemplantes, miserati misericordiam praestiterunt, nihil curantes in se ab eo factam stultam iniuriam. Cumque recederet, iuxta sancti Metrae martyrium, mediante die in monachorum ei schematibus obviantes, ignorantiamque compassionis fingentes, unde veniret, et quo pergeret, percontati sunt. At ille quasi veraciter ignorantibus confessionem faciens, et sanctos nominavit, et templum asseruit. Sed martyres et causam iterum, propter quam illuc venerat, dicere praeceperunt. Ille vero dixit : causam videtis, manifesta enim haec est, et non eget

* *dic* quominus convalesceret.

θοντο, καί τινος λέγοντες ἕνεκα πρὸ τῆς τοῦ πάθους ἀπαλλαγῆς ἀνεχώρησας; παραμονῆς τὸν χρόνον ἐσήμανεν, καὶ ὡς οὐδὲν ὠφελεῖτο παραμείνας ἐμήνυεν, μάρτυρας τὰς εἰδεχθεῖς ἐκείνας λευκάδας ποιούμενος· οὐ τοὺς ἁγίους ἐν τούτῳ μεμφόμενος μὴ δυνηθέντας ἢ μὴ θελήσαντας, ἀλλ' ἑαυτὸν ἀνάξιον σὺν εὐλαβείᾳ καὶ δάκρυσιν εἰπὼν τοῦ δωρήματος· οἱ δὲ συμπαθέστατοι μάρτυρες ἔτι μᾶλλον αὐτὸν ἐλεήσαντες, πείθου καὶ νῦν ἡμῖν καὶ δρομέως ὑπόστρεφε λέγουσιν, καὶ ὄψει θεοῦ τὰ θαυμάσια, καὶ τὴν ἐπὶ σοὶ τῶν ἁγίων ἐπίσκεψιν· πρὸς τὸ αὐτῶν οὖν ἀφικόμενος τέμενος, καμήλους εὑρήσεις ἐπὶ τὴν πηγὴν παριούσας ὡς τέτταρας, καὶ τῆς τετάρτης

cuiuspiam nuntio. Ast egregii sancti denuo sciscitabantur, dicentes: et quam ob causam ante passionis libertatem discessisti? Et perseverantiae tempus significavit, et quod nihil proficeret perseverans enuntiavit, testes ipsos turpes albores ostendens; non sanctos in hoc incusans, sed se indignum cum reverentia et lacrimis tanto munere asserens. Porro compatientissimi martyres magis super eo miserti, acquiesce nobis etiam nunc, et citius revertere inquiunt, et videbis mirabilia, et super te visitationem sanctorum. Ad eorum itaque templum profectus camelos invenies supra fontem adesse quatuor, et quarti stercus

ἐπιμελῶς τὴν κόπρον δεξάμενος τῷ τῆς πηγῆς ἀνάλυσον ὕδατι, καὶ τούτῳ τῷ χρίσματι ἅπαν σου τὸ σῶμα κατάχρισον, μηδὲν ὅλως παρερχόμενος ἄχριστον, ἵνα μὴ τὸ τούτου μὴ χριώμενον μείνῃ πάλιν κατάστικτον καὶ ταύτῃ τῇ νόσῳ διηνεκῶς κατεχόμενον· καὶ ταῦτα κατὰ πρόσωπον λέξαντες, ἀφανεῖς ἀθρόως ἐγένοντο.

Ὁ δὲ θείαν εἶναι τὴν ὄψιν εὐθὺς λογισάμενος, καὶ ὡς αὐτοί εἰσιν οἱ φαινόμενοι καὶ ταῦτα προστάξαντες μάρτυρες, σπουδαίως πρὸς τὸ σεπτὸν αὐτῶν ἔρχεται τέμενος, καὶ πρὸς τῆς πηγῆς τὰς λεχθείσας αὐτῷ καμήλους εὑράμενος, τὴν τῆς τελευταίας ὀνθὸν, ὡς εἶπον, ἐπέλαβεν, καὶ ταύτην τῆς αὐτῶν πηγῆς ἀποβρέξας

diligenter acceptum aqua fontis dissolve, et hac unctione totum corpus tuum inunge, nihil omnino praetermittens minus inunctum, ne hoc quod inunctum non fuerit, maneat rursus distinctionibus variatum, et ab hoc languore continuatim possessum. Et his in faciem illius edictis, repente disparuerunt.

At ille divinam fuisse visionem, et quod ipsi fuerint, qui apparuerant, et ista praeceperant, martyres mox intelligens, festinanter ad venerabile templum ipsorum venit, et ante fontem iam dictis camelis inventis, novissimi stercus sicut dixerant sumpsit, et id fontis eorum rigans fluen-

τοῖς νάμασιν, ὅλον ἑαυτὸν περιέχρισεν· ἔσχεν δὲ κἀνταῦθα φθονοῦντα τὸν δαίμονα· τὰς γὰρ ὄψεις οὐκ ἔχρισεν τὸ χρίσμα φησὶν τὸ καθαῖρον αὐτὸν μυσαττούμενος· ὅθεν ἀκολούθως κατὰ τὴν τῶν ἁγίων θεόφραστον κέλευσιν, ὅλον μὲν αὐτοῦ τὸ σῶμα καθαρὸν τῶν στιγμάτων εὐθέως ἐγένετο, τὸ δὲ πρόσωπον ἔμεινεν διὰ βίου κατάστικτον· τῆς μὲν αὐτοῦ παρακοῆς οὐ κρυπτόμενος ἔλεγχος, τῆς δὲ τῶν μαρτύρων δυνάμεως καὶ παραλογιζομένης κελεύσεως κήρυξ ἀσίγητος καὶ μάρτυς ἀληθῶς ἀξιόπιστος· καὶ πολλὰ μὲν ἑαυτὸν τῆς παρακοῆς Ἠλίας ἐμέμψατο, ὤνησεν δὲ τὸ παράπαν οὐδὲν, ὥσπερ οὐδὲ Ἠσαῦ μετὰ δακρύων ἐκζητήσας αὐτοῦ τὰ πρωτότοκα.

tis, totum sese perunxit. Habuit autem et hic iterum invidentem sibi diabolum; nam faciem non inunxit, quasi unctionem purgantem abhominans; unde consequenter, iuxta sanctorum deiloquam iussionem, totum quidem corpus eius mundum a stigmatibus continuo factum est; porro facies permansit, tota vita sua, varietate distincta; inobedientiae quidem eius non occultanda correptio, virtutis autem martyrum et non contemnendae iussionis praeco non tacens, et testis revera fide dignissimus; et multum quidem semet Helias propter inobedientiam incusabat, sed nihil

ιδ. ΠΕΡΙ ΘΕΟΠΕΜΠΤΟΥ ΤΟΥ ΔΑΙΜΟΝΙΩΝΤΟΣ.

Παρείτω μετ' Ἠλίαν εἰς μέσον ἡμῖν ὁ Θεόπεμπτος ἀκολουθίαν εὑραμένος εὔκαιρον, τῆς τῶν ἡγουμένων στοιχείων τῆς ἑκατέρων προσηγορίας φύλαξ συνθέσεως· καὶ σύντομον τῆς κατ' αὐτὸν θαυματουργίας ποιήσομαι τὴν διήγησιν, τέρπουσαν μὲν εὐσεβῶν τοὺς ἀκούοντας, ἀναγγέλλουσαν δὲ τὰ τῶν ἁγίων κατὰ δαιμόνων φοβερώτατα τρόπαια· ἐδαιμονία δεινῶς ὁ Θεόπεμπτος, καὶ τῶν ἀνθρώπων ὑπῆρχεν οὐδεὶς, ὅστις αὐτὸν θεωρῶν οὐκ ἐδάκρυσεν· φιλοῦσι γὰρ ὡς ἐπίπαν οἱ ἄνθρωποι πρὸς τοὺς τοιούτῳ μᾶλλον

omnino profecit, quemadmodum nec Esau, qui etiam cum lacrimis requisivit primogenita sua.

14. DE THEOPOMPO DAEMONIZANTE.

Accedat post Heliam nobis in medium Theopompus, congruentiam opportunam primorum elementorum in amborum nominis positione custodiens, et brevem faciat in se patrati miraculi narrationem, quae pie delectari faciat audientes, et sanctorum contra daemones trophaea denunciet metuenda. Daemonizabat acriter Theopompus, et hominum erat nullus qui eum videns non lacrimaretur. Amant enim ex more homines incurvari, maximeque ad eos qui huiusmodi passione pre-

κατεχομένους νοσήματι κατακάμπτεσθαι, ὅτι τάχα μὴ πάθος καθέστηκεν σώματος· τοῦτο γὰρ ἐξ ἀρχῆς τοῦ ξύλου τῆς παρακοῆς εἴσω παραδείσου γευσάμενος φυσικῶς ὑπηνέχθαι τοῖς πάθεσιν, καὶ δουλεύει φθορᾷ καὶ τοῖς τῆς φθορᾶς ὀλισθήμασιν καὶ μήπω θανὼν ἰδιώμασιν μέχρι τῆς πάντων κοινῆς ἀναστάσεως, ἔνθα φθορά τε καὶ τὰ τὴν φθορὰν συνεισάγοντα θανάτῳ, παντελῶς καταλύεται· ἀλλὰ ψυχῆς ἀθανάτου παρὰ φύσιν τὸ νόσημα, καὶ φύσεως ἀφθάρτου χάριτι θεοῦ τοῦ ποιήσαντος ἀλλοίωσίς τις καὶ πάθος φθορᾶς παραπλήσιον δαιμόνων ἐπηρείᾳ τικτόμενον· εἰ καὶ θεοῦ ὑπερβολῇ φιλανθρωπίας δεικνύμενον πρὸς ὀφέλειαν γίνεσθαι τῶν πασχόντων αὐτὸς συνεχώρησεν.

muntur, quia fortasse non vitium corporis extat; hoc enim ab initio cum de ligno inobedientiae in paradiso gustatum fuisset, naturaliter subiectum est passionibus et servit corruptionis etiam nondum moriens proprietatibus, usque ad communem omnium resurrectionem; ubi corruptio, et quae corruptionem inferunt mortes, modis omnibus destruentur; sed animae immortalis praeter naturam est languor, et naturae incorruptibilis gratia Dei qui fecit eam, commutatio quaedam, et corruptioni passio est similis, daemoniorum suggestione nata, et odio nostri statuta; quamvis

Τούτῳ Θεόπεμπτος τῷ νοσήματι ὀκτὼ καὶ δέκα δουλεύσας τοῖς ἔτεσιν, καὶ μηκέτι φέρειν τοῦ δαίμονος τὴν λύτταν δυνάμενος, τοῖς ταύτην καταργοῦσίν τι καὶ διώκουσιν Κύρῳ καὶ Ἰωάννῃ προσέρχεται μάρτυσιν· καμάτῳ δὲ πολλῷ διανύσας τὸ συχνὸν τῆς πορείας διάστημα, ποσὶν γὰρ τοῦτο διὰ τὴν τῶν χρημάτων ἀπορίαν πεποίητο, καὶ καταλαβὼν μετὰ δύσιν ἡλίου μόλις ποτὲ τὸ μαρτύριον, καὶ κόπῳ πλείονι δαπανήσας ἤδη τὴν δύναμιν, κατὰ τὸν ἔξω τῆς ἐκκλησίας ἀνεκλίθη περίβολον· μὴ δυνηθεὶς ἔτι κἀκεῖνο τὸ βραχὺ βαδίσαι διάστημα, ἀλλὰ τὴν εἰς τὸ τέμενος εἴσοδον, ὡς μέγα τι καὶ δυσέρ-

Deus supereminentiam miserationis ostendens non id nisi ad patientium fieri utilitatem indulserit.

Huic Theopompus cum languori annis decem et octo servisset, et ultra ferre daemonis rabiem minime valuisset, ad martyres qui hanc destruunt et persequuntur, Cyrum scilicet et Iohannem, accedit: labore vero multo vastum itineris spatium transigens, pedibus enim hoc propter pecuniarum fecit inopiam; et cum post occasum solis tandem aliquando ad martyrium pervenisset, fatigationeque plurima virtutem iam propriam consumpsisset, in exteriori ecclesiae recubuit porticu, non valens ultra saltem illud breve consumere spatium; sed ingressum templi, ac si

γαστον ταμιευσάμενος εἰς τὴν αὔριον· ἐκεῖ δὲ πᾶσαν τὴν νύκτα αὐτῷ καθευδήσαντι, κατ' ὄναρ ταῖς οἰκείαις μορφαῖς καὶ οὐ ξέναις χρησάμενοι οἱ φιλάνθρωποι παρίστανται μάρτυρες· καὶ καλέσαντες αὐτὸν ἐξ ὀνόματος, ἀδελφὲ Θεόπεμπτε λέγουσιν, ἰδοὺ τὸ παρενοχλοῦν σοι καὶ θλίβον σε πνεῦμα πονηρὸν ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ δι' ἡμᾶς σταυρὸν ὑπομείναντος ἀπηλάσαμεν· ἀλλὰ ἀναστὰς εὐχαριστῶν τῷ θεῷ πρὸς τὸ σὸν ἀναχώρει δομάτιον· ὁ δὲ φανῆναι μὴ περιμείνας ὑπὸ ἀνθρώπων τὸν ἥλιον, σὺν τῷ δαιμονίῳ καὶ τὸν ἐξ ὁδυπορείας ἀποθέμενος καμάτον, ἀνίσταται ταχέως ὅθεν ἦν ἀνακείμενος, καὶ εἰσελθὼν εἰς τὸ τέμενος, καὶ τὴν χάριν τῆς

magnum quiddam et operosum, reservavit in crastinum. Illic autem ei tota nocte dormienti assistunt in somnis, propriis formis et non extraneis utentes, clementissimi martyres; et vocantes eum ex nomine, frater aiunt Theopompe, ecce qui tibi molestus erat, et tribulabat, malignum spiritum, in nomine Iesu Christi qui propter nos crucem toleravit, expulimus. Sed surgens gratiarum Deo actionibus persolutis, ad tuam recede domunculam. Qui videri ab hominibus solem non sustinens, una cum daemonio etiam labore quem ex itinere habebat deposito, surgit celeriter illinc ubi erat recubans, et ingressus templum et gratiarum

μεγίστης ἰάσεως ᾄσας θεῷ καὶ τοῖς μάρτυσιν, χαίρων ὁμοῦ καὶ σκιρτῶν, καὶ τὴν μεγαλουργίαν κηρύττων τοῦ θαύματος, ἀπελήλυθεν.

ιε. ΠΕΡΙ ΙΩΑΝΝΟΥ ΤΟΥ ΛΕΛΩΒΗΜΕΝΟΥ.

Καλῶς δὲ καὶ Ἰωάννης μιμούμενος τὸν Θεόπεμπτον, τὸν παρόντα καιρὸν ἐπετήρησεν, ἄγαν ἀσύγχυτον καὶ αὐτὸς τῶν στοιχείων φυλάττων τὴν σύνθεσιν, καὶ πρὸς ἄλλους ἰέναι τὸν κάλαμον θέλοντα, μὴ συγχωρῶν παρελθεῖν αὐτὸν ἀδιήγητον· οὐκοῦν καὶ τὰ κατ' αὐτὸν εὐκαίρως συγγράψωμεν, θαυμάσαντες αὐτοῦ τὸ ὀξὺ καὶ νηφάλιον· πάθος Ἰωάννης ἔσχεν ἀπάνθρωπον, ὃ πάντων εἰπεῖν τῶν σωματικῶν παθῶν μεῖζόν

actione super maxima sanitate decantata Deo, atque martyribus qui se in Deo curaverant, gaudens pariter et exultans, atque magni praedicans opus miraculi abiit.

15. DE IOHANNE ULCEROSO.

Bene autem et Iohannes imitatus Theopompum praesens tempus observavit, inconfusam et ipse compositionem elementorum custodiens *, et ad alios volentem pergere calamum, se pertransire non enarratum minime perferens. Ergo et quae circa eum gesta sunt, opportune scribamus, mirantes ipsius sobrietatem pariter et acumen. Pas-

* dicit ordinem litterarum gr.

ἐστιν καὶ πικρότερον, καὶ διὰ τοῦτο τάχα πρὸς τῶν ἰατρῶν τὴν τοῦ ἐλέφαντος ὁμωνυμίαν σημαίνεται· ὥσπερ γὰρ ἐκεῖνο τὸ ζῶον τῶν ἄλλων τετραπόδων ἀλκῇ διαφέρει καὶ μεγέθει τοῦ σώματος, φασὶ δὲ αὐτὸ καὶ πρὸς τοὺς λυποῦντας μνησίκακον, καὶ μετὰ πολλὰς ἐτῶν περιόδους ἀμείβεσθαι πικρῶς εἰ δυνηθῇ τὸν λυπήσαντα, οὕτω καὶ τοῦτο τῶν ἄλλων παθῶν πολὺ μεῖζον ἰατροὶ κακίᾳ σκοπήσαντες, τῷ τοῦ ἐλέφαντος ὀνόματι προσηγόρευσαν· Μωϋσῆς δὲ καὶ τὸν ἐλεφαντιάσεως νόσῳ κρατούμενον, ἔξω παρεμβολῆς τε καὶ πόλεως μετὰ τοῦ λεπροῦ διωρίσατο· διὰ μὲν τοῦ λεπροῦ τοῦ τῆς ἁμαρτίας ἐξο-

sionem Iohannes habuit inhumanam, quae omnibus, ut ita dicamus, corporalibus passionibus maior est et amarior, ideoque fortassis a medicis elephantis designatur aequivoca. Sicut enim illud animal ab aliis quadrupedibus fortitudine differt et magnitudine corporis, aiunt autem illud recordari mali adversus eos qui se contristaverint, et post multa si potuerit annorum curricula ulcisci amare in eum qui se contristasse dinoscitur, ita et hanc aliis passionibus maiorem esse malitiam medici perspicientes, elephantis nomine nuncuparunt. Moyses vero et eum, qui elephantino morbo premebatur, extra castra et civitatem, cum leproso sequestrat, per leprosum quidem peccati exilio

ρίσας παμποίκιλον, διὰ δὲ τοῦ ἐλεφαντιῶντος τάχα τὸ τῶν παθῶν ἐκδιώξας ἄγριον.

Λέγουσιν δὲ αὐτὸν καὶ οἱ θεῖοι τῆς ἐκκλησίας διδάσκαλοι, πλείστην τῶν ἐλεφαντιώντων ποιούμενοι πρόνοιαν εἴργειν ἀῤῥένων τὴν πρὸς τὰ γύναια σύνοδον, μέχρι τελείας τοῦ θήλεως ἐκ τῶν μηνιαίων καθάρσεως, ἥ τις δι' ἡμερῶν ἑπτὰ παραγίνεσθαι πέφυκεν· ὡς ἔνθεν τοῖς ἐλεφαντιῶσιν τὰ σώματα γίνεται, συντικτομένου καὶ συναύξοντος τοῦ νοσήματος, αἰτίαν τοὺς φύσαντας ἔχοντος, καὶ τὸ τούτων περὶ τὰς συνόδους ἀκρατές τε καὶ ἄωρον· καὶ τῇ κτηνώδει φύσει προσεῖναι τῶν Ἰὼβ τοῦ δικαίου φίλων τίς ἐμαρτύρησεν, ὥραν βοῶν ἔθετο κτήνεσιν, οἶδα-

relegans varietatem, per eum vero qui elephantinum morbum incidit, morum forsitan feritatem.

Dicunt autem eum et sacratissimi ecclesiae doctores multam elephantinum morbum habentium fecisse providentiam, arcereque marium cum feminis coitum, usque ad perfectam femineam menstrui purgationem, quam per dies septem venire constat; ita ut hinc languor, qui ex elephantino morbo corporibus connascitur et concrescit, causam parentes habeat, et horum circa coitus maturi certique temporis incontinentiam et excessum; quod etiam bestiali naturae inesse, Iob iusti amicorum quidam testatus est; tempus, cla-

σιν δὲ κοίτης τάξιν· καὶ ταύτης τοὺς ἀνθρώπους εἰκότως μεμφόμενος, ὡς ὥραν μίξεως οὐ γινώσκοντας, ἣν καὶ τιμᾷ καὶ φυλάττει τὰ ἄλογα· τούτῳ δέ τινες πάθει τῆς ἐλεφαντιάσεως καὶ τὸν Ἰὼβ ὡς δεινῷ καὶ μεγάλῳ πεπαικέναι τὸν διάβολον λέγουσιν· ἐξῆλθεν δὲ φησὶν ὁ διάβολος ἀπὸ τοῦ κυρίου καὶ ἔπαισε τὸν Ἰὼβ ἕλκει πονηρῷ, ἀπὸ ποδῶν μέχρι κεφαλῆς, τῷ μεγέθει τοῦ τραύματος αἰχμάλωτον αἱρεῖν ἐλπίσας τὸν δίκαιον, εἰ καὶ μηδὲν ὧν ἤλπισεν ἔδρασεν, ἐπὶ πέτραν τοῦ δικαίου καὶ οὐ ψάμμον ἐρηρεισμένον ἔχοντος τὸν θεμέλιον· κἀκεῖνος μὲν ὑπομονῇ νικήσας τὸν παίσαντα, τὸν τῆς νίκης ἤρατο στέφανον.

mat, posuit pecoribus, sciunt autem cubilis ordinem; et hoc modo convenienter homines reprehendens, tamquam commixtionis tempus ignorantes, quod videlicet honorent et observent rationabilia animantia. Hac vero passione elephantini morbi quidam tamquam dira et magna Iob percussum a diabolo dicunt: exivit autem diabolus, inquit, a Domino, et percussit Iob ulcere pessimo a pedibus usque ad caput; magnitudine vulneris, captivum tollere sperans iustum; licet nil eorum gesserit quae speravit, cum supra petram iustus et non super harenam fundamentum haberet innixum. At ille patientia vincens percutientem, victoriae tulit coronam.

Ἰωάννης δὲ τούτῳ κρατούμενος τῷ νοσήματι, καὶ κατὰ μικρὸν ὑπ' αὐτοῦ δαπανώμενος, παρὰ ἰατρῶν οὐχ εὑρὼν τὸ γλυκὺ τῆς ἰάσεως, ἐπὶ Κῦρον ἔρχεται τὸν παυσίκακον καὶ Ἰωάννην τὸν Κύρου συμμάρτυρα, πιστεύων Χριστοῦ τοῖς θεραπεύουσιν, ὡσεὶ μόνον εἰ θέλοιεν, εὐθὺς αὐτὸν ἰαθήσεσθαι· οἱ δὲ τὸν πρόσφυγα θεασάμενοι, καὶ τῆς πίστεως αὐτοῦ τῆς εἰς αὐτοὺς ἀγασάμενοι, βραχύτατον αὐτὸν πάνυ καιρὸν παρὰ τὸν αὐτῶν σηκὸν φιλοφρονησάμενοι, καὶ τῆς εἰς αὐτοὺς πίστεως ἄξιον δεδωκότες ἀντάλλαγμα τὴν ῥῶσιν, ἀπέλυσαν.

Γράψω δὲ καὶ τὸ φάρμακον, δι' οὗ τοιοῦτον ἀῤῥώστημα οἱ μάρτυρες εὐμαρῶς ἐθεράπευσαν, μήπως ἰατρῶν οἱ περίεργοι; ἱπποκράτειόν

Iohannes autem cum hoc languore premeretur, et paulatim ab eo consumeretur, a medicis non inventa dulcedine sanitatis, ad Cyrum venit malum conpescentem, et Iohannem Cyri conmartyrem, credens Christi famulis, quod si tantum vellent, ipse continuo sanaretur. At illi videntes profugum, et fidem eius admirantes, brevi hunc valde tempore, in templo suo benigne tractatum, fidei ipsius in commutationem digna incolumitate data, dimiserunt.

Scribam interea et ipsum quoque remedium, per quod talem martyres infirmitatem facile cu-

τι προσενέγκαι τοὺς ἁγίους νομίσωσιν, καὶ ταύτῃ τὴν ἄῤῥητον αὐτῶν σκορακίσωσιν δύναμιν, Ἱπποκράτην αἴτιον καὶ Γαληνὸν τῆς ἰάσεως, καὶ οὐ τοὺς μάρτυρας τοὺς δεδρακότας κηρύττοντες· ὕαλος ἦν τὸ βοήθημα, πρὸς ὃ παλαιὸν αὐτῆς εἶδος τὴν ψάμμον μετενέχθησαν μετὰ τὴν λείωσιν· τοῦτο γὰρ οἱ ἅγιοι δι' ἐνυπνίων τὸ βοήθημα παντὶ προσενέγκαι τῷ σώματι τῷ τὴν ἱερὰν ἔχοντι νόσον προσέταξαν· ὁ δὲ σπουδαίως τὸ κελευσθὲν ἐργασάμενος, σπουδαιότερον τὴν νόσον ἀπέθετο· ὥσπερ γὰρ ἐκείνῳ τῷ νάματι τῆς ῥευστῆς ὑπάρχοντι φύσεως, στάσις οὐκ ἦν προσφερομένῳ τῷ σώματι, ἀλλ' ἅμα τοῦ προσενεχθῆ-

raverunt; ne medicorum curiosi hippocraticum quiddam attulisse sanctos extiment, et taliter ineffabilem ipsorum virtutem irrideant, Hippocratem auctorem vel etiam Galenum sanitatis, et non martyres qui patravere, praedicantes. Vitrum erat auxilium, ad veterem speciem suam, in harenam scilicet spissa contritione transductum « et solis » aquis postquam tritum fuit immixtum * »; hoc enim per somnia sancti illi adiuvamentum toto afferri corpori, ei qui sacrum habebat morbum, iusserunt; qui festinanter, quod iussum fuerat operatus, festinantius languorem eiecit. Sicut enim illi fluento, qui est naturae fluidae, status non erat, dum corpori afferretur, sed mox ut allatum

* deest in gr.

ναι πρὸς τοὔδαφος ἔῤῥεεν, καί τοι μεμιγμένην ἔχον τὴν ὕαλον· οὕτως οὐδὲ τὸ τῆς ἐλεφαντιάσεως νόσημα μένειν ἠδύνατο, τούτου προσενεχθέντος αὐτῷ τοῦ καταῤῥέοντος ὕδατος· ἀλλὰ τούτοις συνέῤῥεεν δεδοικὼς τοὺς θεσπίζοντας, καὶ τάχα δι' αὐτοὺς καὶ μιχθεῖσαν τοῖς ὕδασιν ὕαλον· ἡμεῖς δὲ καὶ τοῦτο πρὸς αἶνον τῶν δεδρακότων τὸ θαῦμα συγγράψαντες, ἑτέρου γραφὴν ποιησώμεθα θαύματος, σὺν πᾶσιν ὑμνοῦντες τοῖς ἰαθεῖσιν τοὺς μάρτυρας.

ιϛ. ΠΕΡΙ ΖΑΧΑΡΙΟΥ ΤΟΥ ΤΟΥΣ ΔΙΔΥΜΟΥΣ ΠΑΣΧΗΣΑΝΤΟΣ.

Μικροῦ καὶ Ζαχαρίας ἡμᾶς ὁ βραδύτατος

esset, in pavimentum fluebat, quamquam mixtum vitrum haberet, ita nec elephantini morbi languor manere poterat, cum allata sibi aqua deflueret, sed cum his fluebat, eos qui praeceperant metuens, et propter eos quoque forsitan vitrum illud aquis immixtum. Nos autem et hoc ad laudem patrantium conscripto miraculo, alterius faciamus scripturam miraculi, cum omnibus laudantes, qui sanati sunt, martyras.

16. DE ZACHARIA QUI LANGUOREM TESTICULORUM PATIEBATUR.

Propemodum et Zacharias nos ille tardissimus

ἔλαθεν, οὐ πάθει ποδῶν τὴν βραδύτητα κτησάμενος, ἀλλ' ἑτέρᾳ νόσῳ τοῦ τάχους στερούμενος ταῖς τῶν γεννητικῶν ὀργάνων οἰδήσεσι κωλυόμενος· ταῦτα γὰρ ἤλγει τε καὶ ἐξογκοῦτο δι' ὧν τῶν εὐνούχων ἡ πρὸς τοὺς ἄλλους ἀνθρώπους διάκρισις γίνεται· οὐ μόνον δὲ τὸ ἐκ τούτου δυσκινήτῳ βαδίσματι χρώμενος, ἑαυτὸν ἡμῖν ὡς ἐν χειμῶνι μέλισσαν ἔδειξεν, ἀλλ' ἐπὶ τῷ τοιούτῳ νοσήματι τάχα καὶ αὐτὸς αἰσχυνόμενος, καὶ κρύπτειν ἐθέλων ἑαυτοῦ τὴν ἀσθένειαν, καί τοι ψυχικοῖς οὐ γὰρ σωματικοῖς ἐπαισχύνεσθαι προσετάχθημεν πάθεσιν· αἰσχυνθείησαν γάρ φησὶν οἱ ἀσεβεῖς καὶ καταχθείησαν εἰς ᾅδου· καὶ πάλιν· αἰσχύνθητι Σιδὼν εἶπεν ἡ θά-

latuit, non passione pedum tarditatem habens, sed alio languore velocitate carens, neque pedum virtutis ut reor minus quid possidens, sed genitalium tumoribus organorum prohibitus. Haec enim dolebat simul et gravabatur, per quae inter eunuchos et alios homines discretio fit, non solum paene immobili gressu ex hoc usus, vix sese nobis tamquam apem in hieme demonstravit; sed super huiusmodi languore fortassis et ipse confusus, et suam ipsius volens occultare infirmitatem; quamquam super animae iussi simus erubescere, non super corporis passionibus; erubescant enim impii et deducantur, inquit, in infernum. Et ite-

λασσα· τὴν εἰδωλολατρείαν τῷ τῆς Σιδῶνος δηλώσας ὀνόματι· καὶ αὖθις· αἰσχυνθήτωσαν καὶ ἀποστραφήτωσαν πάντες οἱ μισοῦντες Σιών· καὶ ὁ κύριος δὲ τοὺς εἰς αἰσχύνην ἐκπεμπομένους αἰώνιον, οὐ τοῖς σωματικοῖς βρύθοντας πάθεσιν, αὐτὸς γὰρ καὶ τὰς ἀσθενείας ἡμῶν καὶ τὰς νόσους ἐβάστασεν, ἀλλὰ τοὺς ψυχικῶς ἀσθενήσαντας καὶ φαύλων ἐργάτας γενομένους πράξεων εἴρηκεν.

Τὰ μὲν γάρ ἐστιν τῶν νοσημάτων ἀκούσια, ὅσα σώματος καὶ περὶ σῶμα γνωρίζεται· τὰ δὲ ἑκούσια καὶ γνώμης ἡμετέρας κυήματα, ὅσα ψυχῆς αὐτεξουσίου καὶ νοερᾶς κάλλος λυμαίνεται· καὶ διὰ τοῦτο περὶ μὲν τῶν προτέρων οὐδεὶς

rum : erubesce Sidon, ait mare; idolalatriam Sidonis nomine indicans. Et rursus: confundantur, et revereantur omnes qui oderunt Sion. Dominus quoque in confusionem mittendos aeternam, non eos qui corporalibus passionibus praegravantur; ipse enim infirmitates nostras et languores portavit; sed eos qui secundum animam infirmantur, et malorum operarios actuum, dixit.

Alii quippe languorum sunt non voluntarii, quotquot scilicet corporis et circa corpus esse noscuntur. Alii vero voluntarii, et qui ex nostro gignuntur consilio, quotquot videlicet animae intellectualis et liberum habentis arbitrium, pulchri-

ἡμῖν τῶν ἁγίων ἐγκαλέσας φαίνεταί ποτε, οὐ νόμος οὐ προφήτης οὐ δίκαιος οὐκ ἀπόστολος οὐ διδάσκαλος· τούτοις γὰρ καὶ αὐτοὶ πάντες ὑπέκειντο, ὡς σῶμα ἡμῖν παραπλησίως φορέσαντες· οὐ καὶ αὐτὸς ὁ κύριος γενόμενος ἄνθρωπος καὶ χρηματίσας ἡμῖν ὁμοιοπαθὴς, καὶ διὰ σῶμα καὶ ψυχὴν λογικὴν ὁμοούσιος· περὶ δὲ τῶν τῆς ψυχῆς προαιρετικῶν καὶ οὐκ ἀναγκαίων παθῶν ἐνεκάλεσαν ἅπαντες, νόμος μὲν τιμωρούμενος, καὶ κατάλληλον ὁρίζων τῷ πάθει τὴν κόλασιν, τροφῆς τε τούτων ἀπέχεσθαι, καὶ τὰ κρείττω μεταποιεῖσθαι κελεύοντος· δίκαιοι παραινοῦντες αὐτῶν τὴν ἀπόλειψιν, ἀπόστολοι χειραγογοῦντες πρὸς τὴν ἀπ' αὐτῶν μετανάστασιν, διδάσκα-

tudinem dissipant; et ideo super his qui primo dicti sunt, nullus nos sanctorum accusasse unquam apparet, non lex, non propheta, non iustus, non apostolus, non magister (his enim et ipsi omnes subiecti sunt, tamquam hii qui simile nostro corpus portaverunt) non ipse Dominus factus homo, et existens similis nobis passibilis, et per corpus et rationabilem animam unius nobiscum substantiae. Super animae vero voluntariis et non necessariis passionibus questi sunt universi, lex videlicet puniens congruentem vitio poenam definiens, prophetae ab his abstinendum iubentes, et meliora providendum hortantes, iusti eas de-

λοι τούτων ἡμῖν τὴν φυγὴν ὑποφαίνοντες· ὁ δὲ κύριος πρῶτος ἡμῖν τῆς δικαιοσύνης ὁδὸν ἐνδειξάμενος, καὶ τρίβον τῆς ἀπὸ τῶν ψυχικῶν παθῶν τελείας ἀναχωρήσεως πρῶτος εὑράμενος, πᾶσιν τὸ μάθετε ἀπ' ἐμοῦ φιλανθρώπως ἐφθέγξατο· ὑπὲρ τούτων γὰρ τὰς εὐθύνας ὡς ἐν ἡμῖν οὔσης αὐτῶν δηλονότι τῆς ὑπάρξεως ἀπαιτούμεθα· καὶ ὑφέξομεν καὶ κρινόμενοι καὶ βήματι Χριστοῦ παριστάμεθα, ὅταν ἐξ οὐρανοῦ ὁ κριτὴς παραγίνεται ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, οὐ κατὰ τὰ πάθη τοῦ σώματος· πάντες γάρ φησιν παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος πρὸς ἃ ἔπραξεν διὰ τοῦ σώματος εἴτε ἀγαθὸν εἴτε φαῦλον.

serere commonentes, apostoli transmigratione earum manu ducentes, et magistri harum fugam insinuantes. At vero Dominus primus nobis iustitiae viam ostendens, et semitam ab animae passionibus perfecte recedendi primus inveniens, omnibus discite a me, misericorditer est affatus. Pro his enim poenas, pro eo quod in nobis profecto earum existentia sit, luemus et sustinebimus: propter has et iudicabimur, et tribunali Christi assistemus, cum de caelo iudex advenerit reddere unicuique secundum opera sua, et non secundum vitia corporis. Omnes enim nos, inquit, manifestari oportet ante tribunal Christi, ut referat

Οὐκοῦν μάτην ἐπὶ πάθει σωματικῷ καὶ Ζαχαρίας αἰσχύνεται καὶ ὅσοι κατ' αὐτὸν ἐπὶ σωματικοῖς αἰσχύνονται πάθεσιν, τῆς αἰσχύνης ἀγνοοῦντες τὰ αἴτια, καὶ ταύτης τὴν τάξιν οὐ καλῶς ἀντιστρέφοντες· ἀλλ' εἰ καὶ μόλις ἐφάνη ὀψέ ποτε, πλὴν ὅμως ἀφίκετο καὶ τὸ τῶν ἁγίων κατέλαβεν τέμενος· καὶ τούτοις ἐδέετο, καὶ πάλιν ἱκέτευεν ἀπαλλαγῆναι τοῦ τῶν διδύμων βαρήματος· οἱ δὲ νυκτὸς πρὸς αὐτὸν ἐλθόντες καθεύδοντα, Ζαχαρία τί φασιν πρὸς ἡμᾶς παραγέγονας; ὁ δὲ τὴν αἰτίαν ὑπερυθριῶν πῶς αἰδούμενος ὑπεδείκνυεν· οἱ δὲ μάρτυρες παιδεύοντες αὐτὸν ἐπὶ σωματικοῖς παθήμασιν μὴ

unusquisque propria corporis prout gessit, sive bonum, sive malum.

Ergo incassum super vitio corporali Zacharias reverebatur, et quotquot super corporis passionibus confunduntur, causas confusionis ignorantes, et huius non bene ordinem reversantes. Licet hic vix apparuerit, et sero, aliquando verumtamen profectus ad sanctorum venit basilicam, quos deprecabatur, et iterum supplicabat, quo se a gravedine liberarent. At illi ad eum noctu venientes conveniunt asserentes: Zacharia, quid ad nos venisti? Qui erubescens atque reveritus, causam eis dixit. Porro martyres corripientes eum ne super corporis passionibus erubesceret, ostendere

αἰσχύνεσθαι, δεῖξαι αὐτοῖς τὸ πάθος ἠνάγκαζον εἰς τὰ παιδοποιὰ προσέταττον μόρια· ὁ δὲ τὸ κελευσθὲν αἰσχύνης ἀνάπλεος ἔπραττεν· ἀντιστῆναι γὰρ δι' αἰδῶ τοῖς κελεύουσιν οὐκ ἠδύνατο· οἳ τὰ λεχθέντα μόρια ἠρέμα πῶς. ταῖς χερσὶ καταψήχεσιν φυγαδεύσαντες *, οἴκοι χωρεῖν ἐπιτρέπουσιν· ἰδοὺ φησὶν κακὸν ἔχεις οὐδὲν, ἀλλ' ἀναστὰς εἰρηνοποιοῦ τὴν εἰς οἶκον ἐπάνοδον· ὁ δὲ στραφεὶς μετ' ἐκεῖνον τὸν ληξίπονον ὄνειρον, συναποπτάσας αὐτῷ τῶν διδύμων τὰς οἰδήσεις ἐπεγίγνωσκεν, καὶ πόνου λυτρωθεὶς καὶ κακίστου βαρήματος· καὶ ταῖς εὐφημίαις στεφανώσας τοὺς τούτων αὐτὸν ἐλευθερώσαντας μάρτυρας, καὶ Χριστὸν τὸν δι' αὐτῶν

* ita cod.

sibi partes praecipiebant quae filios procreant, quaeque passionem cernebantur habere: at ille quod iussum est licet plenus verecundia gessit, resistere quippe ob pudorem iubentibus non valebat. Qui praedictas corporis partes leniter manibus confricantes, et tumoris pondus confricationibus effricantes, domum repedare praecipiunt: ecce inquiunt mali nihil habes, sed surge, in pace ad domum fac reditum. Ille autem conversus post illam visionem quae dolorem compresserat, cum ea simul avolasse testiculorum tumores cognovit, et dolore pessimaque gravedine liberatus, laudibusque redimitis martyribus qui se tali libe-

τὴν ἐλευθερίαν αὐτῷ ὀρέξαντα τοῦ νοσήματος, ἀπελήλυθεν.

ιζ. ΠΕΡΙ ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΩΝΟΥ ΤΟΥ ΣΕΣΗΜΜΕΝΟΥΣ ΤΟΥΣ ΜΗΡΟΥΣ ΕΧΟΝΤΟΣ.

Καὶ Ἰωάννου δὲ μνημονεύσωμεν, οὐκ ἐπειδὴ τῶν εὐπατρίδων ἦν, καὶ τῶν ἐπὶ χρυσῷ βρενθυνομένων ἐτύγχανεν, ἔνθεν γὰρ καὶ χρυσώνης ἐλέγετο, τοῦ τε κτήματος καὶ τῆς ἐγχειρήσεως πρὸς τοῦτο αὐτὸν συνωθούντων τὸ ὄνομα· οὐκ ἂν γὰρ χρυσώνης καὶ χρυσίου χηρεύων ἐλέγετο, εἰ μὴ κτῆμα χρυσίου λαμπρότερον πρὸς τῶν ἁγίων τὴν ῥῶσιν ἐδέξατο· ὃ καὶ πᾶσιν ἀφ-

raverant a languore, Christum qui per eos sibi hanc libertatem porrexerat passionis glorificavit, atque recessit.

17. DE IOHANNE CHRYSONE QUI PUTREFACTA FEMORA HABUIT.

Et Iohannis quoque memoriam faciemus, non quia nobilis erat ex his qui super auro se iactant, hinc enim et chrysones diceretur, pecunia et officio ad hoc eum conpellentibus nomen: neque enim chrysones et auro non destitutus diceretur, nisi sanitatem rem videlicet auro fulgentiorem a sanctis per fidem utique percepisset, quam omnibus ad se accedentibus copiose largiuntur, no-

θόνως τοῖς προσιοῦσιν χαρίζονται, μηδένα τῆς αὐτῶν δωρεᾶς ἀποστρέφοντες, εἰ μὴ λίαν τίς ᾖ βδελλυρὸς καὶ τῆς αὐτῶν εὐεργεσίας ἀνάξιος, ἢ δι' ἀπιστίαν κληρωσάμενος τὸ ἀνάξιον, ἢ δι' ἔργων μοχθηρῶν ἀνεπίστρεφον βούλησιν· ἐγὼ δὲ καὶ ἑνὸς ἢ δευτέρου προϊόντος τοῦ λόγου τοιούτου μνησθήσομαι, μηδεμίαν πρὸς τῶν ἁγίων καρπωσάμενος τὴν ὠφέλειαν· ἵνα τούτων τὸν περὶ πίστεως ζῆλον καὶ τὴν πρὸς τὰ φαῦλα τῶν ἔργων εἰδότες ἀπέχθειαν, ἀρέσκειν αὐτοῖς περὶ βίον καὶ πίστει σπουδάζοιεν.

Ἰωάννης οὖν οὗτος ὁ τῇ τοῦ χρυσίου κτήσει τὲ καὶ προσηγορίᾳ γαυρούμενος, νόσῳ δεινῇ περιπέπτωκεν οὔτε λόγῳ φατῇ, οὔτε παισὶν ἰα-

minem a suo munere avertentes, nisi quis nimis sit abhominandus, et beneficio eorum prorsus indignus, vel ob incredulitatem sentiatur, ut indignus existat, aut per opera mala inconvertibilem habeat voluntatem. Ergo aut unius vel duorum, procedente sermone, huiusmodi memoriam faciemus, qui nullius utilitatis consecuti sunt fructum, ad cautelam eorum qui erunt postmodum accessuri, ut horum pro fide zelum, et contra prava opera inimicitiam non ignorantes, vita illis et fide placere festinent.

Itaque Iohannes iste, qui auri possessione atque appellatione gloriabatur, languorem incurrit

τρῶν εὐχερεῖ πρὸς τὴν ἴασιν· τοὺς γὰρ μηροὺς ὁ ἀνὴρ ὡς ἔκ τινος θείας ὀργῆς κατεδάπτετο· καὶ σαπέντος αὐτοῦ τοῦ τοὺς μηροὺς περιέχοντος δέρματος, καὶ πάντοθεν δι᾽.ὑπερβολὴν διεῤῥαγῶτος τῆς σήψεως, αἱ σάρκες αἱ τούτῳ καλυπτόμεναι πρότερον τοῦ οἰκείου γυμνωθεῖσαι πάμπαν ἐνδύματος, καὶ ἔνδυμα ὃ πρὸς τῆς φύσεως ἔλαχον ἀπολέσασαι, χωριζόμεναι τῶν ὀστέων ἀπέπιπτον, τῷ περιστέλλοντι κατὰ βραχὺ συνσηπομέναι δέρματι καὶ πρὸς γῆν καταῤῥέουσαι.

Ὡς δὲ χρόνον συχνὸν ἐν τῇ νόσῳ διέτριψεν ψυχρολογίαις ἰατρῶν ἀπατώμενος καὶ μηδὲν ἐξ αὐτῶν ὀφελούμενος εἰ μὴ λόγον εἰς ἀέρα λυό-

acerrimum, qui scilicet nec ad fandum verbo possibilis, nec erat medicorum discipulis facilis; femur quippe huius viri quaedam quasi divina ira mandebat, et cum pellis quae femur circumdabat tabefacta, et undique nimietate putredinum dirupta fuisset, carnes quae hac velabantur, primitus proprio denudatae penitus indumento, et molis tumore quem a natura sortitae fuerant perdito, separatae ab ossibus decidebant, cum tegente se pelle paulatim in putredinem versae, et ad terram dilapsae.

Cumque tempore multo in languore deguisset, frigidis et inutilibus dictis medicorum deceptus, et nihil ab eis nisi sola verba quae non vulnus

μενον, καὶ τοῦ τραύματος οὐχ ἁπτόμενον· οὐ μὴ ἀλλὰ καὶ τὸ χρόνιον τοῦ νοσήματος; καὶ τὸ ταῖς ἀλγηδόσιν ἐλεεινῶς ἐγκατάκεισθαι, μόλις ποτὲ καὶ τὰ πρὸς τὴν νόσον ἀδύνατον ἐξ Ἱπποκράτους ἐκέρδαινεν, καὶ μακρὰν χαίρειν αὐτοῖς προσφθεγξάμενος, τὸ Κύρου καὶ Ἰωάννου θεωρητὸν ἰατρεῖον κατέλαβεν· οἱ δὲ ὄντως ἰατροὶ χρηματίζοντες μάρτυρες τῆς θείας αὐτῶν δεῖξαι δυνάμεως καὶ τῆς ἰατρῶν ἀσθενείας θέλοντες τὸ διάφορον, οἰκτρῷ τοῦτον τινὶ βοηθήματι, ὄναρ ὠφθέντες ἰάσαντο, ἅλας σὺν κυμίνῳ μιχθὲν ἐν τῷ τρίβεσθαι πλάττειν τοὺς μηροὺς ἐπιτρέπουσιν· ὅπερ ὁ νοσῶν μετὰ τὸν ὕπνον εὐθὺς ἐργασάμενος, πόνων ἑαυτὸν χαλε-

tangunt, sed dissolvuntur in aëre, percepisset; quin potius et e diverso morositatem languoris ac dolorum miserabilem tabem diutius pertulisset, vix tandem languoris impossibilitatem ab Hippocrate lucri se fecisse tantummodo sensit, unde illi valere longe profatus, ad Cyri Iohannisque divinitus datam venit percepturus medelam. At illi sancti martyres, qui vere medici vocitantur, divinae suae virtutis et medicorum infirmitatis volentes diversitatem ostendere, quodam hunc per visum apparentes auxilio sanaverunt; sale scilicet et cymino mixtis, quae terere et super femora conspergere praeceperunt. Quod cum languens

πῶν καὶ συμφορῶν οὐ μικρῶν ἐλυτρώσατο· καὶ ὁ πρὶν κατὰ βραχὺ καταῤῥεῖν νομιζόμενος, καὶ οὕτω τὸν πάντων κοινὸν ὑποδέχεσθαι θάνατον, εὐθέως τότε κυμίνου βόλαις, καὶ ἁλῶν συνεσφίγγετο· καὶ βουλεύσει μαρτύρων ἐῤῥώννυτο, καὶ θείῳ θεσπίσματι τὸν προσδοκώμενον ἀπέπεμπε θάνατον· μεθ' οὗ θεὸν καὶ τοὺς ζῶντας ἁγίους ἡμεῖς ἀνυμνήσαντες, ἐφ' ἑτέραν αὐτῶν θαυματουργίαν βαδίσωμεν.

ιη. ΠΕΡΙ ΠΑΥΛΟΥ ΤΟΥ ΤΗΝ ΚΕΦΑΛΗΝ ΣΚΩΛΗΚΩΝ ΓΕΜΟΥΣΑΝ ΕΧΟΝΤΟΣ.

Παῦλος δέ τις πένης ἡμῖν πτωχός τε λίαν καὶ ἄχρυσος μετ' Ἰωάννην τὸν χρυσώνην καὶ

mox post somnium fecisset, saevis se ipsum doloribus et aerumpna non modica liberavit; et qui prius paulatim diffluere videbatur, sicque omnium communem recipere mortem, subito tunc cymini granis et salis, martyrum iussione astrictus convaluit, et divina sanctione mortem quam expectabat evasit. Cum quo Deum salvificantesque martyres collaudantes, ad aliud ipsorum mirabile opus proficiscamur.

18. DE PAULO CAPUT VERMIBUS PLENUM HABENTE.

Paulus autem quidam pauper et nimis egenus, aurique penitus inops, post Iohannem chryso-

πλούσιον, εἰς διήγησιν ἔρχεται, λογιζόμενος εἰ τὴν πρὸς αὐτὸν σχοίη συνάφειαν, ὥσπερ ἐν ταῖς ἀγοραῖς ποιοῦντας ὁρῶμεν τοὺς πένητας, προσιόντάς τε καὶ τῶν χρυσορεύστων ὄπισθεν βαίνοντας, σταγόσιν εἴ ποτέ τισιν αὐτῶν, διὰ φιλόχριστον ἀποῤῥεούσαις συμπάθειαν, περιτύχοιεν· τοῦτο καὶ νῦν ὁ Παῦλος ποιούμενος πρόεισι, καὶ τάχα τυγχάνει τῆς τοιαύτης ἐφέσεως· οὐ πόῤῥω γὰρ φιλοπτωχείας Ἰωάννης ηὐλίζετο· πάθος δὲ καὶ νόσον ἔχων ἀνίατον πρόεισι, κἀν τοῖς μάρτυσιν ὑγείαν καρποῦσθαι βουλόμενος, καὶ ῥῶσιν τὴν ἀπ' αὐτῶν κομιεῖσθαι γλιχόμενος· κἀκεῖ μὲν τῆς πενείας τὸ φάρμακον

nem et divitem, ad narrationem accedit, qui huic sociari festinans, lucri se facere quicquam fortasse credebat, si ei iungi quoquomodo potuisset: sicut etiam in foro videmus agere pauperes; sic accedunt, et post illos qui auro affluunt gradiuntur, si quoquomodo guttas quasdam ex defluentibus illis, amatricis Christi compassionis causa, valeant impetrare. Hoc agens et nunc Paulus accedit, et forte compos efficitur huiusmodi desiderii; non enim procul ab amore paupertatis manebat. Passionem autem Paulus et languorem insanabilem habens accedit, et a martyribus sanitatem carpere volens, et incolumitatem quae ab ipsis est percipere gestiens. Et illic quidem pau-

ἴσως ἐδρέψατο, ἐνταῦθα δὲ πάντως τῆς ἀσθενείας λαμβάνει τὴν ἴασιν· τοιοῦτο δὲ ἦν αὐτοῦ τὸ ἀῤῥώστημα, καὶ οὕτω τῆς θεραπείας ἐπέτυχεν· ἤλγει τὴν κεφαλὴν ὡς λέγειν οὐκ ἔνεστιν, καὶ τὸ μὲν ἄλγος αἵ τε βοαὶ, αἵ τε ἀγρυπνίαι, καὶ μετὰ τούτων ὁ ὄγκος ἐδείκνυεν· τοῦ ὄγκου δὲ καὶ τῶν σὺν αὐτῷ μηνυτὴς οὐχ εὑρίσκετο· ὅθεν οἱ μὲν τῶν ἰατρῶν αἷμα τὸ αἴτιον ἔλεγον, οἱ δὲ ποιοῦ τινὸς ὑπέρογκον ἄθροισιν, καὶ ἄλλης ἄλλος συνδρομὴν ὕλης ἐφθέγγετο, τῆς ἀληθείας οὐδὲν ἐχόμενον λέγοντες, ἀλλὰ τὸ δοκοῦν αὐτοῖς μαντευόμενοι, καὶ τὰς ἀλλήλων βουλὰς ταῖς ἑαυτῶν ἀναλύοντες ἀποφάσεσιν.

pertatis medelam fortassis adeptus est, hic vero infirmitatis accepit procul dubio sanitatem; cui talis inerat aegrotatio, sicque curationem adeptus est. Dolebat adeo caput, ut dici non posset, et dolorem quidem tam clamores, quam in somnis vigiliae, atque cum his tumoris pondus monstrabat. Porro tumoris, et eorum quae secum inerant, laboranti index non inveniebatur; unde et quidam medicorum sanguinem huius vitii causam dicebant, quidam vero pus cuiusdam collectionis inmensae, et alterius alii concursum faecis asserebant, omnes autem communiter frustrabantur, nil veritati proximum perhibentes; quod videbatur sibi, divinabant, suis sententiis sensus destruentes alternos.

Ἀλλ' οἱ ἅγιοι τὸ πάθος ἀκριβῶς ἐπιστάμενοι, καὶ τὴν τῶν ἀλγηδόνων αἰτίαν γινώσκοντες, χαριεστῶς πῶς θεραπεύουσιν, τὸ φανὲν ἐκείνοις ἀδύνατον, ἑαυτοῖς εὐμαρὲς δεικνύοντες καὶ ὡς παίγνιον· λέξωμεν δὲ καὶ τὸ τῆς θεραπείας ἡδὺ καὶ ἐπίχαρι, τὴν τῶν ἁγίων ὑπεμφαίνοντες δύναμιν, καὶ τέρψιν πνευματικὴν σαρκικῇ μεμιγμένην ἡδύτητι, δημιουργοῦντες τῷ θαύματι, μᾶλλον δὲ τοῖς ἀκροαταῖς γενομένοις τοῦ θαύματος. Ὑπνῶσαι τὸν Παῦλον παρ' ἐλπίδα ποιήσαντες, σχεδὸν γὰρ εἰς ἄγνοιαν ὕπνου μετέπεσεν, τὴν κεφαλὴν ἀφανῶς βιβρωσκόμενος, καὶ ταῖς ὀδύναις ἀνενδότως κρατούμενος, ἐπίστανται νύκτωρ καθεύδοντι τὴν ῥῶσιν δωρούμε-

Sed sancti aegrotationem accurate scientes, dolorumque causam non ignorantes, gratulanter curant; quod illis impossibile visum est, facile sibi hoc, et lusum fore monstrantes. Dicemus autem et curationis suavitatem, et gratulationem sanctorum declarantes, potentiam et delectationem quandam, carnali mixtam suavitati, facientes miraculum, immo his qui auditores fuerint effecti miraculi. Dormire Paulum praeter spem facientes, in ignorantiam enim paene somni cecidit, dum in capite invisibiliter comederetur, et doloribus incessanter deprimeretur, assistunt noctu dormienti sospitatem donantes, et modum sospi-

νοι, καὶ τῆς ῥώσεως τὸν τρόπον μηνύοντες· ὑπέρορθρον φασὶν τῆς στρωμνῆς ἀνιστάμενος ἐπὶ πύλην τὴν πρὸς θάλασσαν ἔξιθι, ἥτις τὸν ἔξω τοῦ νεὼ περικλείει περίβολον· καὶ κατὰ τῆς σιαγόνος τὸν ὑπαντῶντα εὐτενέστερα ῥάπισον· καὶ τοῦτο ποιήσας, τοῦ προσόντος σοι πάθους τὴν ῥῶσιν εὕροις ταχύτατα· ὁ δὲ φαντασίαν εἶναι τὸ φανὲν ἡγησάμενος οὐδὲν τῶν πρὸς τῶν ἁγίων λεχθέντων αὐτῷ διεπράξατο· καὶ δὶς δὲ τοῦτο ποιεῖν κελευσθεὶς δι' ὁράματος, οὐ πεποίηκεν.

Τὸ τρίτον δὲ τῶν μαρτύρων εἰπόντων, πυθόμενος ὡς εἰ μὴ τοῦτο ποιήσειεν, τῆς φίλης οὐ τεύξεται ῥώσεως, ἐγερθεὶς τῆς στρωμνῆς ὀρθρινότερον, τὸν δειχθέντα πυλῶνα κατείληφεν· στρα-

tatis denunciantes. Diluculo, inquiunt, a strato consurgens, ad portam quae ad mare ducit egredere, quae templi exterius claudit vestibulum; et eum, qui tibi obvius fuerit, in maxilla fortiter alapa percute; quo facto, aegrotatione, quam habes, continuo liberaberis. At ille phantasiam esse, quod apparuerat cogitans, nihil eorum quae iussa sibi a sanctis fuerant, egit: et bis hoc facere iussus per visum, non fecit.

Tertio autem ad ipsum sanctis dicentibus, et comperto ille quod nisi hoc faceret, sanitatem non esset impetraturus amatam, valde mane surrexit e lectulo, et ad ostensam sibi portam pervenit;

τιώτην δέ τινα κατὰ τὴν πύλην αὐτῷ συναντήσαντα, καὶ τῇ μὲν παλάμῃ ῥάβδον βαστάζοντα, τῇ δὲ καρδίᾳ τὸν θυμὸν ὡσαύτως κατέχοντα, ῥαπίζει σφόδρα κατὰ τῆς σιαγόνος τὴν πληγὴν ποιησάμενος· ὁ δὲ στρατιώτης μελλήσας οὐδὲν, ἀλλὰ σύνδρομον τῷ ῥαπίσματι τὴν ἑαυτοῦ ποιούμενος ἄμυναν, τὴν βακτηρίαν εὐθὺς ἀνατείνεται καὶ τὸν ῥαπίσαντα ταύτῃ κατὰ τοῦ κράνους ἀντέπληξεν στερεωτέραν πάνυ πληγὴν ὡς χρὴ ῥαπίζειν ἧς ἔλαβεν. Παῦλος δὲ τὴν πληγὴν κατὰ τῆς κεφαλῆς τοσαύτην δεξάμενος πίπτει χαμαὶ τραυματίας γενόμενος, καὶ βρύων αἵματί τε καὶ σκώληξι, καὶ πάντας ἀποβαλὼν τοὺς ἔνδον ὑπάρχοντας, σκώληκας πολλούς τε

militem vero quendam iuxta portam obviam sibi venientem, qui virgam quidem in manu tenebat, sed furorem in corde minime continebat, valida cecidit alapa, plagam in maxilla vehementissimam faciens. Miles autem nihil omnino neglegens, sed sui cursim pro alapa retribuens ultionem, baculum confestim extendit, et eum qui se percusserat, hoc in capite repercussit, fortiorem plagam ea quam manu acceperat infligere baculo satagens. Paulus sane huiusmodi plaga recepta in capite, cadit in terram vulneratus effectus, et sanguinem ac vermes effundens; nam omnibus, quos habuerat introrsum, eiectis, licet multi fue-

λίαν ὑπάρχοντας καὶ ἀφειδῶς αὐτὸν κατεσθίοντας, ἀπηλλάττετο τοῦ νοσήματος, ἀπαλλαγὴν εὑρὼν ἀπροσδόκητον, πληγῇ χαρισθεῖσαν καὶ τραύματι· καὶ τὸ τραῦμα δὲ θᾶττον ἰάθη· οὐ γὰρ τραῦμα τοῦτο ἂν εἴποιμεν, ἀλλὰ τραύματος φάρμακον, καὶ νόσου βοήθημα, καὶ παθήματος ἔμπλαστρον, καὶ κακώσεως ἴασιν· καὶ τελείαν τὴν ῥῶσιν δρεψάμενος, ὕμνον εἰπὼν εἰς τοὺς μάρτυρας, καὶ θεὸν ἀνυμνήσας, ὡς ἔπρεπεν, τὸν δι' αὐτῶν δεδρακότα τὴν ἴασιν, ᾤχετο· ἀφορμὴ καὶ ἡμῖν χρηματίσας καὶ πρόφασις τῆς εἰς Χριστὸν ᾠδῆς καὶ τοὺς μάρτυρας.

rint, et non parcentes se devoraverint, redimitur a languore, redemptionem insperatam reperiens, plagam sibi donatam e vulnere. Porro maturius sanitatem vulneris consecutus est. Non autem hoc vulnus merito dixerim, sed remedium vulneris, et languoris auxilium, et passionis emplastrum ad sanitatem afflictionis. Et perfecta sospitate recepta, hymnum dixit in martyres; Deumque, qui per eos sanitatem patraverat, decentissime laudans, profectus est; fomes nobis effectus atque occasio in Christum canendi cantici et in martyres.

ιθ. ΠΕΡΙ ΣΤΕΦΑΝΙΔΟΣ ΤΗΣ ΕΧΟΥΣΗΣ ΤΟΝ ΚΑΡΚΙΝΟΝ.

Ἓν τῶν θαυμάτων γινέσθω καὶ τῆς Στεφανίδος ἡ παράδοξος ἴασις, καὶ μηδεὶς ἀπιστείτω τῷ θαύματι, τῶν ἁγίων τὸ σθένος σταθμώμενος, καὶ χάριν τὴν δοθεῖσαν αὐτοῖς ἐπιστάμενος, οἳ νόσημα πᾶν θεραπεύουσιν καὶ ῥῶσιν δι' οἶκτον χαρίζονται πᾶσιν τοῖς πιστῶς αὐτοῖς προσπελάζουσιν. Στεφανὶς οὖν τὸ προτεθὲν ἡμῖν εἰς ἐξήγησιν γύναιον, πάθος ἔσχε δεινὸν καὶ ἀνίατον· κάρκινος τὸ πάθος ἐλέγετο, οὐκ ἀπαλὸν ἔχων τῆς φύσεως ὄνομα, καρκίνῳ γὰρ ἐοικὼς, εἰκότως αὐτῷ καὶ τὴν προσηγορίαν κοινωνὸν προσεδέξατο· καὶ τοῦτο μὴν ὑπῆρχεν τῆς

19. DE STEPHANIDE QUAE CANCRUM HABUIT.

Unum miraculorum fiat etiam Stephanidis admirabilis sanitas, cuius nemo incredulus erit miraculi, si sanctorum potentiam ponderet, et datam illis divinitus gratiam aperte comperit, qua omnem languorem curant, et cunctis qui ad se fideliter accedunt sanitatem miserationis intuitu donant. Stephanis ergo mulier, quae ad relationem nobis proposita est, passionem habuit crudelem et insanabilem, quae cancer appellatur, non dissonum habens a natura nomen; cancro enim similis facta, consequenter ab eo etiam communionem accepit vocabuli. Et hic quidem languor erat

Στεφανίδος τὸ νόσημα, οὗ μόναι τὰς ἀλγηδόνας ἐπίστανται γυναικῶν ὅσαι πεπείρανται· ἰατροὶ δὲ, καὶ τούτων οἱ γενάρχαι Γαληνὸς καὶ Ἱπποκράτης, τὸ τῆς τέχνης κομψὸν σεμνολόγημα, τὴν ἧτταν βοᾷν οὐκ αἰσχύνονται, τὸν πρὸς κάρκινον τὸ πάθος παραιτούμενοι πόλεμον, καὶ τοῖς νικητηρίοις αὐτὸ καταστέφοντες· ταύτῃ δεικνύντες αὐτοῦ τὴν φυσικὴν σκολιότητα, ἣν οὐ φάρμακον εὐτριβὲς, οὐ δραστήριον, οὐκ ἔμπλαστρος ἡ γαλβιανή τε καὶ πάγχρηστος, οὐχ ἡ Φίλωνος καλουμένη ἀντίδοτος, οὐκ ἄλλό τι φυσικόν τε καὶ ἄκρατον ἢ ἐκ συναφείας εἴδους ἑτέρου βοήθημα κατευνάζειν ταῦτα μέχρι τῆς σή-

Stephanidis, cuius solae dolores hae feminae norunt, quae expertae sunt; medici autem horumque praeceptores Galenus et Hippocrates, qui medicinae artis compta videbantur esse laudatio et gloriatio, superationem sui clamare non confunduntur, non modo adversus cancri passionem mire proelium recusantes, sed et hanc victoriis coronantes: hoc modo monstrantes naturalem ipsius pravitatem, quam non medicamen bene tritum et efficax, non emplastrum galbianae, seu panchristos, non antidotum quod vocatur Philonis, non aliud quid naturale vel simplex, aut ex opitulatione alterius commixtae speciei factum remedium, sedare hucusque praevaluit. Sic enim

μερον ἴσχυσεν· οὕτω τὸ πάθος ἀνήμερον προσλαχὸν ἀγριότητα, καὶ πᾶν τοὐναντίον φοβοῦν τὸ τιθασσεύειν αὐτὸ ἢ διώκειν γλιχόμενον.

Τούτου δὲ μαθοῦσα καὶ Στεφανὶς τὸ τυραννικὸν καὶ ἀνήμερον, καὶ τὴν πρὸς αὐτὸ τῆς ἰατρικῆς τέχνης ἀδράνειαν, ἣν οἱ ταύτην μετιῶντες ἔργοις καὶ λόγοις ἐκήρυττον, καὶ ὡς μόνῳ θεῷ τὲ καὶ μάρτυσιν τὸ πάθος αὐτῆς ὑποκλίνεται, καὶ κελεύουσι πείθεται, πρὸς θεὸν εὐθὺς καὶ πρὸς Κῦρον καὶ Ἰωάννην τοὺς Χριστοῦ καὶ θεοῦ τῶν ὅλων θεράποντας ηὐτομόλησεν· καὶ ταύτην ἰδότες, ἀξίως τῆς εἰς αὐτοὺς ἐτίμησαν πίστεως· ἡ δὲ τιμὴ τῆς ταχείας ἰάσεως τὸ δῶρον ἐτύγχανεν, καὶ πάθους τοῦ κρυφίως κατέχον-

passio erat immitis, sortita insitam feritatem, et omne e contrario deterrens quod se mitigare vel pellere appetisset.

Cum autem huius Stephanis cognovisset invictam tyrannidem, et adversus eam, medicinae artis ignaviam, quam qui hanc sectabantur operibus et sermonibus praedicabant, et quod non nisi soli Deo ac martyribus, languor suus inclinetur, et iubentibus pareat, ad Deum se confestim et Cyrum atque Iohannem Christi omnium Dei famulos, contulit; quam sancti martyres condignam fidem eius in se habitam honoraverunt. Honor autem erat celeris sanitatis donum, et pas-

τος ἀπαλλαγή τε καὶ λύτρωσις· ἰῶνται τοίνυν τὸ γύναιον οὐ φαρμάκοις ἀοράτοις ὡς ἔθος αὐτοῖς ἰᾶσθαι τοὺς κάμνοντας, ἀλλὰ ὁρατοῖς χερσὶ τοῦ πάθους ἀψάμενοι· ἐν μιᾷ γὰρ ὡς πρὸ τοῦ μαρτυρικοῦ τῶν ἁγίων ἵστατο μνήματος, καὶ θεραπείας τυγχάνειν ἐλιτάνευεν δακρύουσά τε καὶ στένουσα, καὶ πίστει θερμῇ τὰς ἱκετείας προσφέρουσα, καὶ τὸν κάρκινον εὐθέως ἀπέβαλεν, καὶ πᾶσαν σὺν αὐτῷ βλάβην, καὶ τὴν ἐξ αὐτοῦ τικτομένην ἀσθένειαν, ἐμπεσόντα καὶ σκαίροντα· καὶ πολλοὶ μὲν εὐθὺς αὐτὸν ἐθεάσαντο· ὁ καιρὸς γὰρ ἡμέρας ἐτύγχανεν, οἳ παρῆσαν εὐχόμενοι, καὶ τυχεῖν βοηθείας ἐδέοντο· πολλοὶ

sionis qua occulte tenebatur ereptio atque redemptio. Sanant igitur mulierem non medicaminibus haud visibilibus, sicut eis moris erat laborantes sanare, sed visibilibus tangentes manibus passionem. Quadam namque die cum ante martyricum sanctorum monumentum astaret, et curationem adipisci deprecaretur lacrimans et suspirans, et ferventi fide supplicationes offerens, cancrum repente, omnemque cum eo laesionem, et quae fuerat ex ipso generata, infirmitatem deposuit; quem cadentem et palpitantem, multi quidem tunc viderunt, diei quippe tempus erat, ex his qui orantes aderant opem consequi deprecantes. Multi autem ex his, qui ad orationem accesserunt, et mar-

δὲ καὶ μετὰ ταῦτα κρεμάμενον καὶ ἀφ' ὑψηλοῦ τὴν τῶν ἁγίων διαγγέλλοντα δύναμιν, εἰς εὐχὴν ἀφικνούμενοι καὶ τοὺς μάρτυρας· ἀφ' ὧν ἡμεῖς ἀκηκοότες ἐγράψαμεν, καὶ μαθόντες ἐν ἀληθείᾳ κηρύττομεν, τοὺς ἁγίους ἐπὶ τούτῳ δοξάζοντες· τοὺς νοσοῦντας δὲ κεκρατημένους ἀνιάτοις παθήμασιν, ἐπὶ τὴν αὐτῶν ἐλθεῖν θεραπείαν προτρέπονται· τὴν τοῦ παρόντος δὲ θαύματος διήγησιν ποιησάμενοι, ἐφ' ἑτέρας θαυματουργίας βαδιοῦμεν διήγημα.

κ. ΠΕΡΙ ΜΑΡΙΑΣ ΤΗΣ ΕΧΟΥΣΗΣ ΤΟΝ ΥΔΡΩΠΑ.

Πολλὴ πάνυ τῆς τῶν θαυμάτων ἐπαγγελίας ἐστὶν ὠφέλεια· ἴσως γὰρ πάντας εὐεργετεῖ τοὺς

tyres honoribus placaturi venerunt, etiam post haec pendentem, et ex alto sanctorum virtutem annuntiantem viderunt et audierunt. A quibus haec cum audissemus, scripsimus, et in veritate cognoscentes praedicamus; sanctos quidem super hoc glorificantes; languentes autem, et eos qui insanabilibus passionibus deprimuntur, ad eorum venire curationem orantes. Porro hic finem narrationis praesentis miraculi facientes, ad alterius mirabilis operationis pergamus relationem.

20. DE MARIA HYDROPICA.

Multa valde miraculorum est relationis utili-

ἀκούοντας, ψυχὰς αὐτῶν ῥωννύουσα σὺν τοῖς σώμασιν· καὶ ταῖς μὲν πίστιν περισσοτέραν χαρίζεται, τοῖς δὲ σωματικῶν παθῶν ἀλλοτρίωσιν, κοινὴν δὲ ἀμφοτέροις ψυχαῖς τε καὶ σώμασιν εὐφροσύνην ἁγνὴν καὶ τριπόθητον, καὶ τέρψιν πνευματικῆς ἀγαλλιάσεως γέμουσαν, ἣν λόγος ἀναγγέλλειν τοῖς ἀκροωμένοις οὐ δύναται· ταύτην οὖν ἐκ τοῦ προλαβόντος τρυγήσαντες θαύματος, καὶ ἐκ τοῦ παρόντος τρυγήσωμεν, κοινωνοὶ τῆς χαρᾶς τοῖς ἰωμένοις γινόμενοι, καὶ τῆς ἐπὶ μάρτυσιν εὐσεβεστάτης αὐχήσεως· ἀλλ' ἐκεῖ μὲν ἡ Στεφανὶς τὸ τῆς εὐφροσύνης γέγονεν ἴαμα, ἐνταῦθα δὲ Μαρία γενήσεται, πάθος ἐσχηκυῖα δυσίατον καὶ παρ' ἐλπίδα λαβοῦ-

tas: fortassis enim universis praestat qui audiunt beneficia, animas ipsas una cum corporibus sanans, et aliis quidem fidem abundantiorem donat, aliis vero alienationem corporalium passionum; communiter autem utriusque animabus, atque corporibus laeticiam castam et gratissimam, et delectamentum speciali exultatione repletum, quem sermo auditoribus pronunciare non potest. Hoc ergo praecedenti carpentes miraculo, et praesenti quoque carpemus, communicatores gaudii sanatorum effecti, et piam sanctorum gloriationem sortiti. Sed ibi quidem Stephanis nobis laeticiae facta est causa; hic vero Maria efficietur, quae cum

σα τὴν ἴασιν· καὶ τὸ μὲν πάθος οἱ τῆς ἰατρικῆς ἐπιστήμης ὕδερον λέγουσιν· ὀνῆσαι δέ τι τὸν εἰς τοιαύτην ἐλθόντα διάθεσιν οὐκ ἰσχύουσιν, οὐ μικρὸν οὐ μέγιστον οὐ παραμυθίαν τινὰ πρὸς τῆς τέχνης χαρίσασθαι, ὅπερ ἐν ἅπασιν σχεδὸν τοῖς λοιποῖς ποιοῦσι νοσήμασιν, τὰ μὲν τέλεον θεραπεύοντες, τὰ δὲ ψυχαγωγοῦντες τοὺς ἔχοντας, καὶ μειοῦντες τρόπόν τινα βοηθήμασιν.

Τοῦτο καὶ Μαρία παθοῦσα τὸ νόσημα, καὶ πρὸς ἔσχατον κίνδυνον φθάσασα, οἰδήσασά τε ἐξαίσιον καὶ φρικτὸν ὑπάρχουσα θέαμα· μετὰ τὴν τῶν ἰατρευόντων ἀπόγνωσιν, καὶ τὴν τοῦ θανάτου βεβαίωσιν, σὺν κινδύνῳ πολλῷ τὸν

passionem haberet insanabilem, propter spem consecuta est sanitatem. Et quidem passionem ipsam hydropem vocant medicinalis disciplinae periti, sed prodesse his qui in talem dispositionem devenerint, nec in magno nec in modico valent, sed nec quodlibet ex arte conferre solamen, quod in omnibus paene reliquis aegritudinibus faciunt, quasdam perfecte curantes, quasdam autem modo quodam opitulationibus minorantes, et qui has habuerint animantes.

Hunc et Maria passa languorem, et ad extremum discrimen perveniens tumoreque turgida, ingens et horribile spectaculum facta est. Post desperationem vero medicantium, ac certitudinem mor-

ναὸν τῶν ἁγίων κατέλαβεν· καὶ τεθεῖσα μόλις εἰς τοὔδαφος ἔκειτ' ὀδύνην οἰμώζουσα, καὶ λέγειν τῆς οἰμωγῆς μὴ πλέον ἰσχύουσα· ἀλλ' οὕτω τοῦ πάθους αὐτὴν ἐκπιέζοντος καὶ στενοχωροῦντος ὑπερλόγον ὄγκωσιν, οἱ ἐλέῳ βρύοντες μάρτυρες καθ' ὕπνους ὀφθέντες, τήν τε ζωὴν ἐχαρίζοντο, ἣν ἔχειν οὐκ ἤλπιζεν, καὶ νόσου τὸ φάρμακον ἔφραζον, καὶ τοῦτο ποιεῖν ἐν τάχει προσέταττον· ἄρτος δ' ἦν παξαμήτης τὸ φάρμακον, οὐ μακρόθεν ἐρχόμενος, ἀλλ' ἐν Ἡρακλείᾳ γείτονι κώμῃ περιττόμενος, ὃν, εἰπούσης μετὰ τὸν ὄνειρον, ἤγαγον οἱ ἐγγίζοντες, καὶ τῷ τῆς

tis, cum dispendio multo eorum qui ferebant *, ad sanctos pervenit; et vix supra pavimentum posita, iacebat cum dolore gemens, et dicere nihil prae gemitu valens, sed ita eam passione deprimente et angustante ac suffocante, tumoribus qui ultra quam dici possent excreverant, miserentes martyres, qui affluentia miserationis habundant, et in somnis apparentes, et vitam donant, quam habituram se non sperabat, et languoris medelam asseruerunt. Et hoc celeriter facere praeceperunt. Panis enim erat medicina illa, paxamates, non a longe delatus, sed in vicino castello, Heraclio vocabulo, tesellatus; quem cum dixisset post somnium, qui aderant detulerant: quo fontis aqua rigato, tota illam a capite, tenus

* *aliter in gr.*

πηγῆς βρέξαντες ὕδατι, πᾶσαν αὐτὴν ἐκ κεφαλῆς μέχρι ποδῶν καταπάττουσιν, ὡς ἡ τῶν ἁγίων ἐθέσπισε κέλευσις· ξηραινομένου δὲ τοῦ λεχθέντος ἐκ παξαμήτου καὶ ὕδατος χρίσματος, καὶ τῆς ἔνδον σμυχούσης ὑγρότητος πλῆθος ἐξηραίνετο, πᾶσαν αὐτὴν ὡς ἐπὶ σπόγγου ἢ σίφωνος ἀνιομένου τοῦ χρίσματος, καὶ πρὸς τοὐμφανὲς ἀνοδύνως ἐκχαίοντος· οὐ μόνον δὲ τὴν ὑγρὰν ἐκείνην πληθωρίαν τὸ λεχθὲν ἀνεῤῥόφησεν φάρμακον, ἀλλὰ καὶ τὸν ἀπ' αὐτῆς τῆς νόσου τικτόμενον θάνατον· καὶ Μαρία μὲν οὕτω χαλεπῶς κινδυνεύσασα ῥαδίως διαφεύγει τὸν κίνδυνον, μαρτυρικῆς ἐπιτυχοῦσα δυνάμεως, καὶ τοῦ νοσήματος κρείττονος καὶ αἰτίας γνωριζομένης τῆς

pedibus asperserunt, quemadmodum sanctorum iussio sanxerat; exsiccatoque unguento, quod ex paxamatico pane confectum et aqua fuerat, multitudo quoque humoris delitescentis interius exsiccata est, totam hanc unguento instar spongiae vel siphonis hauriente, et sine dolore ad superficiem effundente. Non autem solam illam tantum humoris illuviem praedictum medicamentum absorbuit, sed et mortem quae ex ipso erat nascitura languore. Et Maria quidem cum in tam saevum periculum incidisset, facile periculum effugit, martyrica virtute percepta, et languoris melioratione, causaque sanitatis comperta. Nos au-

ῥώσεως· ἡμεῖς δὲ πάλιν τοὺς μάρτυρας εὐφημήσαντες, καὶ ὡς τηλικούτων ἔργων ἐργάτας ὑμνήσαντες, ἔργον ἕτερον μέγιστον καὶ τηλικαύτης εὐφημίας ἐπάξιον τῆς αὐτῶν συγγράψωμεν χάριτος.

κα. ΠΕΡΙ ΜΑΡΤΥΡΙΑΣ ΤΗΣ ΕΚ ΠΕΡΙΕΡΓΙΑΣ ΤΑ ΣΠΛΑΓΧΝΗ ΠΑΣΧΟΥΣΗΣ.

Μαρτυρίας τὸ πάθος ἀκούσωμεν, καὶ τὴν τοῦ πάθους μὴ παρέλθωμεν ἴασιν· ἵνα μὴ μόνον ἐπὶ τὸ πάθος στυγνάζωμεν, ἀλλὰ καὶ τὴν ῥῶσιν μανθάνοντες χαίρωμεν· δεινὸν ἦν αὐτῆς τὸ ἀῤῥώστημα, καὶ λόγου καὶ γλώττης ἐπέκεινα· οὐ γὰρ φυσικὸν ἦν, ὡς τὰ πολλὰ πάθη συμ-

tem martyres iterum collaudantes, et utpote tantorum operum operarios hymnis canentes, aliud maximum opus, et tanta laude condignum gratiae conscribamus ipsorum.

21. DE MARTYRIA QUAE EX MALEFICIO VISCERA LAESA PATIEBATUR.

Martyriae passionem audiamus, et sanitatem passionis non transeamus, ut non tantummodo de passione maerorem efficiamus, sed et de incolumitate condigne gaudeamus. Severa eius erat infirmitas, et verbis et lingua superior: non enim naturalis erat, sicuti multae passiones contingunt

βαίνουσιν ἐκ χυμῶν πλειόνων γινόμενα, ἢ συμπτωμάτων ἀπ' ἄλλων τικτόμενα, οἷς μετὰ τὴν ἐν παραδείσῳ παράβασιν δουλεύειν ἀνάγκῃ τὸ σῶμα κεκλήρωται· ἀλλ' ἐκ περιεργίας καὶ τινῶν μοχθηρίας, καὶ ἄθεον κεκτημένων προαίρεσιν, καὶ φιλοτιμουμένων κακῶς, πρὸς τὸ οὕτως ἀφειδῶς λυμαίνεσθαι τὸ ὁμόφυλον· εἴτε οὖν δηλητηρίοις χρώμενοι, εἴτε βλαπτικαῖς δαιμόνων ὁρμαῖς τε καὶ μάστιξιν ἐκάκουν τὸ γύναιον, ἀγνοοῦμεν ὡς ἄνθρωποι· Θεὸς δὲ τοῦτο μετὰ τῶν ἄλλων ἁπάντων ἐπίσταται ὁ πάντων ἔχων τὴν εἴδησιν, πρὸ τῆς αὐτῶν εἰς τὸ εἶναι ἐνώσεως· τὰ σπλάγχνα δὲ πάσχειν ἐβόα τὸ γύναιον, καὶ ταῦτα δάπτεσθαί τε καὶ σπαράττεσθαι διωλόλυζεν· ἕτερον δέ τι τοῖς τὴν αἰτίαν πυθομένοις οὐκ ἔλεγεν.

ex amplioribus humoribus factae, vel casibus ab aliis generatae, quibus post factam in paradiso transgressionem, servire corpus necessitate sortitum est; sed maleficio quorumdam malignam et sine Deo voluntatem habentium, atque ad sic dolendos proximos male et sine parcitate operam dantium. Itaque sive veneficiis utentes, sive non innoxiis daemonum motibus atque flagellis mulierem afflixerint, ignoramus, ut homines; Deus autem hoc novit, una cum aliis universis, qui cunctorum habet scientiam, ante ipsorum ad exi-

Ἐκεῖσε δὲ τῶν ἰατρῶν οἱ προστάται συῤῥέοντες, οὔτε τὸ πάθος ἐγίνωσκον, οὔτε τὴν αἰτίαν ἀπήγγελλον, οὔτε προσφέρειν ἠνίσχοντο φάρμακον, ἀλλ' ὀφελοῦντες οὐδὲ ὡς μὴ φανέντες ὑπέστρεφον· ὃ μαθόντες οἱ τῷ γυναίῳ προσήκοντες, θᾶττον αὐτὴν πρὸς Κῦρον καὶ Ἰωάννην τοὺς μάρτυρας ἄγουσιν, οὐκ ἀγνοηταὶ τῆς θείας αὐτῶν ὄντες δυνάμεως δι' ἧς τὰς ἰάσεις τοῖς προσιοῦσιν ὀρέγουσιν καὶ δρῶσιν ἔργα θαυμάσια, ἃ μηδὲ λόγος δύναται διηγήσασθαι μηδὲ νοῆσαι σαφῶς ἀνθρώπων ἰσχύει διάνοια, πάντας εὐεργετοῦντες καὶ σώζοντες, καὶ κινδύνων

stendum effectus. Porro viscera se pati clamabat, haecque comedi, ac lacerari plorabat, et aliud quid causam sciscitantibus non dicebat.

Illuc autem medicorum proceres confluentes, neque passionem cognoscebant, neque causam denunciabant, neque aliquid patiebantur offerre remedium, sed nil prodesse valentes, quasi non apparuissent, revertebantur. Quo comperto, qui mulieri pertinebant, maturius eam ad Cyrum et Iohannem martyres ducunt, haud divinae virtutis eorum ignari, per quam sanitatem accedentibus porrigunt, et opera peragunt admiranda, quae nec sermo potest enarrare, nec plane sensus valet hominum intelligere; omnes beneficiis persequentes, atque salvantes, et a continuis pe-

ἀλλεπαλλήλων λυτρούμενοι· ὡς διὰ τοῦτο δωρηθέντες τοῖς ἀνθρώποις. οἱ ἅγιοι, καὶ δόσις ἀγαθὴ καὶ δώρημα τέλειον θεοῦ τοῦ φιλανθρώπου πρὸς ἀνθρώπους ὑπάρχοντες, καὶ μιμούμενοι τὸ τοῦ δωρησαμένου φιλάνθρωπον, καὶ σπεύδοντες ἄξιον μᾶλλον τοῦ δεδωκότος χαρίζεσθαι, ἤπερ ποιεῖν αὐτοῦ τὸ δῶρον ἀνόνητον.

Οἳ καὶ τότε τὴν Μαρτυρίαν οἰκτείραντες οὕτως σπαραττομένην ὡς ἔφημεν, καὶ φωναῖς διαπρυσίοις οἰμώζουσαν πρὸς ὕπνον κατήγαγον· καὶ ἐνύπνιον καὶ ὄναρ ὁρᾷν παρεσκεύασαν· αὐτοὶ δὲ ἦσαν οἱ δεδωκότες ὁρᾷν καὶ φαινόμενοι· ἄνδρας γὰρ ἔβλεπεν ἐκ μόνων τῶν ἱματίων ἀστράπτοντας, καὶ προσηνές τε βλέποντας καὶ μείλιχιον·

riculis eruentes; qui nimirum propterea donati sunt hominibus sancti, datum Dei benigni optimi, et donum perfectum, erga homines donatoris clementiam imitantes, atque ut digni potius datore cognosci valerent, quam munus eius facere non proficuum, festinantes.

Qui et tunc Martyriae miserti taliter dilaceratae, ut diximus, et vocibus arduis eiulantis, ad somnum deduxerunt, et ut somnium aspiceret praeparaverunt. Ipsi autem erant qui et videre dabant, et qui apparebant: viros enim videbat in monachorum vestibus coruscantes, et lenius ac placidius intuentes, et cum reverentia venientes,

καὶ πρὸς αὐτὴν μετ' εὐλαβείας ἐρχομένους καὶ λέγοντας, τίνος ἕνεκεν οὕτω βοᾷς, καὶ καθεύδειν οὐκ ἐᾷς τοὺς ἐν νόσοις ἐνθάδε προσμένοντας; ἡ δὲ τὰ σπλάγχνα πονεῖν ἀπεκρίνατο· καὶ οἱ μάρτυρες πάλιν αὐτὴν ἀμειβόμενοι ῥήμασιν, εἶτα φασὶν, καὶ μόνη ὕπνον ἐκ τούτων ἁπάντων ἔχεις ἀφόρητον; καὶ τοῦτο φήσαντες, τὴν κεφαλὴν τοῦ γυναίου κρατοῦσιν ἀμφότεροι· καὶ τὸ στόμα διανοίξαντες ὁ τῶν δύο πρεσβύτερος, Κῦρος οὗτος ἦν ὁ θεσπέσιος, τούτῳ τρὶς ἐνεφύσησεν· καὶ τοῦτο ποιήσαντες, αὐτοὶ μὲν φησὶν ἀνεχώρησαν, ἐκείνη δὲ τοῦ τε ὕπνου καὶ τοῦ ὁράματος ἀπελύετο· καὶ τῆς μὲν ὀδύνης μετρίως ἐπέπαυτο, ἐλθεῖν δὲ πρὸς ἀφεδρῶνας ὑπήγετο, ἔν-

atque dicentes : qua pro causa taliter clamas, et dormire non sinis eos qui hic in laboribus perseverant? At illa, viscera se dolere respondit. Et martyres rursus eam verbis reciprocis convenientes, ita inquiunt : et sola tu dolorem * habes ex his omnibus importabilem? et hoc dicto, caput mulieris tenet uterque, et cum os eius manibus adaperuissent, duorum senior Cyrus videlicet ille mirabilis in eam ter insufflavit : et hoc facto, ipsi quidem quasi recesserunt, illa vero tam a somnio, quam a somno dimissa, doloris quidem mediocrem requiem sentiebat, urguebatur autem ad latrinas venire, quo perveniens sedet, et palma-

* gr. somnum.

θα γενομένη καθέζεται, καὶ παλαιστὴν διὰ γαστρὸς κατήγαγεν σκώληκα, τὸν τὰ σπλάγχνα κρυφίως κατεσθίοντα, ὃν ὡς κόπρον κατιέναι κελεύουσιν· τούτου δὲ τοῦ πάθους ἀπαλλαγεῖσα καὶ Μαρτυρία ἐλέους ἐπέτυχεν, χάριτι καὶ φιλανθρωπίᾳ Χριστοῦ τοῦ θεοῦ ἡμῶν, καὶ τῶν σεπτῶν ἀναργύρων δωρήμασι.

κβ. ΠΕΡΙ ΣΑΡΑΠΑΜΜΩΝΟΣ, ΣΚΗΡΟΝ ΕΙΣ ΤΟΝ ΠΟΔΑ ΕΧΟΝΤΟΣ.

Τί δὲ τὸν λαμπρὸν Σαραπάμμωνα μέλλωμεν; εἴπερ αὐτὸν παρελθεῖν οὐ βουλόμεθα, οὔτε καταλιπεῖν μετὰ τῶν λοιπῶν ἀδιήγητον· ὧν τὴν πληθὺν οἶδε μὲν ἀνθρώπων οὐδεὶς οὐδὲ στο-

rem per ventrem vermem deposuit, qui eius occulte viscera comedebat. Quem velut stercus excreans, ad sanctorum spiritum pulsum, penitus a doloribus e lacerationibus liberata est; hymnisque martyribus cumulatis, sana et illaesa recessit. Cum qua * et nos eadem illis hymnodia allata, alterius hymnodiae faciamus optentum, alterius relationem miraculi facientes.

* aliter in graeco.

22. DE SARAPAMMONE SCIRON HABENTE IN PEDE.

Quid autem illustrem Sarapammonem neglegimus? si eum praetergredi, et cum reliquis non enarratum deserere nolumus, quorum multitu-

χάζεσθαι δύναται· οἶδεν δὲ μόνος θεὸς, καὶ οἱ μετὰ Θεὸν ἀκεσάμενοι μάρτυρες· οὐκοῦν λέξωμεν αὐτοῦ τὴν ἀσθένειαν, καὶ μετ' αὐτῆς τὴν φιλάνθρωπον ἴασιν, ἣν οἱ θεσπέσιοι πρὸς πάντας σαφῶς ἐπιδείκνυνται, Θεοῦ φιλανθρωπίαν μιμούμενοι, καὶ τὸ συγγενὲς εὐμαρῶς ἐποικτείραντες· τοῖν ποδοῖν ὁ Σαραπάμμων τὸν ἕτερον ἔπασχεν, καὶ τὸ πάθος εἰς τέρας τὸν ἄνθρωπον ἤμειβεν· οὐ τραῦμα γὰρ ἦν, ἢ φυμάτιον, ἢ ἕτερον σύμπτωμα ῥᾳδίαν ἔχον τὴν ἴασιν, ἀλλ' ὁ παρ' ἰατροῖς σκῆρος λεγόμενος, ὅπερ ἐπαχθέστατον νόσημα ὅλον αὐτοῦ τὸν πόδα μέχρι βουβῶνος περιλαβὸν ὡς ἀσκὸν ἀπετέλεσεν, πολυ-

dinem scit hominum quidem nullus, sed nec conicere potest, scit autem solus Deus, et post Deum martyres qui sanabant. Ergo dicemus eius infirmitatem, et cum hac misericordissimam sanitatem, quam ad omnes egregii illi evidenter ostendunt, divinam clementiam imitantes, et benigne proximis miserationem praestantes. Pedum Sarapammo in altero patiebatur, passioque ad prodigium hominem transducebat: non enim vulnus erat, aut papula, aut casus alius qui sanari facile possit, sed quod a medicis sciros dicitur, languor videlicet pessimus, qui totum pedem ipsius usque ad inguinem * circumplexus, sicut utrem patravit, multiplicans hunc incompassibili mole,

* ita cod.

πλασιάσαν τῷ ὄγκῳ πρὸς τὸν ὑγειᾶ καταλειπόμενον· οὕτω γὰρ τοῦτο τὸ τερατῶδες ἀῤῥώστημα τέως τὸν ἔχοντα τίθησιν ἐναλλαγείας ἀφαιρέσει καὶ προσθήκῃ τοῦ πλείονος, ἕως ἂν τὸ ὑπέρογκον αὐξήσησι περάσῃ τῶν βουβώνων τὸν σύνδεσμον, καὶ ὅλον ἀπολέσῃ τὸν ἄνθρωπον.

Ἀλλ' ἔτι τοῦ πάθους νεάζοντος, καὶ ἀρχὴν γενήματος ἄγοντος, ὁ πατὴρ Ἰουλιανὸς, οὕτως ἐλέγετο, τοὺς τῶν ἰατρῶν ἐξέχοντας φέρων ἱκέτευεν, ἐῤῥωμένον αὐτῷ τὸν παῖδα χαρίσασθαι, μισθοὺς ἀξίους δώρου χαρίσασθαι· οἱ δὲ τὸν Γαληνὸν περιστρέφοντες, καὶ τὸν Ἱπποκράτην ἑαυτοῖς ἀνελείττοντες, καὶ πολλὰ μὲν τῷ νο-

multo amplius quam alter erat qui sanus esse videbatur. Sic enim haec prodigiosa infirmitas interim sui exhibet possessorem, commutari faciens eius formam et habitum, tam aequalitatis sublevatione quam pluris additione, donec ingentibus incrementis conexionem inguinum transeat, et totum hominem perdat.

Sed cum languor adhuc recens esset, nascendique principium ageret, pater eius, Iulianus nomine, praecellentes in medicis adduxit, et ut incolumem sibi donarent filium, condignasque dono mercedes acciperent, supplicavit. At illi Galenum vertentes, et Hippocratem frequenter in se revolventes, cum multa quidem languenti attulis-

σοῦντι προσφέροντες, εἰς κενὸν δὲ πυκτεύοντες καὶ ἀνόνητα κάμνοντες, καὶ μηδὲν ὀφελῆσαι δυνάμενοι, τέλος ἐπαύσαντο, τῇ παύλῃ τὴν ἧτταν κοιμήσαντες *, καὶ τὴν τοῦ πάθους ἀπόρθητον δύναμιν· ἐντεῦθεν ἐπὶ Κῦρον ὁ νέος καὶ Ἰωάννην ἐφέρετο· τούτους γὰρ οἱ γονεῖς μεμαθήκασιν ἅπαν νόσημα καὶ πᾶσαν ἀσθένειαν θεραπεύοντας, καὶ νόμοις ἰατρῶν καὶ στοχαστικαῖς ἀποφάσεσι μὴ δουλεύοντας· οἱ γὰρ ἄνωθεν τὰς ἰάσεις δωρούμενοι, ἐπάνω πάντων εἰσὶ, καὶ κεναῖς διδαχαῖς οὐχ ὑπόκεινται, ὡς ἐν πᾶσιν αὐτῶν τοῖς σημείοις γινώσκοντες, ἰατρικὸν μηδὲν ἐπιτάττοντες, ἀλλὰ καὶ ἐναντία προστάττοντες· οἷα γὰρ κοινωνία πρὸς σκότος φωτὶ; κἀνταῦθα λέγοιμ' ἀκόλουθον· εἴπερ ἐκ θεοῦ μὲν οἱ μα-

* ita cod.

sent, in vacuumque pugnassent, cessatione superationem sui, passionemque inexpugnabilem virtutem vocibus praedicantes. Hinc ad Cyrum et Iohannem iuvenis ferebatur: didicerant enim parentes, quod hii omnem languorem, et omnem infirmitatem curarent; qui enim de sursum sanitates donant, super omnes sunt, et terrenis doctrinis non subiacent, sicut in omnibus signis suis egisse liquidius agnoscuntur, cum nihil medicinale imperaverint, sed et contraria nonnunquam praeceperint. Quae enim comunicatio luci ad tenebras? etiam dicere hic consequens est, si ex

κάριοι μάρτυρες, ἐξ ἀνθρώπων δὲ καὶ ἐκ γῆς οἱ ἐπὶ γῆς ἰατροὶ θεραπεύουσιν.

Πρὸς τούτων οὖν ἀπογνωσθέντα τὸν Σαραπάμμωνα λαβόντες οἱ ἅγιοι, ἐλαίῳ καὶ κηρωτῇ τοῖς τὸν πυρσὸν τὸν τὴν ἁγίαν αὐτῶν σορὸν φωτίζοντα τρέφουσιν, τὸν πόδα τὸν πάσχοντα λιπαίνειν κελεύουσιν· τοῦτο κατ' ὄναρ εἰρηκότες τοῖς φύσασιν· ὁ δὲ ποὺς λιπαινόμενος ἐλεπτύνετο, καὶ κηρωτῇ τρεφούσῃ τρεφόμενος κατετήκετο, καὶ ποτιζόμενος ἔλαιον, τὸ πρόσωπον ἱλαρύνον ποτίζοντος, ἐξηραίνετο· καὶ τὴν προτέραν ἀπελάμβανεν μόρφωσιν, ἣν ὁ κτίσας κατ' ἰσόῤῥοπον τρυτάνην ἀμφοτέροις ἀπένειμεν· καὶ οὐ τοῦτο μόνον ὑπῆρχε θαύματος ἄξιον, ἀλλ' ὅτι τὸ μέγεθος καὶ τὴν αὔξησιν, ἣν ἐν μακρῷ

Deo quidem beati martyres, ex hominibus autem et de terra terreni medici curant.

Ab his ergo sancti desperato Sarapammone accepto; oleo, et cerote, quibus candelam nutriunt, quae sanctum eorum illuminat tumulum, pedem qui patiebatur inungere iubent, hoc parentibus in visu dicentes. Porro pes dum inungeretur tenuis reddebatur, et cerote fotus qui nutrit tabescebat, et potatus oleo quod faciem potantis exhilarat, exsiccabatur; et priorem recipiebat formositatem, quam qui creavit aequa lance utrique restituit. Et non solum hoc erat ad-

τῷ χρόνῳ προσέλαβεν, ἐν ἡμέραις ὀλίγαις ἀπέβαλεν· τοιαύτη γὰρ τῶν ἁγίων ἡ χάρις καθέστηκεν, ὡς τὰ χρόνια καὶ μεγάλα νοσήματα βραχυτάτῳ καιρῷ καὶ σμικροτάτῳ θεραπεύειν κελεύσματι· Σαραπάμμων οὖν ἰαθεὶς ὡς αὐτὸς ἐπίστευεν καὶ οἱ φύσαντες, καὶ τὸ τῶν μαρτύρων ἐθέσπισεν βούλημα, ὑγιὴς σὺν αὐτοῖς ἀπελήλυθεν τὰ χαριστήρια τοῖς εὐεργέταις φθεγξάμενος· ἡμεῖς δὲ πάλιν ὡς ταύτην πεπονθότες τὴν ἴασιν, οὐχ ἧττον τῶν πεπονθότων τοὺς δεδρακότας ὑμνήσαντες, ἐπ' ἄλλην εὐεργεσίαν βαδίσωμεν.

κγ. ΠΕΡΙ ΓΕΝΝΑΔΙΟΥ ΤΟΥ ΤΗΝ ΚΕΦΑΛΗΝ ΜΥΙΩΝ ΓΕΜΟΥΣΑΝ ΕΧΟΝΤΟΣ.

Γενναδίου τὸ πάθος τίς οὐ θαυμάσειεν, καὶ

miratione dignum, sed quia molem et incrementum quod per longum tempus assumpsit, in diebus paucis abiecit; talis enim sanctorum est gratia, ut prolixos et magnos languores brevissimo tempore et iussione parvissima curent. Sarapammo itaque sanus effectus, sicut ipse credidit et parentes, sanctorumque sanxit propositum, sincerus cum ipsis abiit; his, qui beneficia sibi praestiterant, gratiarum pronuncians actiones.

23. DE GENNADIO QUI CAPUT PLENUM MUSCIS HABUIT.

Gennadii passionem passionisque admirabilem

τὴν τοῦ πάθους παράδοξον ἴασιν; ξένα γὰρ ὄντως ἀμφότερα, καὶ παθῶν ἀνθρωπίνων ἀλλότρια, καὶ Γαληνοῦ φαρμάκων ἀνόμοια· ἀκούσωμεν οὖν καὶ θαυμάσωμεν οὐ τοσοῦτον τὸ νόσημα ὅσον τοὺς ἰατροὺς τοῦ νοσήματος· ἤλγει τὴν κεφαλὴν ὁ Γεννάδιος, οὐχ ὡς πάσχειν ἔθος τοὺς πάσχοντας, ἀλλ' ὡς οὐδεὶς ἐν ἀνθρώποις ἐνόσησεν· μετ' ἤχους γάρ τινος καὶ βομβώδους κινήματος τὰς ἀλγηδόνας ὑπέμεινεν, ὃ πᾶσιν μὲν ἰατροῖς, πᾶσι δὲ τοῖς ἀκούουσιν ξένον ὑπῆρχε λεγόμενον· καὶ οἱ μὲν ἄλλοι μόνον τὸ πάθος ἐθαύμαζον, ἰατροὶ δὲ πολλοῖς μὲν ἀλείμμασι, διαφόροις δὲ σμήξεσι, φλεβοτόμοις δὲ καὶ καθαρσίοις καὶ λοιποῖς χρώμενοι βοηθήμασι ὠφέ-

sanitatem quis non miretur? Etenim revera sunt utraque miranda, et humanis passionibus aliena, Galeni eiusque medicaminum dissimilia. Audiamus ergo, et admiremur non tantum languorem, quantum languoris curatores. Dolebat caput Gennadius non sicut pati, qui patiuntur, assolent, sed sicut in hominibus nullus elanguit: cum sonitu quippe quodam, et bombum faciente motu sustinebat dolores, quod omnibus quidem medicis, sed et omnibus erat audientibus dum dicerent extraneum. Et alii quidem passionem mirabantur; medici autem multis quidem nunc unguentis, nunc diversis mixturis, nunc autem flebo-

λουν οὐδὲν τὸν Γεννάδιον· οὕτω δεινὸν ἦν τὸ νόσημα καὶ ἀλλόκοτον· εἴτε δὲ περιεργίας τοῦτο τεκούσης, εἴτε καὶ φυσικοῦ τινος ἄλλου συμπτώματος, οὐ γινώσκομεν· μόνον γὰρ τὸ πάθος καὶ τὴν τούτου θεραπείαν μαθεῖν ἠδυνήθημεν.

Μεθ' οὗ προσελθὼν ὁ πάσχων τοῖς μάρτυσιν, ταχεῖαν αὐτοῦ τὴν ἀπαλλαγὴν ἐκομίσατο, μαρτυρικῆς γέμουσαν χάριτος, καὶ Ἰωάννου καὶ Κύρου ἀστείαν τὴν συγκατάβασιν ὑπογράφουσαν· ἥτις τρόπῳ τοιῷδε γεγένηται· οὐ σιγήσω γὰρ αὐτὴν οὐδὲ κρύψαιμι, οὐδὲ τοιούτου καλοῦ ζημιώσαιμι τοὺς ἀκούοντας· ὄκνου γὰρ ἔργον ἢ φθόνου σαφῶς τὸ τοιοῦτο καθέστηκεν·

tomis purgatoriisque ac reliquis adiumentis utentes, nullum Gennadio conferebant auxilium. Sic enim languor erat dirus ac desperatus; nescimus utrum ex maleficio, an ex alio quodam naturali casu generatus; solam namque passionem et hominis curationem discere quivimus.

Cum quo accedens is qui patiebatur ad martyres, citam liberationem sui promeruit, quae martyrica est gratia plena, et urbanam Iohannis seu Cyri condescensionem subscribit; quaeque taliter est effecta. Sane non hanc tacebo, sed nec occultaverim, nec huiusmodi boni auditoribus dispendium fecerim; pigritiae plane opus, vel invidiae tale quid evidentius est? sed invidia qui-

ἀλλ' ὁ μὲν φθόνος ἀπέστω πάντη τῆς ἡμῶν μετριότητος καὶ παντὸς χριστιανοῦ καὶ θεόφρονος· ὄκνος δὲ πάλιν ὁ πένης καὶ τοὺς φίλους πένητας ἐργαζόμενος, κατὰ τὴν παροιμιώδη Σολομῶντος παραίνεσιν· ἐλαυνέσθω μὲν ἀεὶ πρὸ τῆς ἡμῶν ταπεινώσεως, μάλιστα δὲ νῦν ὅτε ψυχῇ καὶ βουλῇ φιλομάρτυρι, Κύρου καὶ Ἰωάννου τὰ φιλάνθρωπα γράφομεν θαύματα.

Ἐκάθευδεν μὲν οὖν ὁ Γεννάδιος, ἠγρύπνουν δὲ μάρτυρες οἱ θεσπέσιοι, καὶ τοῦ καθεύδοντος διηρεύνων τὴν ἴασιν, καὶ τὴν θεραπείαν ἐσκέπτοντο· εἶτα πρὸς αὐτὸν παραγίνονται, καὶ τοῖς τοῦ κυρίου λόγοις ἐχρήσαντο, οὓς πρὸς τὸν ἐν τῇ προβατικῇ κατακείμενον ἔλεξεν· θέλεις γὰρ

dem tam a mediocritate nostra, quam ab omni christiano, qui quae Dei sunt sapit, penitus absit; pigritiae vero torpor ille pauper, et qui amicos pauperes secundum proverbialem Salomonis doctrinam efficit, semper quidem ab humilitate nostra pellatur, quam maxime nunc, quoniam amatrice martyrum anima et voluntate, Cyri atque Iohannis amica hominum miracula scribimus.

Gennadius equidem dormiebat, sed egregii martyres vigilabant, et sanitatem dormientis investigabant, curationemque praestabant. Denique ad eum veniunt, et Domini nostri verbis utuntur, quae ad eum qui penes probaticam iacebat pi-

ἔφασαν ὑγιὴς γενέσθαι; ὁ δὲ τὸ ναὶ πρὸς αὐτοὺς ἀπεκρίνατο· τί γὰρ οὐκ ἔμελλε τοιαύτῃ νόσῳ σφόδρα τιμωρούμενος; τότε πάλιν πρὸς αὐτὸν εἶπον οἱ ἅγιοι, εἰ θέλεις οὖν ὑγιὴς γενέσθαι, ἔξελθε πρωΐας τὸ τέμενος ἀπὸ τῆς στρωμνῆς ἀνιστάμενος, καὶ καμήλοις συναντήσας τρισὶ, σὺν ἀνδρὶ τῷ ταύτας ἐφέλκοντι, τούτων τῆς ἐσχάτης λαβόμενος, οὐ μὴ πρότερον ἐάσῃς πορεύεσθαι, ἕως ἂν ἀφοδεύσειε· τὸ ταύτης γὰρ ἐκκρινόμενον σκύβαλον ὕδατι εὐθέως δευόμενον, τῆς σῆς ἀῤῥωστείας ἔσται βοήθημα, καὶ κακοῦ σε τηλικούτου λυτρώσεται, τῇ σῇ κεφαλῇ προσφερόμενον· ταῦτα φήσαντες ἀπῆλθον οἱ μάρτυρες.

Ὁ δὲ νοσῶν τῆς στρωμνῆς ἀναστὰς ὡς κεκέ-

scinam dixit: vis enim sanus, inquiunt, fieri? Ille vero ad eos, etiam respondit: quid enim non agere procuraret, cum tali languore valide puniretur? Tunc iterum ad eum sancti dixerunt: ergo si vis sanus fieri, egredere mane basilicam cum a strato surrexeris, et camelis tribus una cum viro, qui hos trahit, occurres. Horum novissimum apprehensum, ne abire dimittas, donec cacet: stercus enim quod ex hoc fuerit excreatum, cum aquis rigaveris, infirmitatis tuae erit praesidium, et tanto te malo liberum reddet, cum tuo allatum capiti fuerit. Et his dictis martyres abierunt.

At vero cum languens, uti iussus fuerat, sur-

λευστο, πληρώσων ἐξῄει τὸ θέσπισμα· καὶ καμήλους τρεῖς εὑρὼν ὡς ἐπύθετο, τῆς τελευταίας τῆς φορβείας ἐδράξατο· καὶ ταύτης δραξάμενος, τῶν λοιπῶν τὴν πορείαν ἐκώλυεν· ὁ δὲ τούτων ἔχων τὴν πρόνοιαν, λόγοις μὲν ἀπολῦσαι τὸ πρότερον πείθειν ἐπειρᾶτο τὸν ἄῤῥωστον· ὡς δ' εἶδεν αὐτὸν μὴ πειθόμενον, ἀνατείνας αὐτοῦ τὸ καμηλόκεντρον, τὴν πάσχουσαν αὐτοῦ κεφαλὴν ἐμαστίγωσεν, καὶ ταῖς ἐν αὐτῇ φρουρουμέναις μυίαις ποθουμένην ἀνοίγει ἔξοδον, αἳ θύραν εὑροῦσαι φυγῆς τε καὶ πτήσεως, εἴργεσθαι λοιπὸν οὐκ ἠνείχοντο, ἀλλὰ τούτου γεγονότος ἀνέπτησαν, καὶ ῥαγέντος τοῦ περιφράγματος ᾤχοντο, καὶ τοῦ δεσμοτηρίου διορυγέν-

rexit a strato, exivit completurus quod fuerat imperatum; et camelis, ut edoctus fuerat, tribus inventis, novissimum per capistrum comprehendit, quo comprehenso, reliquorum iter inhibuit. Porro vero qui horum commissam provisionem habebat, verbis primitus infirmo, ut eos dimitteret, suadere temptavit: at ubi eum non acquiescentem vidit, extenso suo camelorum aculeo, caput eius quod patiebatur, verberibus sauciavit, et muscis, quae in ipso erant retrusae, desideratum aperuit exitum. Quae ostio fugae atque volatus invento, arceri de cetero non patiebantur. Sed hoc facto, avolaverunt, et sepe dirupta pro-

τος ἀπέδρασαν, καὶ τὸν φωλαιὸν ἐκεῖνον τὸν καινὸν διωχθεῖσαι κατέλιπον ὀδύνης ἔρημον καὶ τῆς αὐτῶν ἀκοιμήτου βλάβης τὸν ἄνθρωπον, καὶ τὸν παρόντα τόπον ἐπλήρωσαν, θέαμα καινὸν τοῖς ὁρῶσιν ἐκθέουσαι· καὶ τῶν μὲν μυιῶν οὕτως ἐλευθερώθη Γεννάδιος, μαρτυρικῇ χειρὶ καὶ οὐ ῥάβδῳ καμηλίτου τὴν ἐλευθερίαν εὑράμενος.

Ἔτι δὲ ταῖς μυίαις τοῦ τραύματος βρύοντος καὶ στενουμένου ταῖς φοβεραῖς αὐτῶν ἀναπτήσεσιν, ἡ λεχθεῖσα κάμηλος, ὡς ἀπό τινος ἀνενδότου προστάγματος τὴν ὄνθον ὑπεξέκρινε· καὶ ταύτην ἐνθέως οἱ προεστῶτες ἁρπάσαντες, καὶ θᾶττον ὕδατι δεύσαντες τὸ μυοφόρον ἐκεῖνο τραῦ-

fectae sunt, et effosso carcere fugerunt, et lustrum illud novum pulsae reliquerunt a dolore desertum, et a sua non laedenti laesione hominem liberum demonstratum: et praesentem tunc locum repleverunt nova miracula, cum viderentur discurrere. Et quidem a muscis taliter Gennadius est liber effectus, martyrica manu, et non virga camelarii, liberatione reperta.

Cum autem adhuc muscis vulnus afflueret, et vir terribili earum volatu coarctaretur, iam dictus camelus quasi ex quodam iugi praecepto stercus emisit, et hoc protinus qui adstabant arrepto, et maturius aquis intincto, musciferum illud vulnus facto cataplasmateo resperserunt, op-

μα κατέπλασαν, τὴν εἴσοδον αὐταῖς ἀναφράττοντες, μὴ πάλιν εἰσέλθωσιν ἀναστρέψασαι, καὶ κατὰ τὰ ἑπτὰ πονηρώτατα πνεύματα μένοιεν, καὶ χείρονα τὰ ἔσχατα τῶν προτέρων ἐργάσοιντο· ἐπιτεθέντος δὲ τῷ τραύματι τὸ ἐκ βολιτῶν γενόμενον, φροῦδον αὐτὸ παραχρῆμα πεποίηκεν, καὶ πᾶσιν σχεδὸν εἰπεῖν ἄγνωστον τοῖς ὁρᾶν βουλομένοις τῶν μυιῶν τὴν ἐπαύλην, μόνους δὲ τῆς ἐξόδου τοὺς τύπους ἐφύλαξε, τῆς Κύρου καὶ Ἰωάννου φιλανθρωπίας μνημόσυνον, καὶ τῆς αὐτῶν μαρτυρικῆς δυνάμεως μάρτυρας· ἡμεῖς δὲ καὶ νῦν ὡς ἐπὶ πᾶσι ποιοῦμεν τοῖς θαύμασι, τοὺς ἁγίους ὑμνήσωμεν, τῆς ὑμνῳδίας κοινωνὸν καὶ ἡγούμενον ἔχοντες τὸν ἰαθέντα Γεν-

pilantes illis introitum, ne iterum reversae introissent, et secundum septem illos spiritus nequam in ipso manentes operarentur novissima peiora prioribus. Impositum autem vulneri factum ex stercoribus medicamentum, invisibile id confestim et incognitum fecit paene cunctis, ut ita fateatur illud muscarum videre volentibus habitaculum, solas exitus figuras reservans, Cyri atque Iohannis misericordiae monimentum, et ipsorum martyricae potentiae testes. Nos autem sicut in omnibus miraculis facimus, hymnis sanctos laudemus, hymnodiae communicatorem et ducem qui sanatus est habentes Gennadium, et

νάδιον· καὶ οὕτω τὸν λόγον πρὸς ἑτέρου θαύματος ἐπαγγελίαν ῥυθμήσωμεν.

κδ. ΠΕΡΙ ΙΟΥΛΙΑΝΗΣ ΤΗΣ ΤΥΦΛΗΣ, ΚΑΙ ΙΟΥΛΙΑΝΗΣ ΤΗΣ ΚΑΤΑΦΟΡΤΙΚΗΣ.

Θαύματι διττῷ καὶ ἐξέχοντι θαῦμα διττὸν προσαπτήσωμεν, οὐκ ἐφ' ἑνὶ προσώπῳ γενόμενον, ἀλλ' ἐπὶ δύο φύσεως μιᾶς καὶ ἑνὸς τυχοῦσιν ὀνόματος· καὶ φύσις μὲν ἦν αὐτοῖς ἡ τοῦ θήλεως, Ἰουλιανῆς δὲ τῆς μάρτυρος ὑπῆρχε τὸ ὄνομα· γυναίων γὰρ δυὰς προσηγορίαν μίαν κομίζουσα, δύο δὲ κρατουμένη νοσήμασι, τοῖς ἁγίοις προσέρχεται· ἀμφότεραι μὲν Ἰουλιαναὶ καλούμεναι, οὐ κοινὸν δὲ τὸ νόσημα, οὐδὲ τὸ

ita sermonem ad redditionem alterius miraculi moderemur.

24. DE IULIANA CAECA, ET IULIANA CATAPHORICA.

Miraculo duplici et eminenti miraculum duplex addamus, non in una persona factum, sed in duabus, quae unius erant naturae, unius et nominis; et natura quidem erat eis feminea, nomen vero martyris Iulianae. Mulierum quippe dualitas unum ferens vocabulum, et duobus detenta nominibus ad sanctos accedit, utraque Iuliana vocata, et commune nomen adepta, sed non communi languore depressa, nec ad saeculum di-

κατὰ κόσμον ἀξίωμα· ἐν πλούτῳ γὰρ ἡ μὲν ἐγνωρίζετο, ἡ δὲ πενίαν ἔσχε συνέστιον· καὶ ἡ μὲν δεινῶς ἠσθένει τὸν θώρακα καταφορητικῇ διαθέσει δουλεύουσα, ἡ δὲ τοὺς ὀφθαλμοὺς ἀπεκλείετο τύφλωσιν ἀπαρηγόρητον ἔχουσα· καὶ ἡ μὲν ἰατροὺς ἐκάλει πρὸς ἴασιν, ἡ δὲ καὶ τῆς τούτων ψυχαγωγίας καὶ τοῖς νοσοῦσιν ποθινῆς ἐπισκέψεως διὰ πτωχείαν ἐστέρητο· ἔσχον δὲ κοινὸν τῶν παθῶν τὸ ἀνίατον, εἰ καὶ τὴν Μαρκελλίνου μὲν ἰατροὶ, οὕτω γὰρ ἐκαλεῖτο τῆς καταφορητικῆς καὶ πλουσίας ὁ σύμβιος· τὴν πτωχοτέραν δὲ καὶ τοὺς ὀφθαλμοὺς ἀπολέσασαν τῶν ἀσκληπιάδων οὐδεὶς ἐπεσκέπτετο· ἐπ' ἀλη-

gnitate potita. In divitiis enim harum altera degere noscebatur, altera vero paupertatem cohabitatricem habebat. Et altera quidem crudeliter infirmabatur in pectore, cataphoricae affectioni deserviens, altera vero claudebatur oculis, caecitatem sine solatio possidens; et illa quidem ad conferendam sanitatem medicos evocabat, haec autem ob paupertatem etiam animatione horum, et quae desiderabilis est languentibus visitatione carebat. Habebant sane passiones communiter insanabiles, licet medici ei quae Marcellini erat, sic enim maritus cataphoricae ac divitis vocabatur, adessent; eam vero quae pauperior erat, oculosque amiserat, nullus visitaret asclepiadarum. In

θείας γὰρ κατὰ Σολομῶντα τὸν ἐν σοφίᾳ πολὺν καὶ ἀμέτρητον καὶ χύμα καρδίας θαλάττιον ἔχοντα, φίλοι πλουσίων πολλοὶ, ὁ δὲ πτωχὸς καὶ ἀπὸ τοῦ ὄντος αὐτῷ λείπεται· καὶ ταῦτα μὲν ὁ Σολομὼν ὡς ἔχει τὰ πράγματα γέγραφεν.

Τὰ δύο δὲ ταῦτα γύναια, ἡ μὲν οὐκ ἔχουσα χρήματα δι' ὧν ἰατροὺς προσκαλέσηται· ἡ δὲ πολλὰ δαπανήσασα χρήματα καὶ μηδὲν ἑαυτὴν ὀφελήσασα, ἐπὶ Ἰωάννην καὶ Κῦρον τοὺς πανσθενεῖς ἰατροὺς καὶ χρημάτων οὐ χρήζοντας, οὐδ' ἐπὶ χρυσῷ τοὺς ἀσθενεῖς θεραπεύοντας ἔρχονται· ὧν λέξω τὴν ἴασιν, ἐπειδὴ τὴν ἀσθένειαν εἴπομεν· αὕτη γὰρ λείπεται· μετὰ τὴν πρὸς τὸ τέμενος ἄφιξιν· πρὸ γὰρ τῆς αὐτοῦ θείας

veritate quippe secundum Salomonem copiosum in sapientia et immensum, qui marinam habuit cordis effusionem; amici divitum multi, a paupere vero, et quem habebat, recessit. Et haec quidem Salomon, ut se res habent, descripsit.

Porro hae duae mulieres, quarum altera pecunias non habebat per quas medicos advocaret, altera vero quae multis pecuniis erogatis, nil sibi profecerat, ad Iohannem et Cyrum potentissimos medicos, qui pecuniarum non egent, nec auro mercedis curant infirmos, adveniunt. Quarum mulierum, quia illarum infirmitatem diximus, restat ut sanitatem dicamus, quam postquam ad basilicam

καὶ τῆς εἰς τοὺς ἁγίους ἀφίξεως, ἀσθενοῦμεν οἱ ἄνθρωποι, καὶ δεινοῖς πολλάκις κατεχόμεθα πάθεσιν· τοῦτο δὲ βλέποντες, καὶ τοῖς οἰκοῦσι προσπίπτοντες μάρτυσι, πᾶσαν νόσον καὶ πᾶσαν ἀσθένειαν εὐθὺς ἀποῤῥίπτομεν· ἐλθοῦσαι γοῦν περὶ ὧν ἐλέγομεν εἰς τὸ τέμενος, τὴν ῥῶσιν ᾔτουν τοῦ νεὼ τοῖς οἰκείοις ἀξιώμασι χρώμεναι· ἡ μὲν γὰρ τὸν ὄγκον οὐκ ἀποβαλοῦσα τὸν μάταιον, οὔτε τὸ ἐκ πλουσίου θεομίσητον φύσημα, ἐπὶ κλίνης πρὸ τοῦ μνήματος ἔκειτο· ἡ δὲ ἔξω πρὸ τοῦ πυλῶνος ἐκβέβλητο, κατὰ τὸν πένητα καὶ πτωχὸν καὶ τοῦ ἀβραμιαίου κόλπου σύγκληρον Λάζαρον.

venerunt adeptae sunt. Nam ante huius visionem et ad eos adventum, nos homines infirmamur, et crudelibus passionibus detinemur; hanc autem videntes, et habitantibus in ea martyribus procidentes, omnem languorem, et omnem infirmitatem confestim abicimus. Cum ergo venissent, de quibus dicebamus, ad templum, incolumitatem a templi habitatoribus expectabant; etiam illic dignitatibus suis utentes, altera quidem minime (tumore vana seu Deo odibili ex divitiis elata) inflatione deposita, ante monumentum in lecto iacebat; altera vero alicubi ante portam videbatur eiecta, secundum illum pauperem et egenum Lazarum qui Abrahae sinus consors effectus est.

Οἱ δὲ μάρτυρες ἴσως ἀμφοτέραις ἐφαίνοντο, τῆς μὲν τὸν τύφον παιδεύοντες, τῆς δὲ τὴν ψυχικὴν παρηγοροῦντες ταπείνωσιν, ἑκατέραις δὲ τὰς ἰάσεις δωρούμενοι· τῇ μὲν γὰρ καταφορητικῇ καὶ ἀλαζωνικὸν ἐχούσῃ τὸ φρόνημα, τί καταείληφας ἔλεγον τὸν σηκὸν τὸν ἡμέτερον; ἀποκριθείσης δὲ ὡς ὑγείας τυχεῖν ἐπιθυμοῦσα καὶ ῥώσεως, εἰ θέλεις φασὶν ταῦτα πρὸς ἡμῶν ἅπερ εἶπας κομίσασθαι, ἀποβαλοῦ σου τὸν κράβατον καὶ εἰς τοὔδαφος ἀνακλίθητι· καὶ τοῦτό σοι ψυχικοῦ πάθους καὶ σωματικοῦ γενήσεται φάρμακον. Ἰουλιανῇ δὲ τῇ πενιχρᾷ καὶ χερνίτιδι ταῦτα φανέντες εἰρήκασιν· κροκοδείλου κρέας ἐνέγκασα πυρὸς ἄνθραξιν ὄπτησον, καὶ τοῦτο

Porro martyres utrique forsitan * apparebant, alterius typhum corripientes, alterius vero humilitatem animae consolantes, sanitates tamen utrique donantes. Nam ei quae cataphorica erat, et sensum arrogantiae possidebat, cur ad confessionem nostram dicebant venisti? cumque illa respondisset, desiderio impetrandae sanitatis et sospitatis. Si vis, inquiunt, haec a nobis percipere quae dixisti, eice grabatum tuum et in pavimento recumbe, et hoc tibi animae et corporis fiet passionis remedium. Iulianae vero pauperculae, quae proprii laboris manu vivebat, haec apparentes dixere; crocodilli carnes allatas, ignis carbonibus

* Dic seque.

πολὺ ἐν θυΐᾳ λεάνασα καὶ ξηρίον ποιήσασα, τοὺς ὀφθαλμούς σου τοὺς πεπονθότας ἐπίχρισον· καὶ ταῦτα μὲν ἀμφοτέραις οἱ ἅγιοι κατ' ὄναρ φανέντες ἐκέλευσαν· αἱ δὲ τῶν ὕπνων ἀφέμεναι, τὰ θεσπισθέντα θᾶττον ἐπλήρωσαν, καὶ τὰς ἐπὶ τοῖς προστάγμασιν ἐπαγγελθείσας ἰάσεις ἐδρέψαντο· καὶ τῇ μὲν ἤρεσεν ἡ χαμαικοιτία πρὸς ἄκεσιν, τῇ δὲ τὸ ἐκ κροκοδείλου κεκαυμένον βοήθημα· ἅμα γὰρ ἡ τὸν θώρακα πάσχουσα ἐπὶ γῆς ἀνεκλίθη λιποῦσα τὸν κράβατον, τοῦ πάθους ἀπήλλακτο· ἅμα δὲ καὶ ἡ τυφλὴ τοῖς ὀφθαλμοῖς ἐπιβαλοῦσα τὸ ξηρίον ἀνέβλεψεν· ἡμεῖς δὲ σὺν ἄμφω τοὺς ἰατροὺς εὐφημήσαντες, τῆς τῶν λοιπῶν θαυμάτων ἀπαγγελίας φροντίσωμεν.

assas et in mortario bastritas *, in pulveremque redactas, super oculos tuos qui patiuntur asperge. Et haec quidem sancti utrique per somnium apparentes iusserunt. Illae vero expergefactae quae sibi sancita fuerant ocius compleverunt, et repromissas in praeceptis sanitates obtinuerunt. Et alteri quidem terrenum cubile suffecit ad sanitatem; alteri vero ex crocodillo concrematum et confectum subsidium; mox enim ut ea quae thoracem patiebatur super terram recubuit grabato relicto, a passione libera facta est; mox autem ut caeca pulverem super oculos posuit, visum recepit. Por-

* ita cod.

κε. ΠΕΡΙ ΕΛΠΙΔΙΑΣ ΤΗΣ ΕΧΟΥΣΗΣ ΑΙΜΟΡΡΥΑΝ.

Μόλις τὴν Ἐλπιδίαν εὑρήκαμεν· ἐν τῇ πληθύϊ γὰρ αὕτη τῶν ἰαθέντων ἐκρύπτετο, τὴν θεραπείαν μὲν τοὺς ἁγίους συλήσασα, δεδοικυῖα δὲ καὶ διὰ τοῦτο καὶ τρέμουσα· καὶ κατ' ἐκείνην τάχα τὴν ἐπὶ τοῦ σωτῆρος αἱμοῤῥοοῦσαν λανθάνουσα· ἐδεδίει γὰρ καὶ αὕτη σαφῶς, μήπως οἱ συληθέντες τὴν ἴασιν νοήσωσι μάρτυρες, καὶ φανερὰν αὐτὴν τοῖς πᾶσι ποιήσωσιν, ὥσπερ κἀκείνην ὁ κύριος, αὐτόν τε λανθάνειν καὶ πάντας νομίσασαν ἐφανέρωσεν· ἀλλ' οὐκ ἔλαθεν οὐδ' αὕτη νῦν τοὺς ἀκέσαντας, ὡς οὐδ' ἐκεί-

ro nos cum utraque medicis collaudatis, reliquorum relationem miraculorum sollicite faciamus.

25. DE HELPIDIA HAEMORRHOYSSA.

Vix Helpidiam invenimus; in hac enim multitudine qui sanati sunt occultabatur: denique a martyribus quidem curationem furata est, sed timens ob hoc et tremens, atque secundum illam fortassis haemorrhoyssam, quae a Salvatore sanata est latitans; formidabat enim et haec apte, nequando martyres, a quibus furto sanitatem abstulerat, intelligerent, et manifestam eam omnibus facerent, sicut et illam Dominus publicavit, quae et illum et omnes latere putabat. Sed nec

νη τότε τὸν κύριον· οἱ γὰρ ἅγιοι ἐν μέσοις τοῖς ὄχλοις κρυπτομένην αὐτὴν θεωρήσαντες, πάντων εἰς μέσον καὶ μὴ θέλουσαν ἄγουσιν, καὶ πάντων ἐν ὄψεσι θριαμβεύουσιν· οὐχ ὥς τι τῶν ἀτόπων ποιήσασαν, ἀλλ' ὡς πίστει τὴν σωτηρίαν κερδάνασαν, καὶ πρὸς αὐτῶν εἰκότως ἀκούουσαν, θάρσει θύγατερ, ἡ πίστις σου σέσωκέν σε, πορεύου εἰς εἰρήνην.

Ἐλπιδία γὰρ τουτὶ τὸ πιστότατον γύναιον, τὸ τῆς αἱμοῤῥύας ἔσχεν ἀῤῥώστημα, ὑφ' οὗ δεινῶς κατετήκετο καὶ μᾶλλον ἀφειδῶς ἀνηλίσκετο, πηγὴν στελλομένην τοῦ πάθους οὐκ ἔχουσα, οὐκ ἀενάου νάματος, ἀλλὰ βρύοντος αἵματος· καὶ κρουνὸς ἀεὶ διαινόμενος, οὐκ ἀργυ-

ista latuit nunc eos qui se sanam fecerant; quemadmodum nec illa tunc Dominum; sancti enim in medio turbarum etiam volentem adducunt, et coram omnibus manifestant; non quasi quid pravum fecerit, sed tamquam eam quae fide salutem lucrata sit, et ab eis convenienter audierit, confide filia, fides tua te salvam fecit, vade in pace.

Helpidia enim haec fidelissima mulier sanguinis fluxus habuit aegritudinem, a qua tabefiebat atrociter, et sine ulla parcitate consumebatur, fontem habens passionis qui non deficiebat, non tamen laticibus perennibus fluentem, sed sanguinis rivulis emanantem, neque argenti specie aquas

ῥοειδέσι τοῖς ὕδασιν ἀλλὰ φοινικόχρωσι στάζουσιν αἵμασιν· ἐντεῦθεν νεκρὰ μὲν ἐν ζῶσιν ἐφαίνετο, τοῦ ἐρυθραίνοντος ἐπιλείποντος αἵματος· ἐν νεκροῖς δὲ πάλιν οὐκ ἐλογίζετο, ἔτι τοῦ ζωτικοῦ ψυχοῦντος αὐτὴν καὶ συνέχοντος πνεύματος· ἐκ τούτου φυγεῖν θέλουσα τοῦ νοσήματος, τοὺς φυγαδεύειν αὐτὸ ἐπαγγελλομένους ἰατροὺς ἐπεδίωκεν, ἐκείνους ἀεὶ μετὰ πλείστης σπουδῆς ἀνιχνεύουσα, τοὺς δι' ἐξοχὴν ἐνδεδυμένους τοὺς τρίβωνας, καὶ πάντα τὰ τῆς τέχνης αὐχοῦντας ἐπίστασθαι, καὶ τοὺς μανθάνειν ἐθέλοντας, ἐν ὀφρύει τὸν λόγον ὡς ἐν εἰδήσει τῶν ἔργων διδάσκοντας· οὓς εὐθηνοῦντας μὲν ἀνὰ τὴν πόλιν ὡς ἤθελεν εὕρισκεν, σπανίζοντας δὲ πρὸς ἴα-

habentem, sed phoenicei coloris sanguinem distillantem. Ac per hoc mortua quidem inter viventes apparebat, deficiente sanguine, qui ruborem vultus praestat: et rursus in mortuis esse non aestimabatur, eo quod hanc vividus adhuc spiritus animaret, et contineret. A quo languore fugere volens, medicos qui fugare hunc repromitterent, persecuta est, illos semper multo studio investigans, qui propter eminentiam tribonibus induebantur, et omnia quae sunt artis se nosse gloriabantur, et eos qui discere vellent, in supercilio verborum aeque ut in scientia operum edocebant; quos habundare per civitatem, ut vole-

σιν οὐχ εὕρισκεν ὡς ἠβούλετο· ἑκάστου γὰρ αὐτῶν πεῖραν λαμβάνουσα, ὡς οὐ πειραθεῖσα πρὸς ἄλλον μετήρχετο, καὶ καθ' ἕνα τοὺς πάντας ἀμείψασα, τὸ κατέχον αὐτὴν οὐκ ἤλαττε νόσημα.

Ὅτε δὲ πάντα τὸν βίον αὐτῆς καὶ τὴν ὕπαρξιν εἰς ἰατροὺς ἐδαπάνησε, καὶ τὸ πάθος φυγεῖν οὐκ εὐπόρησε, οὔτε παραμυθίαν τινα ταῖς ἀλγηδόσι πορίσασθαι, εἰ καὶ τὴν ἀπορίαν πάντων ἀναλωθέντων εἰς αὐτοὺς ἐπορίσατο, ἐπὶ Κῦρον καὶ Ἰωάννην ἠρέμα πῶς ἔρχεται, κλέψαι μελετῶσα τῇ πίστει τὴν ἴασιν· εὔκαιρον δὲ καιρὸν πρὸς τὴν κλοπὴν ἀναμένουσα, καὶ τὴν ὥραν φυλάττουσα καθ' ἣν σκυλῆσαι τὴν θεραπείαν

bat inveniebat, sed raros ad sanitatem idoneos inveniebat; uniuscuiusque enim illorum experimento accepto, quasi non experto, transibat ad alium, et per singulos, omnes remunerabat; sed languorem, qui se habebat, non minorabat.

Cum autem omnem victum suum atque substantiam in medicis consumpsisset, et passionem effugere minime valuisset, sed nec requiem doloribus mercari quamlibet potuisset, licet solam egestatem omnibus in eos expensis acquisierit, ad Cyrum et Iohannem pedetemptim accedit, fide furari meditans sanitatem. Verum dum tempus opportunum ad faciendum furtum expectat, dum

ἠδύνατο, νυσταγμῷ βαθεῖ καταφέρεται καὶ ὕπνῳ συλᾶται, πρὶν ἢ συλήσει τοὺς μάρτυρας· καὶ κλέψαι τὴν ἴασιν θέλουσα, αὐτὴ τοὐναντίον ἐκλέπτετο· καὶ κλαπεῖσα πάλιν περὶ τῆς κλοπῆς ἐβουλεύετο· ἀλλ' ἰδοῦσα τούτους, ὡς ἀκουσίως ἐκάθευδε, τὴν κλοπὴν ἐφοβήθη ποιήσασθαι· διορύξαι γὰρ τὸν θησαυρὸν οὐκ ἐθάρσησε, ἀλλήλους βλέπουσα τοὺς ἁγίους φυλάττοντας, καὶ μὴ δυναμένους ὑπό τινος εἰ μὴ θέλοιεν κλέπτεσθαι.

Αὐτοὶ δὲ τὸν σκοπὸν τοῦ γυναίου νοήσαντες, καὶ τὴν πίστιν ἀποδεξάμενοι, καὶ τὴν φανερωθεῖσαν εὐλάβειαν, πρὸς αὐτὴν παραγίνονται, καὶ τῆς ῥώσεως τὸ δῶρον χαρίζονται, καὶ τοῦ

horam qua curationem praedari posset observat, dormitatione profunda deprimitur; et a somno dispoliatur, priusquam dispoliet martyres; et furari sanitatem volens, ipsa enim e contrario furtim adimitur, furtoque adempta, de furto rursus iniebat consilium. Sed his visis, cum sine voluntate dormiret, furtum facere timuit, suffodere namque thesaurum non praesumsit, sanctos videns invicem observantes, et non posse furtim a quoquam, nisi voluissent, auferri.

Ipsi autem cum mulieris intentionem intellexissent et fidem, ac manifestam sibi et notam eius religionem admisissent, ad eam veniunt, et in-

πάθους τὴν τριπόθητον ἴασιν· οὐχ ὡς ἀγνοοῦντες συλούμενοι, ὡς λέγειν τινὲς ἐπὶ τοῦ σωτῆρος ἐτόλμησαν, εἰς οὐρανὸν τὸ στόμα τιθέμενοι, καὶ ἀδικίαν εἰς ὕψος φθεγγόμενοι, καὶ τῇ γλώττῃ τὴν γῆν διερχόμενοι, καὶ κάκιστα λέγοντες· πῶς ἔγνω ὁ θεός; καὶ εἰ ἔστιν γνῶσις ἐν τῷ ὑψίστῳ; οἳ τοῖς εἰποῦσιν αὐτῷ, διὰ τί σὺ ἄνθρωπος ὢν, ποιεῖς ἑαυτὸν θεὸν συνταχθήσονται· καὶ τὴν κληρουχίαν αὐτοῖς τοῦ ἄφρονος συμμερίζονται· ἀλλ' ἐν γνώσει φιλανθρώπῳ τὰς ἰάσεις παρέχοντες, ὡς ἐκ πάντων αὐτῶν τῶν θαυμάτων μανθάνομεν.

Ἐπιστάντες οὖν, ὡς ἐλέγομεν, μυρσίνην ἐν οἴνῳ βαλεῖν, καὶ τοῦτον πιεῖν ἐπιτάττουσιν· ἡ δὲ

columitatis munus condonant, et passionis ter desiderabilem sanitatem, non quasi ignorantes furtim expoliati; sicuti quidam super Salvatore dicere praesumpserunt, in caelum os ponentes et iniquitatem in excelsum loquentes, et lingua terram transeuntes, et pessime perhibentes, quomodo scivit Deus? et si est scientia in excelso? Qui cum his, qui dixerunt: quare tu homo cum sis, facis te ipsum Deum? connumerabuntur, et sortem sibi insipientis dispertientur. Sed in scientia misericordi sanitates praestantes, sicut ex omnibus eorum miraculis diximus.

Astantes ergo, ut dicebamus, myrtum in vinum

μετὰ τὸν ὕπνον τοῦτο ποιήσασα, εὐθέως ἰᾶτο τῆς μάστιγος· τὸ γὰρ αἷμα τὸ ἀπ' αὐτῆς ἀστάτως ῥέον τῆς τοῦ φαρμάκου παρουσίας αἰσθόμενον ἵστατο· καὶ τούτου διὰ στόματος καταῤῥέοντος, αὐτὸ καταῤῥεῖν ἐκωλύετο, στάσιν ἀντὶ ῥεύσεως παιδευόμενον, καὶ φύσιν ἔκλυτόν τε καὶ ἄστατον, εἰς σταθηρὰν καὶ στερέμνιον ἀλλαττόμενον, μᾶλλον δὲ παντελῶς συστελλόμενον, καὶ τὸ εἶναι καὶ ῥεῖν καθόλου παυόμενον. Ἐλπιδία μὲν οὕτω τῆς ῥώσεως ἔτυχε, καὶ τὴν ὑπὲρ ταύτης χάριν τοῖς δεδωκόσιν προσάξασα, εἰς εἰρήνην πορεύεσθαι πρὸς αὐτῶν ἀπελύετο· ἡμεῖς δὲ τὴν εἰρήνην εὐξάμενοι, καὶ διπλῆν τὴν χάριν ὑπὲρ εἰρήνης καὶ θαύματος θεῷ τε καὶ

mittere, et id praecipiunt bibere. At illa hoc post somnium facto, statim a flagello sanata est: sanguis enim, qui instanter ab ea fluebat, cum medicinas sensisset, stetit, quibus dum per os diffluerct prohibebatur effluere; statu pro fluore correptus, et a natura liquida et instabili, in robustam et stabilem commutatus, immo penitus subductus existendi et diffluendi omnino quietem adeptus. Igitur Helpidia quidem huiuscemodi sanitatem consecuta, cum pro hac gratias dantibus optulisset, ad pergendum in pace ab eis dimittitur. Nos autem pacem optantes, et duplices gratias pro pace scilicet et miraculis Deo ac marty-

μάρτυσιν ᾄσαντες, τὴν γλῶτταν ἰθύνωμεν πρὸς ἑτέραν θαυμάτων διήγησιν.

ΠΕΡΙ ΘΕΟΔΩΡΑΣ ΤΗΣ ΚΑΤΑΠΙΟΥΣΗΣ ΤΟΝ ΒΑΤΡΑΧΟΝ.

Τὸ προλαβὸν ἀνιχνεύοντες γύναιον, καὶ τὸ τῶν ῥωσθέντων πέλαγος διαπλέοντες, καὶ τὰς ποταμηδὸν ἀγούσας ὁδοὺς διατρέχοντες, γύναιον εὕρομεν ἕτερον, πρὸ τῆς θέας τοῦ βατράχου ἐν αὐτῷ κελαδοῦντος ἀκούσαντες· καὶ ταύτην ὑμῖν σὺν τῷ βατράχῳ φέρομεν μεγαλοφώνως κηρύττουσαν τὴν ἐπ' αὐτῆς γενομένην τερατουργίαν τοῖς μάρτυσιν. Θεόδωρα πρὸς τῶν γονέων ἐλέγετο, καὶ ὕδωρ πίνουσα, μικρὸν κατέπιεν βάτραχον, ὃς ἐν τῇ ταύτης γαστρὶ ὡς ἐν λίμνῃ τινὶ

ribus decantantes, linguam ad aliorum narrationem miraculorum dirigimus.

26. DE THEODORA QUAE ABSORBUERAT RANAM.

Praecedentem investigantes mulierem, sanatorumque pelagus navigantes, et vias quae more fluminis agunt decurrentes, mulierem invenimus aliam, cuius ante quam vidissemus aspectum, ranunculum in ea sonantem audivimus, quam cum ipsa iam rana vobis adducimus magna voce praedicantem quod in se factum est prodigium martyrum. Theodora dicebatur a parentibus, quae cum aquam biberet, pusillum ranunculum ebibit, qui

διαιτώμενος, τὰ μὲν πρῶτα μικρὸς ἔτι τυγχάνων, οὐχ οὕτω πικρῶς αὐτὴν ἐλυμαίνετο, στρόφους δέ τινας ἐποίει κινούμενος, ἀναλογοῦντας αὐτοῦ τῇ βραχύτητι· καὶ τούτους ἡ γυνὴ ἀπ' ἄλλης πάσχειν αἰτίας ἐνόμιζεν, ἀγνοοῦσα τὴν τοῦ βατράχου κατάποσιν· ἐπειδὴ δὲ μέγας αὐξανόμενος γέγονεν, καὶ ἐν κοιλίᾳ τρεφόμενος ηὔξανεν, καὶ τῇ κυοφορούσῃ τὸ καινὸν τοῦτο καὶ κακόμορφον ἔμβρυον τὰς ὀδύνας συνηύξανεν, ἃς οὐκέτι φέρειν ἰσχύουσα, εἰς τοὔδαφος ἐκυλίετο, ὥραν ἀναπαύλης οὐκ ἔχουσα, καὶ ἡσυχίας καιρὸν οὐ γινώσκουσα, ὡς πάσχειν ὑπὸ πνεύματος ὑποπτεύεσθαι, ἢ πάθος ἔχειν νομίζεσθαι σώματος.

in huius ventre quasi in quodam stagno moratus, primitus quidem cum esset adhuc parvulus, non tam amare illam demoliebatur, tortiones autem quasdam faciebat cum moveretur, parvitatem suam aequiperantes, quas mulier ab alia se pati causa putabat, ignorans quod ranunculum absorbuerit. Quia vero crescens magnus effectus est, et in ventre dum aleretur excrevit mulieri, quae hoc erat novo et deformi gravida foetu, simul concrescens dolores multiplicavit, quos ultra ferre non valens, in pavimentum volutabatur, horam cessationis non habens, et quietis tempus ignorans, ita ut pati ab spiritu potius quam passionem corporis habere putaretur.

Ταύτης δὲ τῆς δόξης καὶ ἰατρῶν ὑπῆρχον οἱ δόκιμοι, παντελῶς ἀπορήσαντες πρὸς τὸ νόσημα, καὶ μηδεμίαν αὐτοῦ λαβεῖν δυνηθέντες διάγνωσιν· ὅθεν λοιπὸν ὡς δαιμόνιον ἔχουσα, πρὸς τοὺς μάρτυρας ἤγετο· καὶ αὐτῆς μολούσης εἰς τὸν ναὸν αὐτῶν τὸν πανσέβαστον, ἡ νόσος μὲν εὐθέως ἠλέγχετο· φανερὰ δὲ τοῖς πᾶσιν ἐγίνετο καὶ τῶν ἰατρῶν ἡ ἀμάθεια· καθ' ὕπνους γὰρ αὐτῇ παραστάντες οἱ μάρτυρες, ὕδωρ πιεῖν πρὸ βρωμάτων ἐκέλευον, τῇ πόσει τοῦ νάματος τὴν φυγὴν ἐπαγγειλάμενοι τοῦ νοσήματος· ἡ δὲ μετ' ἐκεῖνον φησὶν τὸν πανσόδυνον ὄνειρον, τὸ νάμα πέπωκεν ὡς τεθέσπιστο πρὸ τροφῆς παντοίας καὶ βρώματος· καὶ τοῦτο ποιοῦσα κινεῖται πρὸς ἔμε-

Praeterea huius opinionis etiam medici erant; qui probabiliores existere inter ceteros videbantur, quique circa languorem deficientes, nullam eius capere notitiam, unde iam quasi daemonium habens ducebatur ad martyres. Cum autem ad honorabile templum eorum venisset, et languor protinus indicatus est, et manifesta cunctis medicorum inscientia facta est; in somnis enim ei astantes sancti aquam bibere antequam escam sumeret praeceperunt, per haustum poculum, passionis fugam denunciantes; quae post illud salutiferum somnium, de aqua fecit quod iussa est ante omne alimentum vel escam. Et hoc facto,

τον, καὶ τὸν πικρὸν ἐκεῖνον ἀνήγαγεν βάτραχον, ὃν ἀγνοοῦσα κατέπιεν· καὶ δι' ὕδατος εὑροῦσα τὸν ὄλεθρον, δι' ὕδατος καὶ φεύγει τὸν θάνατον· τοῦτο γὰρ ἄγκιστρον οἱ φιλάνθρωποι πρὸς τὴν τοῦ θανατηφόρου βατράχου θήραν ἐχάλκευσαν καὶ τοῦ γυναίου σωτηρίαν ἀνέκφραστον, ὃ καὶ διάβολος ὁ μισάνθρωπος πρὸς ἀπώλειαν τῆς Θεοδώρας ἐχρήσατο, ἥτις παρ' ἐλπίδα φυγοῦσα τὸν ὄλεθρον, καὶ τοῖς ζωγρήσασι μάρτυσι σωτηρίους φωνὰς προσενέγκουσα, τοῦ νεὼ αὐτῶν ἀνεχώρησεν· ἡμεῖς δὲ κἀνταῦθα βοὰς εὐφήμους αὐτοῖς μελῳδήσαντες, μελῳδίας ἄλλης ἀφορμὴν ποιησώμεθα, ἄλλο τεράστιον τῷ παρόντι συντάττοντες.

movetur ad vomitum, et amaram illam ranam eicit, quam nesciens absorbuerat; factumque est, ut quae per aquam perniciem repperit, per aquam etiam mortem effugeret: hoc enim ad invicem illi hominum amatores ad mortiferae illius ranae captionem, ad mulierisque salutem conflarunt, quo etiam osor hominum diabolus, ad perditionem usus est Theodorae. Quae cum praeter spem exitium evasisset, salutaresque voces captatoribus (1) martyribus obtulisset, a templo eorum recessit. Porro nos etiam hinc eis bonas laudes vocibus

(1) Immo dic *pro data salute praeconia victoribus*. Est haec Anastasii interpretatio rudis admodum et invenusta.

κζ. ΠΕΡΙ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΚΕΛΕΥΣΘΕΝΤΟΣ ΕΚ ΤΩΝ ΑΓΙΩΝ ΑΣΠΙΔΑ ΦΑΓΕΙΝ.

Θεόδωρον τὸν τῷ προλαβόντι γυναίῳ συνώνυμον, καλῶς ἡ τῶν θαυμάτων ἀκολουθία μετ' ἐκείνου εἰς διήγησιν ἤνεγκε, καὶ τοῖς τρυφῶσιν ἐν τοῖς τῶν ἁγίων ἔργοις καὶ πράξεσιν εἰς ἑστίαν ἀξιάγαστον προὔθηκε, οὐ μόνον ὅτι κοινὸν πρὸς αὐτὴν ἔλαβεν ὄνομα, ἀλλ' ὅτι καὶ τὸ κατ' αὐτὸν ἐκ μέρους ἀῤῥώστημα, καὶ τοῦ πάθους ἡ ἄφραστος ἴασις ἔχουσί τινα τῶν ἐπ' ἐκείνης ἐμφέρειαν· εἰ καὶ πολλή τις ἄγαν ἀμφοτέρων ἐστὶν ἡ διάκρισις, ὡς δείξει προϊὸν τὸ διήγημα.

modulantes, alterius modulaminis materiam faciamus, aliud praesenti prodigium annectentes.

27. DE THEODORO QUI A SANCTIS IUSSUS EST COMEDERE ASPIDEM.

Theodorum praecedentis aequivocum feminae, bene miraculorum ordo, post illud ad narrationem deduxit, et ante hos qui in sanctorum epulari operibus et actibus delectantur, in delicias admiratione dignas proposuit, non solum quia commune cum ea sortitus est nomen, sed et quia tam similis infirmitas quam passionis ineffabilis sanitas, habent quamdam eorum quae super illa facta sunt ex parte similitudinem, licet multa val-

Τὰ σπλάγχνα μὲν γὰρ ἔπασχεν ὁ Θεόδωρος, οὐ βατράχου τινος εἰς αὐτὸν ὀλισθήσαντος, καὶ τούτου νήξεσι κυκῶντος τε καὶ ταράττοντος, καὶ δεινὰς ἀλγηδόνας ἐντίκτοντος, ἀλλὰ περιεργίας ἐκ βρώματος, ἀνδρῶν οὐ καλῶν ἐγχειρήσεσιν, ὀδύνην αὐτῷ γεννώσης ἀφόρητον· φιλοῦμεν γὰρ οἱ τρισάθλιοι μὴ μόνον αἰκισμοῖς καὶ φονικοῖς ὀργάνοις καὶ ξίφεσιν ἀμύνεσθαι τὸ ὁμόφυλον, εἰ τί τῶν λυπούντων εἰργάσατο, ἢ καὶ φθόνῳ μισαδέλφῳ κρατούμενοι, καὶ εἰ μηδὲν εἰς ἡμᾶς ἐπλημμέλησεν, ἀλλὰ καὶ φαρμακείαις αὐτὸν κατεργάζεσθαι, τὴν πρὸς τὸν πέλας φυσικὴν στοργὴν ἀπωλέσαντες· εἴπερ κατὰ Μωσέα τὸν νομο-

de sit utrorumque discretio, ut demonstrabit subsequens enarratio.

Viscera quippe patiebatur Theodorus, non rana in eum quavis illapsa, et haec mutationibus quatiente atque turbante, dirosque dolores parturiente, sed maleficio non bonorum virorum conatibus ex cibo confecto, dolorem importabilem generante; amamus enim miserrimi non solum verberibus et homicidialibus organis seu gladiis, contribulibus ultionem inferre, si triste quid operentur, vel etiam si nihil in nos delinquant, invidia odii fraterni detenti; verum etiam incantationibus eos inficere, et maleficiis aliquotiens insectari, naturali circa proximum amissa dilectione. Cum secun-

γράφον, τὸν τῆς φιλαλληλίας εἰσηγητὴν καὶ διδάσκαλον, πᾶν ζῶον ἀγαπᾷ τὸ ὅμοιον, καὶ πᾶς ἄνθρωπος τὸ πλησίον αὐτοῦ· καὶ τῆς ὑπὲρ πάντων τῶν δρωμένων ἡμῖν ἀπολογίας παντελῶς ἐκλαθόμενοι· εἴπερ κατὰ Παῦλον τὸν νομομαθῆ, τὸν πάσης ἀρετῆς ἐργάτην καὶ κήρυκα, πάντες τῷ τοῦ Χριστοῦ παραστησόμεθα βήματι, δίκας δικαίας τιννύοντες, καὶ κατ' ἀξίαν τῶν πράξεων ἀγαθῶν τε καὶ φαύλων λαμβάνοντες· καὶ ταῦτα μὲν ὡς λέλεκται καὶ πεπίστευται, πάντως ὅτι καὶ γενήσεται, κἂν ἡμεῖς οὐ βουλόμεθα κακῷ συνειδότι πληττόμενοι.

Θεόδωρος δὲ δεινῶς τιμωρούμενος, καὶ τῇ βρώσει τοῦ καυστικοῦ φαρμάκου τὰ σπλάγχνα

dum Moysen legis scriptorem, mutuique amoris institutorem et praeceptorem, omne animal diligat simile, et omnis homo proximum suum: et reddendae rationis pro omnibus quae geruntur a nobis obliti, cum iuxta Paulum legis doctorem, omnisque virtutis operatorem et praedicatorem, omnes Christi exhibendi simus ante tribunal, poenas exsolventes, et secundum actuum merita, sive bona sive mala recipientes. Et quidem haec ut dicta et credita sunt, procul dubio fient; licet nos forte nolimus, conscientia non bona perculsi.

Theodorus autem cum puniretur, et eius viscera incensorii maleficii comestione inflammaren-

φλεγόμενος, τὰ τῶν ἰατρῶν κατεπάτει συνέδρια· ἀλλ' ὡς ἀπίει πάλιν ὑπέστρεφε, μηδὲν πρὸς αὐτῶν ὀφελούμενος, ἓν δὲ μόνον ἐκέρδαινεν ἀπιὼν καὶ ἐρχόμενος, τῆς αὐτῶν ἀπορίας τὴν εἴδησιν· γνοὺς δὲ πάντας ὡς οὐδὲν πρὸς τὸ πάθος ἰσχύουσιν, καὶ ἀπογνοὺς τὸ ὑπ' αὐτῶν λυτροῦσθαι καὶ σώζεσθαι, πρὸς Ἰωάννην καὶ Κῦρον τοὺς μάρτυρας, τοὺς ὄντως ἀρωγοὺς καὶ σώζειν ἰσχύοντας ἔρχεται, καὶ τῷ τούτων σηκῷ κατακλίνεται, τὴν αὐτῶν ῥοπὴν ἐκδεχόμενος· οἱ δὲ μὴ βραδύναντες τὴν ἐπίσκεψιν, ἑώρων γὰρ τὴν νόσον ἀφόρητον, κοιμωμένῳ Θεοδώρῳ παρίστανται, καὶ φανέντες ἀσπίδα φαγεῖν ἐπιτρέπουσιν, καὶ ταύτης τῷ βρώματι φυγεῖν τὸν ἀμείλικτον

tur, ad medicorum pergebat concilia. Sed sicut pergebat, sic iterum redibat * in nullo ab eis adiutus; unum tum solummodo abiens et veniens lucrabatur, eorum videlicet impossibilitatis notitiam. Cognoscens autem quod omnes illi nihil contra passionem valuissent, et desperans ab eis erui et salvari, ad Iohannem et Cyrum martyres, qui vere adiutores sunt et salvare queunt, occurrit, et in horum confessione recubuit, auxilium praestolaturus eorum. At illi nil visitationis * tardantes, videbant enim languorem esse vehementem, dormienti Theodoro assistunt, et apparentes aspidem manducare praecipiunt, et

* ita cod.

* ita cod.

κίνδυνον· ὁ δὲ στραφεὶς, τῇ χειρὶ τὸ τοῦ σταυροῦ σημεῖον ἐπὶ τὸ μέτωπον ἔγραφε, καὶ πονηρὰν εἶναι φαντασίαν νομίσας τὸ ὅραμα, τῶν λεχθέντων οὐδὲν διεπράξατο.

Ἱκετεύοντι δὲ καὶ κλαίοντι, πάλιν ἐν ὕπνοις ὀφθέντες οἱ ἅγιοι, τὰ αὐτὰ ποιεῖν διετάξαντο· ὁ δὲ καὶ τοῦτον αὐτῶν τὸν θεσμὸν παρεκρούσατο, μηδὲν τῶν ῥηθέντων δρᾶν ἀνεχόμενος, ἀλλ' ἀγρίου τινὸς δαίμονος ἐφόδιον, ἀνελεῖν αὐτὸν καὶ φονεύειν σπουδάζοντος ὑπονοῶν τῶν ἁγίων τὸ πρόσταγμα· ὡς δὲ καὶ τρίτον φανέντες οἱ μάρτυρες τὴν ἑαυτῶν ποιεῖν οὐκ ἔπεισαν κέλευσιν, καίτοι τῷ τρισσῷ πεισθέντα τῆς ὄψεως, αὐτῶν εἶναι τὸ θέσπισμα, ἐλθόντες τὸ τέταρ-

huius esca fugere immite periculum. Qui conversus, manu crucis signum in fronte pingebat, et malignam phantasiam existimans esse visionem, nil eorum quae dicta sunt egit.

Supplicanti vero et flenti sancti rursus in somnis apparentes, haec facere praeceperunt. At ille etiam hanc eandem legem parvipendit, nihil dictorum gerere passus, sed e contra efferi cuiusdam daemonis impetum, perdere se ac occidere festinantis, suspicabatur sanctorum imperium. Cum vero etiam tertio martyres apparentes, suam facere iussionem illi minime persuasissent, quamvis tertio visis credidisset vultibus, eorum illud

τον δι' οἶκτον ἀμέτρητον καὶ θείαν συμπάθειαν, ἐφ' ὅσον φασὶ τὸ λεχθέν σοι πολλάκις ποιεῖν οὐκ ἠθέλησας, εἰς τὴν ἡμετέραν πηγὴν πρωῒ ἀνιστάμενος ἔξιθι, καὶ τὸ ἐν αὐτῇ βρωτὸν εὑρισκόμενον ἀδιστάκτως μετάλαβε· καὶ τοῦτό σοι πρὸς πᾶσαν ἀρκέσει θεραπείας ἀπόλαυσιν.

Ὁ δὲ πρωΐας εἰς τὴν αὐτῶν πηγὴν ἐξελθὼν ὡς ἐκέλευσαν τῆς θύρας ὄπισθεν εὗρεν σύκιον κείμενον, καὶ λαβὼν αὐτὸ μετὰ πάσης σπουδῆς καὶ ἐφέσεως ἤσθιεν· ἐπὶ τὸ τέλος δὲ τοῦ συκίου γενόμενος, καὶ πάνυ αὐτοῦ τὴν μετάληψιν γλυκείαν ποιούμενος, ἀσπίδος ἀθρῶον ὁρᾷ τὸ λειπόμενον, καὶ τοῦτο θᾶττον ἀπολύσας εἰς ἔδα-

fuisse decretum; quarta vice propter immensam miserationem et compassionem venientes, quoniam quidem, aiunt, quod tibi multotiens dictum est, facere noluisti, ad fontem nostrum mane consurgens egredere, et quod in eo ad manducandum inveneris habile, inambigue sume, et hoc tibi sufficiet ad omnem curationem fruendum.

Qui cum mane sicut iusserant ad eorum fontem exisset, post ostium iacentem cucumerem repperit, quem acceptum cum studio ac desiderio manducabat. Cumque ad finem cucumeris iam iamque venisset, et valde dulcem perceptionem ipsius fecisset, aspidis videt extemplo residuum, quo velocius in pavimento proiecto, timuit ni-

φος, ἐδειλίασε λίαν ὡς πάντως τεθνήξεται· τὸ δὲ οὐκ ἦν ἀληθὲς, οὐδ' ἀληθεῖ παραπλήσιον· σώζεται δὲ μᾶλλον τῷ βρώματι, καὶ ζῇ, καὶ διαφεύγει τὸν θάνατον· ὃν οὐκ ἂν διαπέφευγεν, εἰ μὴ βρῶμα θανάσιμον βέβρωκεν· εὐθέως γὰρ ἔκ τε τοῦ φόβου, ἔκ τε τῆς ἀηδίας πρὸς ἔμετον ἔρχεται, καὶ τῆς ἀσπίδος ὅσον ἔφαγεν ἀποβέβληκε· συναπενέγκας αὐτῷ καὶ ὅπερ ὀλέθριον πρότερον βέβρωκε φάρμακον· τῶν ἁγίων οὐ τὰ ἐναντία τῶν ἐναντίων κατὰ τοὺς ἀπὸ γῆς ἰατροὺς ποιουμένων ἰάματα, ἀλλ' ἰωμένων τοῖς ὁμοίοις τὰ ὅμοια· οὐ γὰρ νόμοις ἰατρῶν ὑποκείμενοι, τούτοις τοὺς προσιόντας αὐτοῖς θεραπεύουσιν, ἀλλ' οὐρανίῳ κρατοῦντες θεσπίσματι, παραδό-

mis, quasi foret hinc penitus moriturus. Quod tamen non erat verum, nec veritati consimile; potius autem salvatur esca et vivit, et effugit mortem quam profecto non effugisset, nisi escam mortiferam comedisset. Mox enim tam ex timore quam ex fastidio prorumpit in vomitum, et quantum aspidis manducavit, abiecit; cum eo simul educens et exitiale quod prius comederat veneficium; sanctis non contraria contrariorum secundum terrenos medicos remedia facientibus, sed similibus similia medelis sanantibus. Non enim medicorum legibus subditi, his accedentes ad se sanant, sed caelesti sanctione retenti, inopinatas atque divi-

ξους καὶ θείας τὰς ἰάσεις χαρίζονται· οὕτω μὲν οὖν ὁ Θεόδωρος λυτρωθεὶς τοῦ νοσήματος, καὶ τελείαν τὴν ῥῶσιν δρεψάμενος, εὐχαριστῶν ἀπελήλυθεν· ἡμεῖς δὲ τὴν περὶ αὐτοῦ διήγησιν ἐνθάδε σὺν εὐφημίᾳ περάναντες, ἑτέρας γραφὴν καὶ διήγησιν εὐφήμου πράξεως ποιησώμεθα.

κη. ΠΕΡΙ ΝΕΜΕΣΙΩΝΟΣ ΑΠΟ ΕΠΑΡΧΩΝ, ΚΑΙ ΦΩΤΕΙΝΟΥ ΑΠΟ ΟΜΜΑΤΩΝ.

Εἰς μέσον καὶ νῦν ὁ Νεμεσίων τῶν ἰαθέντων ἐλήλυθε, Φωτεινοῦ μὲν ἀπαγγέλλων τὴν ἴασιν, ἑαυτοῦ δὲ δηλῶν τὸ ἀνίατον· καὶ τῶν μὲν ἁγίων κηρύσσων τὴν δύναμιν, ἑαυτοῦ δὲ μηνύων τὴν ἄνοιαν· καὶ ταύτην τάχα μεμφόμενος ὡς τῆς

nas sanitates donant. Itaque sic Theodorus a languore liberatus, perfectamque sospitatem adeptus, persolutis gratiarum actionibus abiit. Nos autem narratione hic de eo cum laude finita, alterius scripturam et relationem actionis faciamus laudandae.

28. DE NEMESIONE EX PRAEFECTO ET PHOTINO CAECO.

In medium etiam nunc eorum qui sanati sunt Nemesio venit, Photini quidem pronuncians sanitatem, suam vero significans insanabilem passionem, sanctorumque virtutem praedicans, et

μαρτυρικῆς αὐτῷ γενομένην ἀρωγῆς παρεμπόδισμα. Λέξωμεν δὲ καὶ τὰ κατ' αὐτὸν ὡς ἐμάθομεν· ἔστιν γὰρ οὐκ ἀνοφελὴς ἡ διήγησις, κᾂν αὐτῷ γέγονεν ἀνοφελὴς ἡ πρὸς τοὺς μάρτυρας ἔλευσις. Εἷς καὶ οὗτος τῶν ἐν τέλει λαμπρῶν ἐγνωρίζετο, οὐκ ἀξίᾳ μόνῃ κοσμούμενος, ἀλλὰ καὶ πλούτῳ γαυρούμενος, καὶ τῇ περὶ πλοῦτον ῥεομένῃ φαιδρότητι· ἐπλεονέκτει δὲ τῶν μόνοις πλουτούντων τοῖς χρήμασι, σοφίᾳ λόγων ἑλληνικῶν, καὶ τοῖς ἐκ τούτων σπουδαζομένοις στομύλμασιν.

Ὧν ἐνεγκεῖν οὐ δυνηθεὶς τὴν ἀπόνοιαν, καὶ τὰ τὴν φρένα κολποῦντας φυσήματα, κατὰ τοῦ

amentiam suam insinuans, qua forte querebatur quasi martyrici sibi fuerit factum iuvaminis offendiculum. Dicamus autem et quae circa eum gesta sunt, sicut didicimus. Est enim non inutilis enarratio, licet ei suus ad martyres factus sit adventus inutilis. Unus et iste ex his qui inter principes clari habebantur, existere probabatur, non sola dignitate ornatus, sed et divitiis et decore qui circa divitias affluit elevatus; superabat autem eos qui soli locupletes sunt, pecuniis sapientiaque sermonum gentilium, et quae ex his studentur, versutiis.

Quorum iactantiam et elevantes sensum inflationes, ferre non valens, adversus universorum

τῶν ὅλων θεοῦ γραφικῶς εἰπεῖν ἐτραχηλίασεν· καὶ πάντων αὐτοῦ τῶν γεννητῶν ὅσον τὸ ἐπ' αὐτῷ συλήσας τὴν πρόνοιαν, ἀσῖρῴᾳ κινήσει ταύτην προσέφερεν, καὶ τοῖς ἐκ ταύτης ἄλλ' ἐπ' ἄλλοις συμβαίνουσι σχήμασι τὰ καθ' ἡμᾶς ἀνῆπτεν ὁ ἄθλιος· δούλους ἡμᾶς τοὺς ψυχῆς καὶ λόγου μετέχοντας καὶ κατ' εἰκόνα κτισθέντας τοῦ κτίσαντος· καὶ ταύτῃ τιμηθέντας ἐλευθερίᾳ γνώμης καὶ βουλῆς αὐτηξουσιότητι· ἀψύχων ὁμοῦ καὶ λόγου χηρευόντων ἀστέρων, καὶ πάσης ἀμοιρούντων αἰσθήσεως καὶ βουλήσεως, τῶν δουλεύειν ταχθέντων τοὐναντίον τοῖς ἐπὶ γῆς καὶ θείοις, ἢ ὧν αἰδοῦντο προστάγμασι· καὶ

Deum, ut secundum scripturam fateamur, elevatus est, et omnium creaturarum eius quantum in se erat subtrahens providentiam, stellari hanc motui offerebat; et accedentibus habitudinibus quae ex ipso nonnumquam istis, nonnumquam aliis proveniunt, nostra quaeque miserrimus applicabat, servos nos faciens qui animae sumus elatioris participes, ad imaginemque creati creantis, et per hanc honorati libertate voluntatis, et proprietate arbitrii, stellis inanimalibus existentibus rationeque carentibus, atque omni sensu et motu voluntario destitutis; quae potius e contra servire iussae sunt his qui sunt super terram, et per divina nobis illucescere et apparere praecepta, et signi-

σημαινόντων μόνον καὶ χρόνου τὰ τμήματα, ἀέρων τροπὰς ὡς ὁ δι' ἡμᾶς κτίσας αὐτὰ Θεὸς διετάξατο· φησὶν γὰρ ὁ τῆς τῶν ὅλων γενέσεως συγγραφεὺς καὶ διδάσκαλος τὴν τούτων ποίησιν ἐξηγούμενος· καὶ εἶπεν ὁ Θεός· γεννηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ εἰς φαῦσιν ἐπὶ τῆς γῆς τοῦ διαχωρίζειν ἀνὰ μέσον τῆς νυκτὸς, καὶ ἔστωσαν εἰς σημεῖα, καὶ εἰς καιροὺς, καὶ εἰς ἡμέρας, καὶ εἰς ἐνιαυτούς· καὶ ἔστωσαν εἰς φαῦσιν ἐν τῷ στερεώματι, τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς· καὶ ἐγένετο οὕτως· καὶ οὔπω τοσοῦτον τοῦτον δεινὸν, ἀλλὰ καὶ τὸ τούτου πολὺ χαλεπώτερον· ἀστέρων γὰρ σχηματισμοῖς καὶ κινήσεσι τὸν πάντων ἔχων κτί-

ficare tantum eorum mutationes, ac temporum participationes, quemadmodum Deus disposuit, qui eas propter nos condidit. Ait enim omnium nativitatis descriptor atque magister, horum facturam enarrans: et dixit Deus, fiant luminaria in firmamento caeli, ut luceant super terram, et dividant inter diem et noctem, et sint in signa et tempora et dies et annos, et sint in lucem in firmamento caeli, et illuminent terram; et factum est ita. Et adhuc non solum hoc tantum malum, sed quod est et multo saevius et crudelius, stellarum habitudinibus ac motibus omnium creatorem servire credebat, et perducere nos (ad gene-

στην δουλεύοντα παράγειν ἡμᾶς ἐφρόνει πρὸς γένεσιν· τοσαύτην γὰρ ἡμᾶς οἱ ἀστρομανεῖς παρασχεῖν τὴν ἰσχὺν ἐπειράθησαν, ὡς μὴ μόνον ἀνθρώπων καὶ πάντων κρατεῖν τῶν ἐπὶ γῆς, οἱ καὶ τῶν ἀστέρων ὄντες ἀναισθητότεροι· ἀλλὰ καὶ θεοῦ τοῦ τὸ πᾶν σχεδιάσαντος, καὶ μόνῳ κελεύσματι πρὸς τὸ εἶναι τὸ μὴ ὂν παρενέγκαντος.

Ἀλλ' οἱ μὲν τῆς μανίας ταύτης εὑρέται καὶ προστάται γενόμενοι, οὐκ εἰς μακρὰν τῆς οἰκείας ἀθεΐας τὴν δίκην εὑρήσουσιν, καὶ τοσοῦτον δριμυτέραν καὶ μείζονα, ὅσον καὶ τῶν ἑπομένων αὐτοῖς τὸ πλῆθος ἐκτείνεται· τούτων γὰρ αἱ ἁμαρτίαι ὑπάρχουσι πρόδηλοι, καὶ τούτοις ἐπακολουθεῖν κατὰ τὸν θεῖον ἀπόστολον εἰκότως

sim) sapiebat. Tantam quippe illis hii, qui in stellis insaniunt, fortitudinem praebere conati sunt, ut non solos homines et omnia quae sunt supra terram ab eis imperari, hii qui etiam stellis ipsis vere insensibiliores existunt, sed ut Deum teneri crederent qui universitatem compendio fecit, et sola iussione ut esset quod non erat eduxit.

Verum qui huius inventores et auctores vesaniae facti sunt, non longius impietatis suae poenam invenient, et tanto acriorem atque maiorem, quanto etiam sequentium illos extenditur multitudo. Horum namque peccata manifesta sunt, et haec nimirum subsequi secundum divinum aposto-

ἂν λέγοιντο, διὰ τὴν προφανῆ τῶν ἑπομένων ἀπώλειαν· οὐ μόνον γὰρ ἀθεΐας καθηγηταὶ τοῖς ἀθλίοις γεγόνασιν, ἀλλὰ καὶ τοῦ πλημμελεῖν καταθυμίως διδάσκαλοι· μήτε Θεὸν ἐφεστῶτα τοῖς πράγμασιν λέγοντες, μήτε δίκην εἶναι τῶν πραττομένων παρέχοντες, μήτε μὴν οἴκοθεν δρᾶν τὰ κατὰ γνώμην ἡμετέραν γιγνόμενα, ἀλλὰ κατ' ἀστρῴαν βούλησίν τε καὶ κίνησιν φράζοντες, καὶ ὡς ὁ ταύτης σχηματισμὸς ἀναγκάσειεν· καὶ πυρὶ μὴ σβεννυμένῳ μηδὲ τελευτῶντι τὸ σύνολον σκώληκι, τὸν ἑαυτὸν ποιητὴν καὶ τοῦδε τοῦ παντὸς γενεσιουργὸν παιδευθήσονται· ἐπειδὴ τοῦτον ἐνταῦθα ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων,

lum congrue dicta sunt, propter evidentem perditionem sequacium. Non enim tantum impietatis miseris illis effecti sunt praeceptores, verum etiam ad inhianter delinquendum sunt monstrati doctores, neque Deum adesse rebus dicentes, neque iudicium fore actuum concedentes, sed neque sponte nostra fieri quae per voluntatem nostram efficiuntur, sed per stellarem voluntatem et motum asseverantes, et sicut huius insubstantiva coëgerat habitudo. Qui quandoque igne qui non extinguitur, et qui non moritur penitus verme, factorem suum et huius universitatis geneseos operatorem erudiente cognoscent; quoniam hic eum ex magnitudine ac pulchritudine creaturarum secundum

ἀναλόγως θεωρεῖν οὐκ ἠθέλησαν· οὔτε τὸν ὀφθαλμοῖς ἀνθρώπων ἀόρατον τὸν ἀπὸ κτίσεως κόσμου τοῖς οἰκήμασι καθορώμενον καὶ νοούμενον καθορᾶν καὶ νοεῖν ἐπεθύμησαν· ἀλλ' ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία, καὶ φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν, καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα.

Νεμεσίων δ' ὁ ταύτης ἡμῖν τῆς διηγήσεως αἴτιος, ἐπ' αὐτὸν γὰρ πάλιν τρέψω τὸν κάλαμον, ἐν χριστιανοῖς φησὶν ἀριθμούμενος, καὶ τοῖς τὴν εἱμαρμένην εἰσάγουσιν ἀλογίστως ἑπόμενος, ἐντεῦθεν τῆς αὐτοῖς ἑτοιμασθείσης ἐπειρᾶτο κολάσεως· καὶ τοὺς ὀφθαλμοὺς εἰκότως ἀφαιρεῖται τοῦ σώματος, δι' ὧν κακῶς τὰ κατ' οὐρανὸν ἀπεσκόπευσε, καὶ περιέργως ἑώρα τοῦ

rationem conspicere noluerunt, neque oculis hominum invisibilem, qui a creatione mundi per ea quae facta sunt, videtur et intelligitur, videre et intelligere cupiverunt. Sed et obscuratum est insipiens cor eorum; dicentes se enim esse sapientes, stulti facti sunt, et servierunt creaturae potius quam creatori.

Nemesio autem, qui huius nobis narrationis est auctor, ad ipsum enim convertam denuo calamum, inter christianos quasi connumeratus, sed hos qui fatum introducunt sine ratione sectatus, abhinc supplicio quod eis praeparatum est temtabatur :

χοροῦ τῶν ἀστέρων τὴν κίνησιν, λήθην λαβὼν τοῦ βαπτίσματος, καὶ πάντων ὧν ἐκεῖ τῷ Χριστῷ συνετέτακτο· παθὼν δὲ τῶν ὀμμάτων τὴν πήρωσιν, ἐμαρτύρησεν εὐθὺς τῇ γραφῇ τὴν ἀλήθειαν, δι' αὐτῶν ὧν ἡμάρτανε κολαζόμενος· ἀγνοήσας δὲ τῆς ἀβλεψίας τὸ αἴτιον, καὶ ὡς μάστιξ ἦν καὶ δεσμὸς ἀδίκου θεωρίας αὐτὸν τιμωρουμένη καὶ εἴργουσα, ἰατρῶν ἐπιλογὴν ἐπεδείκνυτο, τοὺς τούτων ἀγαθοὺς ἐπαγγελίᾳ μισθῶν ἀγαθῶν ἀφελκόμενος· ἀλλ' οὐδὲν ἐκ τῆς περὶ τούτους αὐτῷ σπουδῆς περιγέγονε· τυφλὸς γὰρ οὐχ ἧττον διέμεινεν, καὶ τούτων συχνοὺς τοὺς ὁρμαθοὺς προσδεχόμενος.

(atque oculis merito privatus est, quibus caelum perverse observabat, curioseque siderei chori motum inspiciebat *;) in oblivionem baptismate sumpto, et omnibus quae ibidem Christo spoponderat. Oculorum autem orbationem perpessus, testimonium veritatis mox scripturae perhibuit, dum per eos, per quos peccaverat, puniretur. Ignorans autem caecitatis causam, et quod flagellum esset iniusti visus, et vinculum se puniens et impediens, medicorum elegantissimos adhibebat, et horum optimos optimarum repromissione mercedum attrahit; sed et nihil ex studio quod sibi circa hos inerat prorsus optinuit; caecus enim nihilominus permanebat, etiam horum frequentibus seriebus admissis.

* haec desunt in cod. lat.

Καί τοι τούτων οὐδὲν ἔδει ποιεῖν τὸν εἱμαρμένην ἀναιδῶς δογματίζοντα, καὶ πάντων αὐτὴν ἀναγκαστικὴν καὶ προάγγελον τῶν γινομένων δοξάζοντα· εἰ μὲν γὰρ ἀκριβῶς ἐκ τῆς περὶ ταύτην ἐπιστήμης ἠπίστατο ὡς πάντως ῥωσθήσεται, καὶ ταύτην πάλιν θεάσοιτο, καὶ τὴν ἀστρῷαν αὖθις ὄψοιτο κίνησιν, οὐκ ἐχρὴν ἰατροὺς προσλαμβάνεσθαι, καὶ τὴν ῥῶσιν αὐτῷ δημιουργήσειν ὀφείλοντας, ἀλλ' ἀναμένειν ταύτης τὸ θέσπισμα καὶ χωρὶς ἰατρῶν ἀφικνούμενον· ἀπαράβατα γὰρ αὐτοῖς τὰ τῆς εἱμαρμένης βροντᾷ τὰ κομψεύματα, καὶ βουλομένων πάντως ἐκβαίνοντα· εἰ δὲ τὴν ῥῶσιν αὐτῷ μηδαμῶς προσηγόρευσεν, ἀλλὰ καὶ παντελῶς ἀπεφήνα-

Quamquam nihil horum facere oporteret eum qui fatum sine pudore dogmatum dogmatizabat, et cunctorum quae fierent coactitium illud et praesagum praedicabat. Denique si certissime per hanc disciplinam quae circa fatum est credebat se omnino sanandum, et hoc rursus visurum, stellaremque iterum motum conspecturum, non oportebat medicos admittere qui sibi deberent sanitatem concedere, sed huius expectare decretum etiam medicis exceptis venturum. Sine praevaricatione quippe ab eis intonant fati persuadibilia verba, si nobis et volentibus et nolentibus accidant. At vero si sanitatem sibi non contulit, sed et pe-

το, τί τοὺς ἀσκληπιάδας συνήθροιζε, καὶ δι' αὐτῶν ἐπολέμει τὴν γένεσιν; εἰδὼς ὡς πρὸς αὐτῆς νικηθήσεται, κἂν τὸν Ἀσκλήπιον αὐτὸν ἐπιφέροιτο σύμμαχον· ἀλλὰ πρόδηλος ἦν ἐλπίδα ῥώσεως ἐκ τῶν ἰατρῶν * εἰσδεξάμενος, εἰ καὶ περὶ τὴν κλῆσιν τῶν ἰατρῶν ἀπεσφάλλετο, ταχύτερον τάχα ἢ προετεθέσπιστο τὰς ὄψεις ἀναλαβεῖν ὀρεγόμενος.

* Anastasius legebat ἀστέρων.

Ὡς δὲ πολὺν εἰς αὐτοὺς καιρὸν καὶ μισθὸν ἐδαπάνησεν, καὶ οὔτε πρὸς αὐτῶν ὠφέλειαν τὴν οἱανοῦν ἐκομίζετο, οὔτε τῆς εἱμαρμένης ἐπληροῦτο τὸ πρόσταγμα, πρὸς Κῦρον ἐλθεῖν καὶ Ἰωάννην τοὺς μάρτυρας ἔκρινε, δι' αὐτῶν ἴσως οἰηθεὶς ταύτης τελεῖσθαι τὸ θέσπισμα· ἀλλ'

nitus abstulit, ut quid asclepiadas congregabat (ac per eos genesim oppugnabat *)? sciens quod ab ipsa vinceretur, si ipsum etiam Asclepium adiutorem adsisceret. Verum perspicuum erat, quod spem sanitatis a sideribus sumpserit, licet circa vocationem medicorum deciperetur, citius forte quam praedestinatus esset, visus recipere cupiens.

* haec desunt in lat.

Cum autem multum in eos tempus et mercedis stipendium consumpsisset, et neque ab eis profectum quemlibet percepisset, neque fati praeceptum completum fuisset, ad Cyrum et Iohannem venire martyras iudicavit, per hos fortassis opinatus huius forte decretum perficiendum. Sed ap-

ὤφθη κἀνταῦθα πλανώμενος, καὶ σὺν αὐτῷ πλανώμενα τὰ τῶν μοιρῶν ἄκλωστα νήματα· γεγονὼς γὰρ κατὰ τὸ τέμενος, τοὺς ἁγίους ἴσως ἱκέτευε, τοὺς ὀφθαλμοὺς αὐτῷ χαρίσασθαι βλέποντας, καὶ τῆς εἱμαρμένης πληρῶσαι τὸ θέσπισμα, ἵνα ταύτῃ τὴν ῥῶσιν τῶν ὀμμάτων ἀνάθηται, ἀγνωμονήσας τοὺς ταύτην ἐνεργήσαντας μάρτυρας· ὅπερ ἂν διεπράξατο, εἰ τὴν αἴτησιν ἦν κομισάμενος· οἱ δὲ μάρτυρες τοιοῦτο μὲν οὐδὲν ὧν ὁ Νεμεσίων ἤθελεν ἔδρασαν· πλῆξαι δὲ θέλοντες τὸν ἀνόητον καὶ δεῖξαι τῆς ἀπιστίας καὶ τῆς πίστεως τὸ διάφορον, τοιοῦτό τι διαπράττονται.

Φωτεινός τις τῶν λίαν εὐτελῶν ὃς τὰς ὀπώρας πρὸς τοῦ νεὼ τῶν ἁγίων τριῶν παίδων ἐπί-

paruit etiam hic errasse fatorum habens filamina torta. Cum enim ad templum venisset, sanctos forsitan precabatur oculos sibi donare videntes, et fati adimplere decretum, ut huic sanitatem luminum ascriberet, ingratitudinem circa martyras qui hanc essent operaturi demonstrans; quod plane gessisset, si petitionis percepisset effectum. At vero martyres ex his, quae Nemesio voluit, nihil tale gesserunt; verum percellere insensatum volentes, et infidelitatis ac fidei ostendere differentiam, tale quid operantur.

Photinus ex valde vilibus quidam poma ante

πρασκε, τῶν σωματικῶν ὀφθαλμῶν ἀπωλέσας τὴν ὅρασιν κατ' ἐκεινοκαιροῦ Κύρῳ καὶ Ἰωάννῃ τοῖς ἁγίοις προσήδρευε, ταύτην ἀναλαβεῖν διὰ τῆς αὐτῶν ὀρεγόμενος χάριτος· τούτῳ καθ' ὕπνους ὀφθέντες οἱ μάρτυρες, ἄπιθι φασὶ πρὸς Νεμεσίωνα, καὶ μόνον σου τὰς χεῖρας ἐπιθήσει τοῖς ὄμμασιν, καὶ τὴν ῥῶσιν εὐθέως κομίσει, καὶ τὸ φῶς θεάσει τοῦ πάλαι λαμπρότερον· ὁ δὲ τοῦτο πρὸς τῶν ἁγίων πυθόμενος, εἰς προὖπτον εἰπεῖν ἐδεδίει τὸν ἄνθρωπον, τῆς ἀξίας ἐννοῶν τὸ ὑπέρογκον, καὶ τοῦ πλούτου τὴν ὑπεροψίαν σταθμώμενος· ὡς δὲ καὶ δὶς καὶ τρὶς τοῦτο δρᾷν τοὺς ἁγίους ἴδε κελεύοντας, τισὶ τῶν ἀνὰ τὸν νεὼν τὸ φανὲν εἰπεῖν ἀπετόλμησε· οἱ δὲ

basilicam sanctorum trium puerorum vendebat, corporalium visu oculorum amisso, per idem tempus Cyro et Iohanni sanctis haerebat, hunc recipere per eorum desiderans gratiam. Huic in somnis martyres apparentes, vade inquiunt ad Nemesionem, qui cum tantum manus super oculos tuos posuerit, et sanitatem confestim recipies, et lumen priori clarius contemplaberis. Qui hoc a sanctis audito, palam dixit se metuere hominem, dignitatis molem considerans, et divitiarum superbiam pensans. Cum autem bis et ter hoc gerendum, qui sibi apparuerant sanctos iubentes vidisset, quibusdam dicere qui erant in templo prae-

πρὸς Κῦρον τὸν δικολόγον γενόμενοι, τὸν σοφὸν ὁμοῦ καὶ φιλόχριστον, τότε τῷ τῶν ἁγίων σηκῷ διατρίβοντα, τὸν καὶ ταῦτα ἡμῖν ἀπαγγείλαντα, τὸ τῷ Φωτεινῷ φανὲν ἀπαγγέλλουσιν· ὃς πρὸς τὸν ἄνδρα σπουδαίως γενόμενος, τὴν τῶν ἁγίων ἐμήνυσε κέλευσιν· καὶ ταύτην πληροῦν πολλοῖς χρησάμενος πέπεικε ῥήμασιν, ἑαυτὸν ἁμαρτωλὸν ὀνομάζων, καὶ πρὸς τοιαύτης πράξεως ἐγχείρησιν δυσχεραίνοντα.

Ἐλθὼν οὖν ὁ Νεμεσίων καὶ τῶν ἁγίων τὰς πρὸ τοῦ μνήματος, καὶ πολλὰ μετὰ δακρύων εὐξάμενος, τῆς τε σοροῦ τῶν λειψάνων, καὶ τῆς μήλης τῶν ἁγίων ἁψάμενος, οὕτω τὰς χεῖρας ἐπὶ τοὺς ὀφθαλμοὺς Φωτεινοῦ παρόντος ἐπέθη-

sumpsit. At illi ad Cyrum causidicum, virum sapientem pariter et philochristum, qui tunc in sanctorum degebat basilica, qui etiam ista nobis recensuit, venientes, quod Photino fuerat visum annuntiant; qui ad virum celeriter veniens sanctorum iussionem innotuit, et hanc adimplere multis usus fuit sermonibus; cui se ille peccatorem nominabat, et ad tantae actionis conatum, invalidum.

Veniens ergo Nemesio, et sanctorum ante monumentum assistens, et multum cum lacrimis orans, cum tam sepulchrum cadaverum quam melen sanctorum tetigisset, manus super oculos Photini

κεν· ὁ δὲ τῆς ἀφῆς τῶν ἐκείνου χειρῶν μόνον ὡς ᾔσθετο, εὐθέως ἀνέβλεψεν, καὶ πάντας μὲν πρὸς αἶνον ἐκίνησεν, Νεμεσίωνα δὲ καὶ πρὸς πλείονα δάκρυα μηδὲν ὠφελοῦντα τὸν κλαίοντα, ἐπειδὴ μὴ καὶ τὴν γνώμην μετέβαλεν· ὅθεν Νεμεσίων μὲν εἰκότως Ἡσαΐου τοῦ προφήτου πρὸς αὐτὸν ὀνειδιστικώτερον ἤκουε λέγοντος· στήτωσαν δὴ καὶ σωσάτωσάν σε οἱ ἀστρολόγοι τοῦ οὐρανοῦ, οἱ ὁρῶντες τοὺς ἀστέρας ἀναγγειλάτωσάν σοι τί μέλλει ἔρχεσθαι ἐπὶ σέ. Φωτεινὸς δὲ τοῦ σωτῆρος βοῶντος καὶ πρὸς αὐτὸν ἐπυνθάνετο, πορεύου εἰς εἰρήνην, ἡ πίστις σου σέσωκέν σε. Φωτεινὸς μὲν οὖν τὰς εὐχαριστίας θεῷ προσνείμας καὶ μάρτυσι, χαίρων ἀπῴχετο. Νεμεσίων δὲ

praesentis imposuit. At ille cum manuum tantum eius tactum sensisset, protinus vidit, et omnes quidem ad laudem commovit, Nemesionem vero etiam ad lacrimas multas nihil adiuvantes plorantem, quia forte nec mentem mutaverat. Unde Nemesio quidem convenienter Isaiam ad se affectu exprobrantis audiebat dicentem: stent nunc et salvam te faciant astrologi caeli; qui vident stellas, annuntient tibi quid venturum sit super te. Photinus vero Salvatorem etiam ad se clamantem audiebat: vade in pace, fides tua te salvum fecit. Itaque Photinus quidem gratiarum Deo actionibus impensis, gaudens recessit. Nemesio autem

τάχα μὴ βλαβεὶς ἐκ τοῦ θαύματος, μέρος τί τοῦ τοίχου πλησίον τοῦ μνήματος μαρμάροις ἐκόσμησεν, Χριστὸν ἐν ταύταις καὶ Ἰωάννην τὸν βαπτιστήν τε καὶ πρόδρομον καὶ Κῦρον τυπώσας τὸν μάρτυρα, καὶ ἑαυτὸν τὴν ἐπὶ τούτῳ χάριν κηρύττοντα· ἡμεῖς δὲ τὰ κατ᾽ αὐτοὺς ἀφηγησάμενοι, καὶ τῶν ἁγίων τὸ δυνατὸν ὁμοῦ καὶ χαρίεν μηνύσαντες, καὶ διὰ τοῦτο πάλιν αὐτοὺς ἀνυμνήσαντες, ἐπ᾽ ἄλλας αὐτῶν θαυμασιωτάτας διηγήσεις προΐωμεν.

κθ. ΠΕΡΙ ΑΘΑΝΑΣΙΑΣ ΑΠΙΣΤΟΥΣΗΣ ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΚΥΡΟΝ ΚΑΙ ΙΩΑΝΝΗΝ ΤΟΥΣ ΜΑΡΤΥΡΑΣ.

Εἰρηκότες ἐν τοῖς προλαβοῦσι μεμνήμεθα ὡς

forte de miraculo nihil laesionis incurrens, partem aliquam parietis iuxta monumentum marmoribus adornavit, Christum in his et Iohannem baptistam ac praecursorem, Cyrumque martyrem, sed et se factam super hoc gratiam praedicantem depingens. Nos autem, quae circa illos gesta sunt referentes, et sanctorum potentatum simul et gratulationem denuntiantes, et hac pro causa eos denuo collaudantes, ad alias eorum mirabiles valde narrationes procedimus.

29. DE ATHANASIA QUAE NON CREDIDIT SANCTIS CYRO ET IOHANNI MARTYRIBUS.

Dixisse nos in praecedentibus recordamur, quod

δύο ἢ καὶ τρία διηγήματα γράψωμεν, δι' ὧν καὶ τὸ σύντονον καὶ στυπτικὸν τῶν ἁγίων γνωσθήσεται, πρὸς τὴν τῶν ῥαθυμοτέρων ὠφέλειαν, καὶ τὴν τῶν σπουδαιοτέρων ἀσφάλειαν, ὅπως ἑκάτεροι μάθοιεν, ὡς οὐ μόνον εὐεργετεῖν τοὺς ἀρίστους ἐπιστάμενοι, ἀλλὰ καὶ κολάζειν τοὺς χείρονας, κἀν τούτῳ Χριστὸν τὸν ἑαυτῶν δεσπότην μιμούμενοι, τὸν πᾶσι μὲν τὴν ἑαυτοῦ βασιλείαν ἁπλώσαντα, οὐ πᾶσι δὲ ταύτην ἁπλῶς παρεχόμενον· ἀλλὰ ταύτην μὲν τοῖς ὑπακούουσιν αὐτοῦ τῷ κηρύγματι, καὶ τὴν πίστιν ἔργῳ καὶ τὰς ἐντολὰς αὐτοῦ διανύουσι· τοῖς δὲ μὴ τοιούτοις, ἀκοίμητον σκώληκα καὶ γέενναν αἰώνιον, καὶ σκότος ἐξώτερον· καὶ πρὸς μὲν τοὺς

duas vel tres relationes essemus scripturi, per quas et instantia et severitas sanctorum agnosceretur, tam ad desidiosorum utilitatem, quam ad studiosorum securitatem; quatinus utrique discant quod non solum bene facere bonis, sed et poenas inferre noverint malis; in hoc quoque Christum dominum suum imitantes, qui omnibus quidem regnum suum expandit, non tamen omnibus id absolute concedit, sed quidem hoc his qui obaudiunt praedicationem suam, et fidem operibus custodiunt, ac mandata eius omni virtute perficiunt; his vero, qui tales non sunt, non dormientem vermem, et gehennam aeternam, et te-

δεξιοὺς, δεῦτε κληρονομήσατε λέγοντα· πρὸς δὲ τοὺς ἀριστεροὺς, ἀπέλθετε ἀπ' ἐμοῦ εἰς τὸ πῦρ τὸ αἰώνιον κράζοντα· καὶ διὰ Ἠσαΐου τοῦ προφήτου πρὸς πάντας ὁμοίως φθεγξάμενον, ἐὰν θέλητε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· ἐὰν δὲ μὴ θέλητε μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται· τὸ γὰρ στόμα φησὶν κυρίου παντοκράτορος ἐλάλησεν ταῦτα· μηδεὶς οὖν ὡς αὐστηροὺς τοὺς ἁγίους μωμήσηται, μηδ' ἀπηνεῖς καὶ σκληροὺς ὑποπτεύσειεν, οἳ τοῦ δεσπόζοντος ἀκολουθοῦντες τοῖς ἴχνεσιν εὐεργετοῦσι μὲν τοὺς ἐχέφρονας, τιμωροῦνται δὲ τοὺς ἀλάστορας· καὶ τοῦτο γὰρ πρὸς ὠφέλειαν, ὡς ὁ κοινὸς πάντων διδάσκαλος, πράτ-

nebras exteriores. Et ad eos quidem, qui a dextris sunt, venite, hereditatem possidete, dicitur; ad eos vero, qui a sinistris sunt, discedite a me in ignem aeternum, clamat. Et per Isaiam quondam prophetam ad omnes simili modo affatus; si volueritis, et audieritis me, ait, (terrae bona manducabitis; quod si nolueritis, neque audieritis me *) gladius devorabit vos. Os enim Domini omnipotentis, inquit, locutum est ista. Nemo ergo quasi severos sanctos denotet, sed neque crudeles et duros existere suspicetur, si dominantis sequentes vestigia, bene quidem faciunt prudentibus, et puniunt sceleratos; verum et hoc ad utilita-

* haec desunt in cod. lat.

τουσιν, εἰ συνειδεῖν δυνηθεῖεν καὶ μετάνοιαν ἀγαθὴν ἐπιδείξασθαι οἱ τὰς αὐτῶν ὑπομένοντες μάστιγας· ὡς δείξουσι σὺν θεῷ τὰ λεγόμενα, ὅτι τοὺς μὲν μεταγνόντας ἠλέησαν, τοὺς δὲ μὴ μεταγνόντας ἀπώλεσαν· οὐ γὰρ ἦσαν ἀπανθρωπείας μαθηταὶ καὶ γεννήματα, ὡς τοὺς μετανοοῦντας μὴ δέχεσθαι, ἀλλὰ φιλανθρωπίας υἱοὶ καὶ βλαστήματα γνήσια.

Ἡκέτω τοίνυν εἰς μέσον Ἀθανασία τὸ γύναιον, καὶ μαρτυρείτω πρώτη τῶν μαρτύρων τὸ κολαστικὸν πρὸς τοὺς πταίοντας, καὶ τὸ πρὸς τοὺς μετανοοῦντας εὐεργετικὸν καὶ φιλάνθρωπον· αὕτη τῶν ἐν Ἀλεξανδρείᾳ διαφανῶν εὐφη-

tem, sicut ille quoque communis agit magister, efficiunt; si considerare possunt et paenitentiam bonam ostendere, hii qui eorum flagella tolerant, ut ostensura sunt quae Deo iuvante dicuntur. Quoniam eorum, qui paenitentiam egerunt, miserti sunt; eos vero qui non egerunt paenitentiam, perdiderunt. Non enim sunt inhumanitatis discipuli vel genimina, ut paenitentes minus recipiant, sed humanitatis filii simul et germina.

Veniat igitur in medium Athanasia muliercula, et testimonium prima perhibeat super sanctorum poenis in peccantes exhibitis, nec non et beneficio ac misericordia erga paenitentiam agentes ostensis. Haec fama celebris habebatur inter illustres

μίζετο· Μαρκελλίνου γυνὴ γὰρ ἐτύγχανεν, οὗ πρὸ βραχέως ἐμνήσθημεν, ὅτε τῆς Ἰουλιανῆς τὴν ῥῶσιν ἐγράφομεν· καὶ πλούτῳ γηΐνῳ διέπρεπεν, καὶ γονέων ἐστεφανοῦτο λαμπρότητι· ἐν τούτοις δὲ πᾶσι τοῖς κοσμικοῖς σεμνυνομένη χαρίσμασιν, κατὰ ψυχὴν χαλεπῶς ἐσκοτίζετο, τὴν εἰς Κῦρον καὶ Ἰωάννην πίστιν οὐκ ἔχουσα· ὅθεν αὐτοὺς ἐκωμῴδει συχνότερον, καὶ μὴ εἶναι μάρτυρας ἔλεγεν, μηδὲ διὰ Χριστὸν ἠθληκέναι ἢ παθεῖν ἀπεφήνατο, ὃ τῆς ἐσχάτης ἐστὶν ἀθλιότητος.

Εἴτε δὲ πλάνῃ τινὶ κρατουμένη καὶ φάσμασιν ἑλληνικοῖς ὑποκλίνουσα, οὕτω τοὺς ἁγίους

Alexandriae feminas, Marcellini enim uxor erat, cuius paulo ante memoriam fecimus, cum Iulianae sanitatem describeremus; divitiis terrenis decorata, parentumque claritate coronata. Verum cum his omnibus mundi charismatibus esset venusta, secundum animam tamen saevius manebat obscura, erga Cyrum atque Iohannem fidem non habens, unde illos crebrius deridebat, et non esse martyres asserebat, neque propter Christum decertasse vel passos fuisse pronuntiabat, quod est extremae miseriae.

Sive autem errore quodam detenta, sive gentilibus praestigiis perturbata, sanctis taliter detraheret; sive sensus et cordis simplicitate, eo

διέσυρεν, εἴτε δὲ φρενὸς καὶ καρδίας ἁπλότητι, διὰ τὸ μὴ φέρεσθαι γραφὴν τὴν ὑπὲρ Χριστοῦ καὶ τὴν μαρτυρίαν ἡμῖν ἀπαγγέλλουσαν, μόνην δὲ τοῦτο βοᾶν τοῦ Κυρίλλου τοῦ θείου θεόπνευστον σάλπιγγα (1) λέγειν οὐ δύναμαι· πλὴν ἑκάτερον ἀσεβὲς καὶ ἀπαίδευτον· εἰ μὲν γὰρ κατὰ τρόπον τὸν πρότερον ἐδυσφήμει τοὺς μάρτυρας, πρόδηλον ὡς δυσσεβείας τοῦτο καὶ πλάνης ἐπίμεστον· εἰ δὲ κατὰ τὸν δεύτερον, ὃν ὑποπτεύομεν, τιμωρίας ἀξία καὶ μέμψεως· εἰ γὰρ μόνους σχοίημεν μάρτυρας οὓς ἐν ὑπομνήμασιν ἔχομεν, ἄρα Χριστὸς δωρεὰν ἀπέθανεν, ὀλίγους αὐτοῦ τῶν παθῶν κοινωνοὺς ποιησά-

quod non ferebatur scriptura quae hoc indicaret, nec certamen nobis eorum pro Christo sumptum et testimonium referret, nisi sola divinitus inspirata Cyrilli acclamatio, sacratissima salpinx, dicere nequeo. Verumtamen utrumque impium simul est et indisciplinatione refertum. Denique si secundum priorem quidem modum martyribus derogabat, manifestum est quod impietate sit hoc et errore plenum; si vero secundum posteriorem, quem et conicimus, et sic est poena et reprehensione dignissima. Si enim solos illos martyres habuerimus, quos in monumentis habemus, ergo Christus mortuus gratis est, paucos communicato-

(1) Intellige Cyrilli sermunculos, de quibus non alibi.

μενος· ὀλίγοι γὰρ οὗτοι πάνυ τυγχάνουσιν· ἐν κινδύνοις δὲ καὶ ἡμεῖς γενησόμεθα, μὴ μυριάσι μαρτύρων φρουρούμενοι, καὶ ταῖς οἰκείων αἱμάτων προσχύσεσι, ὑπὲρ ἡμῶν τὸν Χριστὸν πρεσβεύοντας ἔχοντες· εἰ γὰρ καὶ μηδόλως εἰσὶν ὑπομνήματα, ἵνα καὶ τὴν Κυρίλλου παρήσω διάλεξιν τὸ πᾶν ἀρκοῦσαν πιστώσασθαι τὰ τοὺς ἀγῶνας τῶν ἁγίων κηρύττοντα, καὶ τὴν κλῆσιν αὐτῶν ὑποφαίνοντα, τὸ πλῆθος ἐχρῆν τῶν δυνάμεων τῶν δι' αὐτῶν ἀδιαλείπτως γινόμενον, παρασχεῖν αὐτοῖς μαρτύρων ὑπόληψιν· εἰ γὰρ ἔργα μαρτύρων οὐ πράττουσιν, καὶ χαρίσματα δυνάμεων οὐκ εἰλήφασιν, δι' ὧν τοὺς ἀσθενοῦντας ῥωννύουσιν, εἰ καὶ ἡμῖν οὐ δοκεῖ,

res suarum faciens passionum; pauci enim valde sunt isti. Sed et nos periclitabimur, nisi milibus martyrum muniamur, qui sanguinis proprii fusionibus apud Christum intercedant pro nobis. Quippe cum, et si omnino monumenta minus consisterent, ut Cyrilli quoque disputationem omittam quae universitatem certam reddere sufficit, quae sanctorum agones praedicarent, certamenque declararent; multitudinem oporteret virtutum quae per eos indesinenter efficiuntur, praebere illis martyrum existimationem. Si enim opera martyrum non operantur, et charismata virtutum non perceperunt, per quae infirmos ro-

οὔτε γὰρ ταύτης τῆς δόξης ὑπάρχομεν· πλὴν παρ' αὐτοῖς μὴ λεγέσθωσαν μάρτυρες· εἰ δὲ καὶ μαρτύρων πλεῖον ἐνεργοῦσι τεράστια, τίνι λόγῳ μὴ λέγονται μάρτυρες;

Καὶ μάλιστα τοῦ σωτῆρος εἰπόντος πρὸς Ἰουδαίους τοὺς εἰς αὐτὸν μὴ πιστεύοντας· εἰ μὴ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ μοι· εἰ δὲ ποιῶ τὰ ἔργα, κἂν ἐμοὶ μὴ πιστεύετε, τοῖς ἔργοις μου πιστεύετε· καὶ δεδωκότος ἡμῖν ἀπλανῆ καὶ βεβαίαν διάνοιαν καὶ μηδέποτε ψευδομένην διάκρισιν, ἀπὸ τῶν ἔργων τοὺς ἐνεργοῦντας στοχάζεσθαι· ἀπὸ γὰρ τῶν ἔργων αὐτῶν φησιν ἐπιγνώσεσθε αὐτούς· καὶ ἀπὸ τοῦ καρποῦ

borent, licet nobis non sic videatur, neque enim huius opinionis * sumus; attamen apud eos martyres non dicantur. Quod si plùsquam martyres operantur miracula, qua ratione martyres non sunt dicendi?

* cod. gloriae.

Praesertim cum Salvator ad Iudaeos qui non credebant in eum edixerit: si non facio opera patris mei, nolite credere mihi; si autem facio opera, et si mihi non creditis, operibus meis credite: et dederit nobis non errantem sed stabilem mentem, numquamque fallentem discretionem ab operibus operatores considerandi: ab operibus enim eorum cognoscetis inquit eos, et a fructu arbor cognoscitur. Stultum autem vere consistit,

τὸ δένδρον γινώσκεται· εὔηθες δὲ τοῦτο καθέστηκεν· εἰ ὁ τυφλὸς μὲν ἰαθεὶς τούτων οὐκ ἀκούσας ἐπέγνω τὸν κύριον, καὶ θεοῦ τὴν ἐνέργειαν ἤκουσεν· εἰ μὴ γὰρ ἦν οὗτος φησὶν ἀπὸ θεοῦ, οὐκ ἠδύνατο ποιεῖν οὐδέν· ἡμεῖς δὲ τούτων καθ' ὥραν ἀκούοντες τοὺς τυφλοὺς ἡμᾶς ἔσεσθαι μέλλοντας θεραπεύσαντας, καὶ τοσαύτας ἡμῖν εὐεργεσίας δωρουμένου μὴ γνοίημεν; τί γάρ ἐστιν ὃ δρῶσι μὲν καὶ πράττουσι μάρτυρες, ἀδυνατοῦσι δὲ τοῦτο Κῦρος καὶ Ἰωάννης ἐργάσασθαι; οὐδέν· εἰ δέ τις δειξάτω προσελθών, καὶ τὴν ἀπολογίαν ὑφέξομεν· πλεῖον γάρ τι λέγειν οὐκ ἔχομεν, ὡς δρῶσιν οὗτοι τινὰ ἃ μὴ δρῶσιν ἕτεροι μάρτυρες· ὁμοίως γὰρ ἅπαντας τοὺς μάρτυρας

si caecus quidem sanus effectus, his non auditis cognovit Dominum, Deique operationem edixit: si non esset inquiens hic a Deo, non potuisset facere quicquam; et nos qui caeci fuerimus, hos per singulas horas audientes curare, et tot beneficia nobis praestare, non cognoscemus? Quid enim sit quod gerant, agantque martyres, et hoc Cyrus et Iohannes nequeant operari? Nos quidem nihil conicimus; si autem quis opinatus fuerit, accedat et ostendat, nosque rationem reddemus. Amplius enim quicquam dicere nolumus, qualiter agant isti quaedam quae non agant alii martyres. Simili quippe modo universos martyres colimus, tam vi-

σέβομεν, καὶ τοὺς θαύματα πράττοντας, καὶ τοὺς οὐ πράττοντας θαύματα· καὶ λέγειν ὑπὲρ ἁγίων οὐ καταλέγειν ἁγίων σπουδάζομεν· ἡμεῖς μὲν οὖν οὕτω περὶ Κύρου καὶ Ἰωάννου τῶν ἁγίων μαρτύρων καὶ τοῦ λοιποῦ τῶν ἁγίων μαρτύρων στρατεύματος ἔχοιμεν τὲ καὶ ἕξομεν, καὶ πάντας οὕτω τοὺς ἐν πίστει προλάμποντας, φρονεῖν περὶ αὐτῶν καὶ πιστεύειν προτρέπομεν.

Ἀθανασία δὲ περὶ ἧς ὁ λόγος γεγένηται, οὐχ οὕτως τοὺς μάρτυρας σέβουσα, πρὸς δυσφημίας δεινὰς ἐξετρέπετο, πυκνότερον αὐτοὺς θεατρίζουσα, καὶ ἐν συντυχίαις ἀεὶ διαβάλλουσα· καὶ μὴ μόνον αὐτὴ μὴ λέγουσα μάρτυρας, ἀλλὰ καὶ τοὺς λέγειν ἐθέλοντας εἴργουσα· ἐπεὶ

delicet eos qui miracula operantur, quàm qui non operantur miracula; et pro sanctis, non contra sanctos, loqui satagimus. Itaque nos quidem de sanctis Cyro et Iohanne martyribus et reliquo sanctorum martyrum exercitu, sic et causam habere tenemus, atque tenebimus; omnesque, qui taliter in fide praefulgent, sic sapere de illis et credere cohortamur.

Athanasia vero, de qua sermo se intulit, non sic martyres colens, ad blasphemias quasdam convertebatur, saepius super eis spectaculum faciens, et semper in confabulationibus detrahens; et non solum ipsa martyres eos non dicebat, sed et il-

οὖν ταύτης ἦν Ἀθανασία τῆς ὑπολήψεως, καὶ δόξαν τοιαύτην εἰς Κῦρον καὶ Ἰωάννην τοὺς ἁγίους ἐκέκτητο, καὶ πεῖραν ἔδει λαβεῖν τῆς τούτων δριμυτέρας παιδεύσεως, ἵνα μὴ μείνοι διηνεκῶς ἁμαρτάνουσα, ἀλλὰ μαθοῦσα σαφῶς τὴν ἀλήθειαν, τηλικαύτης μανίας ἐκφύγοι τὸν θάνατον· οὕτω φιλανθρωπίᾳ μαρτύρων τῶν πρὸς αὐτὴν δυσφημουμένων παιδεύεται· ἐν μιᾷ τῶν ἡμερῶν ἐν ὅσῳ τοιαῦτα τισὶ κατὰ τὸν οἶκον αὐτῆς διελέγετο, καὶ τοὺς ἁγίους ἀσέμνως γελῶσα διέπαιζε, ψύλλα μία χανῶθεν πηδήσασα, ὡς τῶν ἁγίων ὑπερμαχοῦσα, δάκνει σφοδρῶς αὐτῆς τὸν ἀστράγαλον· ἣν ἡ γυνὴ καταςχεῖν κατανεύσασα, ἔμεινεν εὐθὺς ἐπὶ σχήματος, ἄνω

los qui volebant dicere prohibebat. Quia ergo huius erat existimationis, talemque opinionem in Cyrum et Iohannem sanctos habebat, et experientiam oportebat eam accipere acrioris horum correptionis, ut non remaneret iugiter peccans, sed cognita liquido veritate, tantae insaniae exiliret exitium; sic misericordia martyrum, qui ab ea blasphemabantur, corripitur. Quadam die cum talia quibusdam in domo sua disputaret, sanctisque inhoneste deridendo illuderet, pulex unus errans et saliens quasi pro sanctis pugnaturus mordet vehementer talum eius: quem mulier comprehendere volens, cum deorsum incurvata flecteretur, man-

νεῦσαι τὸ λοιπὸν οὐκ ἰσχύουσα, οὔτε τὴν ὄρθιον δύναμιν ἢ διάπλασιν ἥ τις μόνων ἀνθρώπων ἰδία καθέστηκεν ἐπιδεῖξασθαι· ἀλόγως γὰρ εἰς τοὺς μάρτυρας ἁμαρτάνουσα, ἀλόγων αὐτῆς διὰ τῆς εἰς τὰ κάτω νεύσεως σωφρονίζουσι σχήματι· ἐγένετο δὲ οὐκ ἀναλγήτως ἡ βάσανος, ἀλλ' ἔσχεν ὀδύνην τηλικαύτης τιμωρίας ἀκόλουθον· ὑφ' ἧς μαστιζομένη σφοδρώτατα πολυκλαύστοις φωναῖς τὰς κεκρυμμένας ἀλγηδόνας ὑπέφαινεν· ὧν ἀγνοοῦσα τὸ αἴτιον, καὶ τοῦτο γὰρ τῷ πλήθει τῆς δυσφημίας ἐκέρδαινεν, καὶ διαδράναι ποθοῦσα τὸν κίνδυνον, ὁρμαθοὺς ἰατρῶν μετεστέλλετο· οἱ δὲ προθύμως συνέῤῥεον, ἁδροτέρων μισθῶν προσδοκίαις γαυρούμενοι· ἀλ-

sit continuo in eadem inflexionis figura, sursum aspicere de cetero minime valens: neque enim erectam poterat, quod solum proprium est hominum, monstrare formationem; irrationabiliter enim peccantem in martyres, irrationabilium animantium per nutum deorsum facto corrigunt habitu. Fiebat autem non sine dolore tormentum, quod nimirum habuit tanto supplicio consequens; a quo valide verberata, multorum fletuum vocibus absconditos manifestabat dolores; quorum causam ignorans, et hoc enim multitudine blasphemiae lucrabatur; et effugere periculum cupiens, acies medicorum accersiebat *, qui alacri-

* ita cod.

λὰ ταύτης ἀπέπιπτον, ἀγνοοῦντες τοῦ πάθους τὸ αἴτιον, καὶ τί ποιεῖν οὐ γινώσκοντες.

Ὅτε δὲ δεόντως αὐτὴν μᾶλλον δὲ φιλανθρώπως οἱ μάρτυρες ἔτυψαν, καὶ γνῶναι αὐτῶν ταῖς κολάσεσι τὴν ἀλκὴν παρεσκεύασαν, φαίνονται καθ' ὕπνον αὐτῇ παριστάμενοι, καὶ πραοτέροις ῥήμασι λέγοντες· ἐλθὲ πρὸς ἡμᾶς, εἰς οἶκον γὰρ ὑπῆρχε τὸν ἴδιον, καὶ τὴν ῥῶσιν ἡμεῖς σοι δωρούμεθα· ἡ δέ· τίνες γὰρ ὑμεῖς, πρὸς αὐτοὺς ἀπεκρίνατο, ὅτι τοσούτων ἰατρῶν πλεῖον ἰσχύετε; οἱ δέ· ἡμεῖς φησὶν ὦ γύναι τυγχάνομεν Κῦρος καὶ Ἰωάννης οἱ μάρτυρες, οἱ ἀεὶ παρὰ σου κωμῳδούμενοι· ἀλλ' εἰ μετὰ πίστεως εἰς οἶκον ἔλθοις ἡμέτερον, ἡμετέρου θᾶττον πει-

ter confluebant, grandium spe mercedum gloriantes; sed hac frustrabantur, passionis causam ignorantes, et quid facerent nescientes.

Cum autem hanc decenter immo misericorditer martyres severius arguissent, et ut eorum per illatas poenas virtutem cognosceret, peregissent, patenter in somnis astantes ei, mitioribusque verbis dicentes: veni ad nos, in domo enim sua erat, et sanitatem nos tibi donabimus; illa, et qui estis vos, respondebat ad eos, ut plus quam tot medici valeatis? Illi autem nos inquiunt, o mulier, Cyrus et Iohannes martyres sumus, qui semper a te deridebamur. Et si cum fide in domum vene-

ραθήσει δωρήματος, ὥσπερ ἐπειράθης καὶ μάστιγος· καὶ ταῦτα μὲν οἱ μάρτυρες εἰπόντες ἀπῴχοντο· ἡ δὲ τὸν ὕπνον εὐθέως ἐάσασα, Κῦρον ἐπεβόα τὸν ἅγιον καὶ Ἰωάννην τὸν Κύρου συμμάρτυρα, οὓς πρὸ βραχέως ἐτώθαζεν, καὶ πρὸς τούτους ἐλθεῖν κατεπείγετο, ἡ πρὸ μικροῦ τοὺς πρὸς αὐτοὺς ἐρχομένους ὑβρίζουσα.

Ἀλλ' ἄρα πρὸς αὐτοὺς ἐλθοῦσα τῆς ἐλπίδος ἀφήμαρτεν; οὐδαμῶς· πῶς γὰρ οἷόν τε ἦν τοὺς μάρτυρας ψεύσασθαι, μιμητὰς τοῦ σωτῆρος τυγχάνοντας; οἳ δεῖξαι τῷ γυναίῳ θελήσαντες τὴν ἀνυπέρβλητον αὐτῶν καὶ ἀνέφικτον δύναμιν, καὶ τὸ τῶν μαρτυρικῶν χαρισμάτων ὑπέρογκον, ὀξυτέραν τῆς μάστιγος τὴν ῥῶσιν

ris nostram, nostrum experieris donum, sicut experta es et flagellum. Et his martyres dictis, discesserunt. Illa vero somno dimisso, Cyrum invocabat sanctum, et Iohannem Cyri conmartyrem, quos ante paululum deridebat, et ad istos venire festinabat, quae ante modicum venientes ad illos, convitiis impetebat.

Sed putas cum eos advenisset, et spe frustrata est? nequaquam. Quomodo enim esse poterat ut martyres mentirentur, cum Salvatoris essent imitatores? Qui ostendere volentes mulieri incomparabilem et incomprehensibilem virtutem suam, et martyricorum charismatum magnitudinem, ve-

εἰργάσαντο· ταμιευσάμενοι γὰρ ἕως οὗ πρὸς αὐτοὺς παρεγένετο, ἅμα δὲ τὸν ἱερὸν ἐκεῖνον αὐτὴ βατῆρα τοῦ τεμένους ἐπάτησεν, τῆς συνεχούσης εὐθὺς ἀπηλλάττετο μάστιγος· καὶ τὸ κάτω νεύειν ἐκεῖσε προσρίψασα, ὀρθίῳ τῷ σχήματι τὸ μαρτύριον ὥδευεν· καὶ κατὰ φύσιν βαδίζουσα, χαριστηρίους φωνὰς τῆς τε παιδείας τῆς τε θεραπείας τοῖς ἁγίοις προσέφερεν· ὅθεν τῆς ἐφ' ἑκάτερα τούτων πειραθεῖσα δυνάμεως, θεραπείας λέγω καὶ μάστιγος, τῶν οὐ πειραθέντων πλέον αὐτοὺς ἐτίμα καὶ ἔσεβεν· καὶ οὐ μόνον μάρτυρας τούτους ἐκήρυττεν, ἀλλὰ καὶ τὰ πρῶτα φέρειν ἐν μάρτυσιν ἔλεγεν· ἐντεῦθεν πολλοῖς αὐτοὺς δάκρυσιν ἐμειλίξατο, καὶ πολλαῖς καὶ

lociorem sanitatem, quam flagellum fuerit, operati sunt. Verumtamen distulerunt hoc, donec ipsa veniret ad eos. Cum autem sacrum limen templi calcasset, a flagello quo tenebatur continuo liberata est, et illic proclivi curvatione proiecta, directo schemate per oratorium ambulabat, et naturaliter incedens, gratiarum voces tam pro castigatione quam pro curatione sanctis obtulit : unde in utroque horum experta virtutem, curatione scilicet et flagello, plus his qui experti non fuerant colebat eos et honorabat ; et non solum martyres hos praedicabat, sed et primatum gerere inter martyres asserebat. Hinc multis eos lacrimis pla-

πλουσίαις προσφοραῖς ἐθεράπευε, τῆς προτέρας ὕβρεως ἕνεκα, καὶ τῆς ὑστέρας πρὸς αὐτοὺς ἀγαπήσεως· καὶ οὕτω μὲν Ἀθανασία τῆς παιδείας ἀπώνατο, καὶ τὴν προτέραν ἀπείληφε τῇ μεταγνώσει παράνοιαν, τὰ πρέποντα περὶ τῶν ἁγίων φρονήσασα· ἡμεῖς δὲ τούτους ἀεὶ τιμῶντες καὶ σέβοντες, καὶ ὡς ἁγίους γεραίροντες μάρτυρας, καὶ τοῖς ὑπὲρ Χριστοῦ πεπονθόσι συντάττοντες, ἀξίως καὶ νῦν εὐφημήσαντες, ἄλλην διήγησιν γράψωμεν, δι' ἧς αὐτῶν καὶ τὸ στυπτικὸν καὶ τὸ εὔσπλαχνον παραπλησίως γνωσθήσεται, ὃ πάντας εὐεργετεῖ γιγνωσκόμενον τοὺς μὴ παρέργως τῶν λεγομένων ἀκούοντας.

cans, multis ac ditibus oblationibus laetificabat, tam prioris iniuriae quam posterioris dilectionis erga eos habitae causa. Et quidem sic Athanasia disciplina profecit, et priorem resipiscens amentiam diluit, decentia super sanctis de cetero sentiens. Nos autem his semper honore et cultu celebri habitis, et ut sanctis martyribus collaudatis, cumque his qui pro Christo passi sunt connumeratis, condigne hos etiam nunc laudemus, aliam relationem scribentes, per quam eorum et austeritas et misericordia pariter cognoscetur, quae omnibus beneficia praestare dinoscitur, qui non perfunctorie quae dicuntur audierint.

λ. ΠΕΡΙ ΓΕΣΙΟΥ ΤΟΥ ΙΑΤΡΟΣΟΦΙΣΤΟΥ.

Πάρεστι νῦν καὶ ὁ Γέσιος οὐ τεχνολογῶν τῶν ἁγίων τὰ φάρμακα, καὶ θεραπεύειν τοὺς πάσχοντας κατὰ θεσμὸν αὐτοὺς ἰατρικὸν βρενθυνόμενος, ἀλλὰ νοσῶν καὶ σφοδρῶς ὀδυνώμενος, καὶ τῆς θείας μετασχεῖν δωρεᾶς ὀρεγόμενος, ἧς ἀπολαύσας ἁδρότερον καὶ θεόθεν ἰᾶσθαι μαρτυρήσας τοὺς μάρτυρας, μηδὲν εἶναι τῶν ἰατρῶν τὰ κομψεύματα πρὸς τὴν τῶν ἁγίων ἀλκὴν ἀπεφήνατο· λέξωμεν τοίνυν αὐτοῦ τὴν ἀσθένειαν, καὶ τῆς ἀσθενείας τὸ αἴτιον, καὶ τὸ ταύτης χαριέστατον φάρμακον, κᾂν εἰ αὐτὸς εἰς ἔτι καὶ νῦν ἐπαισχύνεται, καὶ φανεροῦσθαι πᾶσιν οὐ βούλεται γράμμασιν· σοφιστὴς ὁ Γέσιος ὑπῆρ-

30. DE GESIO IATROSOPHISTA.

Adest nunc etiam Gesius, non artificiose de sanctorum remediis disputans, nec eos curare patientes secundum iura medicinalia iactitans, sed languens et oppido dolens, divinaeque ipsorum donationis participari desiderans, qua magnifice fretus, et divinitus sanare martyres attestatus, nihil esse medicorum ambages ad comparationem illorum virtutis asserebat. Dicemus igitur infirmitatem eius, et infirmitatis materiam, huiusque gratum valde remedium, licet ipse hactenus et nunc erubescat, et manifestari omnibus minime

χε σοφώτατος, οὐ λόγους ῥητορικοὺς ἐξηγούμενος, καὶ διὰ τοῦτο φορῶν τὸ τριβώνιον, ἀλλὰ τέχνης ἰατρικῆς προϊστάμενος, καὶ ταύτης σὺν ἀκριβείᾳ διδάσκαλος τοῖς μανθάνουσι κατ' ἐκεῖνο καιροῦ γνωριζόμενος· οὗτος ὁ σοφὸς ἐν λόγοις αἰρόμενος, καὶ καλλίστοις ἰατροῖς ἰατρὸς φημιζόμενος, ἑλληνικῆς οὐκ ἦν ὁ τρισάθλιος δυσιδαιμονίας ἐλεύθερος, ὡς ἔλεγον οἱ σαφῶς τὰ κατ' αὐτὸν ἐπιστάμενοι, καὶ τὸ ἀκούσιον αὐτῶν ἐθριάμβευε βάπτισμα, ὅπερ ἀπειλὴν φοβηθεὶς βασιλικὴν ἐβαπτίσατο· καὶ τοῦ θείου λουτῆρος ἀνιὼν, τὸ ὁμηρικὸν ἐκεῖνο δυσσεβῶς ἀπεφθέγξατο " Αἴας δ' ἐξαπόλωλεν, „ ἐπεὶ πίεν ἀλμυρὸν ὕδωρ „.

litteris velit. Sophista erat Gesius sapientissimus, non quod sermones rhetoricos enarraret, et tribonem idcirco portaret, sed quod artis * medicinae praeesset, et huius cum diligentia magister per illud tempus discentibus cerneretur. Hic sapiens, qui verbis cantabatur, gentilis miserrimus superstitionis liber non erat, sicut hii dicebant qui quae illius sunt liquido noverant, et invitum suum publicabat baptismum, quo imperatorias metuens minas fuerit baptizatus, et cum a sacro lutere ascendisset, mox homericum illud carmen impie cecinit: Aiax autem disperiit, nam salsam bibit aquam.

* ita cod.

Ταύτην οὖν καὶ μυηθεὶς τὰ θειότατα, κρύπτων παρ' ἑαυτῷ τὴν δυσσέβειαν, ἐκωμῴδει μὲν ἀεὶ χριστιανοὺς, ὡς τὸν Χριστὸν ἀλογώτατα σέβοντας, καὶ τοῖς ἐνθέοις αὐτοῦ νόμοις δουλεύοντας, ἄλλα τε πολλὰ βδελλυρῶς ἐρευγόμενος, κἀκ τοῦ πονηροῦ τῆς καρδίας θησαυροῦ τὰ πονηρὰ προφερόμενος ῥήματα· " ἀπὸ γὰρ τοῦ „ τῆς καρδίας ἀληθῶς περισσεύματος, τὸ στό- „ μα λαλεῖ τε καὶ φθέγγεται „· ἐκωμῴδει δὲ καὶ Κῦρον καὶ Ἰωάννην τους μάρτυρας ὡς ἐκ τέχνης ἰατρικῆς θεραπεύοντας τὰ τῶν ἀνθρώπων νοσήματα, καὶ οὐκ ἐκ θείας τινὸς καὶ ὑπερτάτης δυνάμεως· πυνθανόμενος γὰρ τὰ τοῖς ἀσθενοῦσι πρὸς αὐτῶν προσταττόμενα φάρμακα, ἃ καὶ ἡμεῖς μερικῶς ἀνεγράψαμεν, ἰατρῶν εἶναι

Hanc ergo sacramentis initiatus apud se impietatem occultans, christianos deridebat, quasi Christum irrationabiliter valde colentes, et divinis eius legibus servientes, aliaque multa detestanter eructans, et de malo cordis sui thesauro verba non bona depromens, ex cordis enim veraciter abundantia, os loquitur et effatur. Deridebat autem et Cyrum atque Iohannem martyras, quasi ex arte medicinali hominum languores curantes, et non ex divina quadam et superna virtute. Cum enim audiret infirmis ab eis medicamina praecipi, quae partim et nos quoque

ταῦτα διδάγματα διετείνετο· καὶ τοῦτο μὲν ἱπποκράτειον ἔλεγε τὸ βοήθημα· τάδε γὰρ ἐν τῷδε φησὶ τῷ συγγράμματι· τοῦτο δὲ γαλήνειον ἐβόα φάρμακον· κἂν τῷδε κεῖσθαι τῷ λόγῳ διηγγέλλετο· ἄλλο δὲ δημοκρίτειον εἶναι, διηγεῖτο σαφῶς τὸ ἐπίθεμα, καὶ τὸν τόπον ἔνθα τοῦτο φησὶν ἐμνημόνευε· καὶ ἑτέρου θᾶττον ἰατροῦ τὴν ἑτέραν ἀκούσας ἐκόμπαζεν ἔμπλαστρον· καὶ πάντως τὰ πρὸς τῶν ἁγίων λεγόμενα, τινῶν ὑπάρχειν ἰατρῶν διεβεβαιοῦτο κατγύματα· φυσιολογῶν ἀεὶ τὰ νοσήματα, καὶ τὰς τῶν διαδεδομένων ποιότητας, καὶ κατὰ λόγον αὐτὰ τὸν ἰατρικὸν ἐπιτάττεσθαι, καὶ τῶν παθημάτων ἐνεργεῖν τὴν καθαίρεσιν.

supra descripsimus, medicorum haec fore magisteria praedicabat; et hoc quidem hippocraticum dicebat auxilium, haec enim inquiens in hoc dicuntur conscripta; hoc vero galenicum vocabat medicamentum, et in hoc iacere sermone pronuntiabat; aliud autem democriticum esse referebat evidenter epithema, et locum ubi hoc diceret commemorabat: et cum hoc vel illud eorum medicamentum audiret, alterius esse medici iactabat emplastrum: et omnia quae a sanctis dicerentur, quorundam esse medicorum confectiones asseverabat; naturali ratione semper de languoribus, ac medicaminum, quae dabantur, qualitati-

Ἀλλὰ τούτων αὐτοῦ τῶν φληνάφων, οὐκ ἄλλόν τινα παριστῶσιν οἱ μάρτυρες ἔλεγχον, εἰ καὶ σαφῶς ὑπ' αὐτῶν τῶν πραγμάτων ἐλέγχονται, ἀλλ' αὐτὸν τὸν παράφρονα Γέσιον, τὸν τούτων ποιητὴν καὶ γεννήτορα· τὰ νῶτα γὰρ ἀσθενήσας ὁ δείλαιος, καὶ σὺν ταῖς ὠμοπλάταις τοὺς ὤμους αὐτοὺς καὶ τὸν τράχηλον, ὡς ἔκ τινος θείας ὁρμῆς αὐανθέντας ἐσχηκὼς καὶ πάσης ἀμοιροῦντα κινήσεως· ταῦτα γὰρ τὰ τῶν ξύλων ξηρά τε καὶ ἄναιμα ἐν τῷ ζῶντι τυγχάνοντα σώματι, ἐλάλει τότε καὶ ὑπέγραφε· καὶ τὴν ὀδύνην ἐποιεῖτο τῇ τοιαύτῃ κολάσει κατάλληλον· καὶ τοῦ πάθους ἀγνοήσας τὸ αἴτιον,

bus disputans, et secundum medicinalem ea praecipi rationem, ac passionum fieri destructionem affirmans.

Sed horum ei stultiloquiorum, non aliud quicquam martyres exhibent argumentum, licet evidentius a rebus ipsis redarguantur, nisi eundem amentem Gesium qui horum erat factor et genitor: dorso namque infirmatus infelix cum armis, humeros ipsos cum collo veluti ex quadam divina ira arefactos et omni motu carentes habebat; haec enim lignorum sicca quaeque et humorem non habentia in viventi corpore posita imitabantur et depingebant; doloremque sentiebat tali supplicio consequentem; et passionis causam igno-

ἰατρεύειν ἑαυτὸν ὁ τοὺς ἄλλους ἰώμενος ἠγωνίζετο· ἐχρῆτο γοῦν διαφόροις ἀλείμμασιν καὶ καθαρσίοις τῶν ἀλειμμάτων οὐχ ἥττοσιν, διαίτάς τε πολυτρόπους διήμειβε, καὶ θερμοτέρων τροφῶν μετελάμβανε, ψύξιν εἶναι καὶ φλέγμα τὴν ἐν ἐκείνοις οὖσαν τοῖς τόποις οἰόμενος, καὶ ταύτῃ διαφορεῖσθαι δοκῶν τὸ τῆς ἀσθενείας παραίτιον.

Ὡς δὲ πάντα τὰ τῆς τε τέχνης πεποίηκεν, καὶ Γαληνὸς αὐτὸν καὶ Ἱπποκράτης καὶ τῶν ἄλλων ἰατρῶν ὁ ἑσμὸς ἐξεπαίδευσε, καὶ τὸ πάθος οὐδὲν ἀπεμείωσε, οὔτε τινα τριπόθητον κίνησιν τοῖς ἀκινήτοις μέλεσιν ἠδυνήθη χαρίσασθαι, τοὺς κομψοὺς τῶν ἰατρῶν μεταστέλλε-

rans, mederi sibi certabat, qui sanare alios procurabat: ungebatur enim diversis unguentis et catharsiis non minoribus quam ipsa essent unguenta; diaetasque multimodas alterna vice transigebat, et calidiorum participabatur escarum siccitatem, esse haec flegma quae illis inerant locis existimans, et hoc modo differentiam accipere putans infirmitatis causa.

Cum autem omnia quae artis erant fecisset, quaeque se Galenus et Hippocrates aliorumque medicorum examen edocuerat peregisset, et passio in nullo minorata videretur, neque aliquem tam desiderandum motum immobilibus membris

ται, καὶ προσελθόντας, εἰπὼν τὴν ἀσθένειαν, ταύτης αὐτοὺς ἀπήτει φάρμακον· ὡς ἕκαστος δὲ τὸ δόξαν ἀπήγγελλον, τελευταῖον αὐτὸς ἅπαντα δεδρακέναι τὰ λεχθέντα πρὸς αὐτῶν διηγήσατο· οἱ δὲ τούτων ἀκούσαντες, ἀφασίᾳ κατείχοντο· καὶ μόνον εὐθὺς τοῦ πάθους ἰατρὸν τὸν τῶν ὅλων θεὸν ἀνηγόρευον, τὸν πλέον τί παρὰ ἀνθρώποις δυνάμενον, καὶ δρῶντα τὰ πᾶσιν ἀνθρώποις οὐ δρώμενα· εἰς τοὺς ἁγίους οὖν Κῦρον καὶ Ἰωάννην ἐξιέναι προσέταττον, καὶ τὴν αὐτῶν ἀναμένειν ἐπίσκεψιν, καὶ τὴν ἐκ ταύτης θεραπείαν προσδέχεσθαι, ἐπειδὴ θείας αὐτοὶ μετέχουσι χάριτος, καὶ θείᾳ δυνάμει δημιουρ-

dare potuisset, illustres medicorum accersit, quibus accedentibus cum infirmitatem dixisset, huius ab illis exigebat remedium. Cum autem quod sibi visum fuerat unusquisque pronunciasset, novissime omnia quae ab eis dicta fuerant ipse se iam gessisse narravit. Quibus illi auditis, silentio tenebantur, et solum continuo medicum passionis cunctorum Deum pronuntiabant, qui plus aliquid in omnibus super homines posset, et gereret quae ab omnibus hominibus non geruntur. Ad sanctos praeterea Cyrum et Iohannem exire praecipiebant, et ipsorum expectare visitationem et ex hac curationem accipere, eo quod ipsi divinae gratiae forent participes, et divina virtute patrarent mi-

γοῦσι τὰ θαύματα· πρὸς οὓς εὐθέως ὁ Γέσιος καὶ τοὺς ἁγίους ἰατρικῶς ἐνεργεῖν τὰς ἰάσεις ἐφθέγγετο, καὶ θεῖον οὐδὲν ἢ θαυμαστὸν ἐπιδείκνυσθαι, ὃ μὴ τοῖς παλαιοῖς ἰατροῖς διηγόρευται· οἱ δὲ πρὸς τοῦτο σοφῶς ἀνθιστάμενοι, καὶ πολλὰς αὐτῶν θεραπείας προσφέροντες, καὶ μυρία φάρμακα λέγοντες, καὶ τὰ τούτοις ἰαθέντα νοσήματα, τοὺς λόγους εἰπεῖν ἀπήτουν τὸν ἄῤῥωστον· ὁ δὲ καὶ λέγειν ἐθέλων οὐχ εὕρισκε, καὶ λέγων εὐθὺς πρὸς αὐτῶν ἀνετρέπετο· καὶ σιγᾷν ἠξίου πρὸς αὐτὸν καλῶς ἀντιλέγοντας, καὶ σιγῶν ἀκουσίως ἐπείθετο· καὶ πεισθεὶς πρὸς τοὺς μάρτυρας ἤρχετο οὐ τοσοῦτον πειθοῖ, ὅσον ἀλγηδόσι δειναῖς ἐλαυνόμενος.

racula. Ad quos statim Gesius et sanctos medicinaliter operari sanitates perhibebat, et divinum nihil vel mirandum ostendere, quod a veteribus medicis non fuerit divulgatum. At illi sapienter adversus hoc resistentes, et multas suas curationes afferentes et remedia mille fatentes, istisque sanatos languores dicentes, rationes persequi petebant infirmum. At ille quid diceret non inveniebat, et dicens protinus ab eis confutabatur, et silere poscebat eos qui sibi optime resistebant, et tacens invitis acquiescebat, et acquiescens ad martyres veniebat, non tantum suadela, quantum doloribus diris impulsus.

Ἐλθόντι δ᾽ οὖν ὅμως αὐτῷ, καὶ ῥώσεως τυχεῖν ἱκετεύοντι, καὶ κατὰ δύναμιν λιπαροῦντι τοὺς μάρτυρας, νύκτωρ καθεύδοντι φαίνονται, καὶ τὸ τοῦ πάθους μηνύουσι φάρμακον, ἀκόλουθον τιμωρίαν τοῦ πάσχοντος· φάσκων γὰρ εἶναι σοφὸς, μᾶλλον μωρὸς ἢ σοφὸς ἀπεδείκνυτο· φέρε γὰρ ὄνου σάγμα φησὶν καὶ τοῦτο φόρησον, τοῖς ὤμοις αὐτὸ περιθέμενος καὶ τραχήλῳ καὶ νώτῳ τοῖς πάσχουσιν· καὶ μεσούσης ἡμέρας ὅλον ἡμῶν περινόστει τὸ τέμενος, μεγαλοφώνως βοῶν ὡς μωρός εἰμι καὶ ἀνούστατος· καὶ τοῦτο πεπραχὼς, ὡς εἰρήκαμεν, εὐθὺς εὑρήσεις τὴν τοῦ σώματος ἴασιν· καὶ ταῦτα μὲν εἰς αὐτὸν οἱ ἅγιοι φήσαντες ᾤχοντο· ὁ δὲ στρα-

Venienti tamen ei et sanitatem assequi supplicanti, ac martyras secundum vires poscenti; noctuque dormienti apparent, et passionis indicant medicamentum, congruum stultitiae patientis, dicens enim esse sapientem, stultus potius quam sapiens demonstratus est: fer enim asini sagma inquiunt, et hoc porta positum super humeros, collum, et dorsum, quae dolores perpeti comprobantur, et meridiantis diei tempore, totum nostrum circita templum voce magna exclamans, stultus sum et amentissimus; et hoc sicut diximus acto, corporis continuo invenies sanitatem. Et quidem sancti, his ad eum dictis, abierunt. At ille con-

φεὶς φαντασίαν ἐκάλει τὸ ὅραμα, καὶ οὐ χριστοφόρων ἁγίων ἐπίταγμα· καὶ διαπτύσας ὡς φάσμα τὸ θέσπισμα, τῶν λεχθέντων οὐδὲν διεπράττετο.

Πάλιν δὲ λιτανεύων τοὺς μάρτυρας, ταῦτα ποιεῖν μετὰ προσθήκης ἐπύθετο· ἐλθόντες γὰρ πάλιν πρὸς αὐτὸν ὡς ἐκάθευδεν, καὶ κώδωνα σὺν τῷ σάγματι μέγαν ἐκ τοῦ τραχήλου κρεμάσαι προστάττουσι· καὶ σὺν τοῖς αὐτῶν τὸν νεὼν διαθέειν τὸ μωρός εἰμι κράζοντα· ἀλλ᾽ ὡς καὶ ταύτην τὴν διάνοιαν ἠθέτει, τὴν κέλευσιν φάσμα καλῶν ἀνακόλουθον, τὸ σάγμα τεχνολογῶν καὶ τὸν κώδωνα μὴ δυνάμενος, μηδὲ ποίας ταῦτα τυγχάνουσι κράσεως, καὶ φυσικῆς καὶ οὐ-

versus, phantasiam vocabat somnum et non christiferorum praeceptum sanctorum; et respuens illud quasi phantasiae decretum, nil agebat dictorum.

Iterum autem martyras deprecans, eadem facere cum additamento audiebat. Venientes enim rursus cum dormiret ad eum, tintinnabulum cum sagmate magnum in collo suspendere, et cum his ad templum suum currere, et, stultus sum, clamare praecipiunt. Sed cum etiam hanc ob amentiam iussionem sprevisset, inconveniens hoc monstrum appellans, cum scilicet sagma deprehendere vel tintinnabulum non valeret, et cuius haec essent iudicii * seu naturalis ac substantivae quali-

* Anastasius legebat κρίσεως.

σιώδους ποιότητος ἰσχύων ποιήσασθαι τὴν κατάληψιν, αὖθις ἐδέετο καὶ ἱκετείας τῷ δεσπότῃ προσέφερεν, θεραπεῦσαι μᾶλλον αὐτοῦ τὴν ἀσθένειαν, καὶ μὴ παριδεῖν αὐτὸν φάσμασιν βουκολούμενον· οἱ δὲ θειότατοι ὄντως καὶ φιλάνθρωποι μάρτυρες πάλιν ἐφάνησαν καὶ πάλιν ποιεῖν τὰ πρῶτα προσέταξαν, προσθέντες καὶ τὸν χαλινὸν φορεῖν ὡς τὰ ἄλογα, καὶ ὑπό τινος τῶν οἰκετῶν προβαδίζοντος ἕλκεσθαι κατὰ τρόπον αὐτὸν τῷ σάγματι καὶ τῷ κώδωνι σεμνυνόμενον, καὶ τὸ μωρός εἰμι μάλα σαφῶς ἐπιλέγοντα· οὐχ ἑαυτοὺς ταῖς προσθήκαις τοῦ τε χαλινοῦ καὶ τοῦ κώδωνος διορθούμενοι, ἀλλὰ τοῦ σοφωτάτου Γεσίου ταύταις ἐκδηλωτέραν

tatis non posset advertere, iterum obsecrabat, et sanctis supplicationes offerebat, ut curarent potius infirmitatem suam, et non despicerent se fabulis non bonis deceptum. Ast sacratissimi revera et misericordissimi martyres rursus apparuerunt, et iterum priora facere praeceperunt, addentes ut frenum sicut inrationabilia portaret animalia, et a quovis traheretur praecedente servorum, et sequeretur secundum morem ipse, sagmate ac tintinnabulo adornatus, et, stultus sum, valde frequenter affatus, non se ipsos ab additamentis freni et tintinnabuli corrigentes, sed sapientissimi Gesii manifestiorem per haec amen-

ποιοῦντες τὴν ἄνοιαν, καὶ αἰσχύνῃ δριμυτέρᾳ καὶ μείζονι μαστίζοντες αὐτοῦ τὸ ἀσύνετον· αὐτοὶ μὲν οὖν οἱ θεσπέσιοι εἰπόντες ταῦτα πρὸς αὐτὸν, ἀνεχώρησαν.

Ὁ δὲ γενόμενος ἔξυπνος φάσμα πάλιν εἰπεῖν ἐδειλία τὸν ὄνειρον, τῷ τρισσῷ βεβαιωθέντα τῆς ὄψεως, καὶ τοῦτο ποιεῖν ἠναγκάζετο τῆς ἀπαλλαγῆς τοῦ νοσήματος ἕνεκα· καὶ ἵνα μὴ πρὸς ὀργὴν ἀσυγχώρητον καθ' ἑαυτὸν κινήσῃ τοὺς μάρτυρας· τὸ σάγμα γοῦν ἐπ' ὤμους καὶ νῶτον ἀράμενος, κἀν τῷ τραχήλῳ φορέσας τὸν κώδωνα, καὶ τὸν χαλινὸν ἐνθεὶς τῇ κεφαλῇ καὶ τῷ στόματι, τοῦ παιδὸς ὄπισθεν εἵπετο ἀνὰ τὸ τέμενος ἄγοντος, κἀν τούτῳ τοὺς διαύλους ἀνύοντος, δέκα δὲ ἦσαν ὡς φασὶν οἱ με-

tiam facientes, eiusque acriori ac maiori confusione insipientiam flagellantes. Itaque ipsi quidem egregii martyres his ad eum dictis, discesserunt.

Ille vero expergefactus, phantasma iterum dicere somnium formidabat, quod se certum tertia reddiderat visione; verum et hoc facere cogebatur amittendi causa languoris, et ne ad iram sine indulgentia contra se martyres commoveret. Igitur sagmate super humeros elevato, frenoque capiti et ori imposito, tintinnabulum in collo portabat, tergaque se per templum trahentis et in huius atriis incedentis pueri sequebatur, quae de-

τρήσαντες, τὸ μωρός εἰμι κράζων συχνότατα· πληρώσας οὖν τῶν ἁγίων τὴν κέλευσιν, σὺν τῷ σάγματι καὶ τῷ χαλινῷ καὶ τῷ κώδωνι, καὶ τὴν ἐπινώτειον νόσον ἀπέθετο, καὶ τὴν ῥῶσιν ἀνείληφεν, τὴν φίλην αὐτῶν τοῖς προστάγμασιν καὶ σύνδρομον τοῖς θεσπίσμασιν.

Ἐπελθούσης δὲ τῆς νυκτὸς, καὶ τὴν τῆς ἕω δεξαμένης φαιδρότητα, πάλιν Γεσίῳ καθεύδοντι οἱ θεῖοι παρίστανται μάρτυρες, καὶ τὴν εἰς αὐτοὺς ἁμαρτίαν χαριεντῶς πῶς αὐτὸν ἀνεμίμνησκον· ἐπειδὴ γὰρ λέγουσι πάντα τὰ πρὸς ἡμῶν τοῖς νοσοῦσι διδόμενα φάρμακα, τῶν πάλαι φθειρομένων ἰατρῶν εἶναι θέλεις εὑρήματα, λέγε ποῦ τὰ τοῦ πάθους τοῦ σοῦ βοηθήματα

cem erant ut aiunt qui haec dinumeraverunt, stultus sum, saepissime clamans. Cum ergo sanctorum iussionem complesset, cum sagmate, freno, et tintinnabulo, etiam dorsi languorem deposuit, et sanitatem resumpsit, quae facta est praeceptis sanctorum amabilis, eorumque sanctionibus comes.

Accedente vero nocte, et orientis succedente claritate, iterum dormienti Gesio divini assistunt martyres, et perpetratum in se peccatum ad ipsius reducebant gratulanter memoriam, asserentes, quia si omnia quae a nobis remedia languentibus tribuuntur, priscorum qui consumpti sunt

Ἱπποκράτης ὁ σὸς ἀνεγράψατο, ἢ Γαληνὸς ὁ παρὰ σοὶ θαυμαζόμενος εἴρηκεν; ποῦ δὲ ταῦτα Δημόκριτος ἔφησεν; ἢ τῶν ἄλλων τίς ᾀδομένων ἰατρῶν ἐμνημόνευσεν; καὶ εἰ ταῦτα παρ' αὐτοῖς εὕροις λεγόμενα, καὶ περὶ τῶν ἄλλων ἀληθεύσεις φθεγγόμενος· εἰ δὲ τοιοῦτον οὐδὲν ἐκείνους λέγοντας ἀποδείξειας, γίγνωσκε σαυτὸν καὶ περὶ τῶν ἄλλων ψευδόμενον· οἱ μὲν οὖν ἅγιοι οὕτω τὸν Γέσιον στηλιτεύσαντες καὶ συκοφάντην ἐμφανῶς διελέγξαντες, ἔλυσαν τὸ ἐνύπνιον.

Ὁ δὲ καὶ ὑπνῶν ὑπεφήνατο ἀντιλέγειν οὐδὲν ἔχων τοῖς μάρτυσιν, καὶ διυπνισθεὶς ἐξε-

medicorum vis esse inventiones, dic ubi passionis tuae Hippocrates tuus adiuvamenta descripserit? vel Galenus, qui apud te mirabilis perhibetur, dixerit? ubi etiam haec Democritus effatus fuerit? aut alius quisquam ex famosis medicis horum memoriam fecerit? Et si haec apud eos inveneris dicta, et de aliis quoque veritatem dices affatus. Quod si tale nihil illos dixisse probaveris, cognosce temet etiam de aliis extitisse mentitum. Itaque sancti cum taliter Gesium publicassent, et calumpniatorem esse liquido convicissent, somnium dissolverunt.

Ille vero etiam soporatus obmutuit, nihil habens in quo martyribus contradiceret: et cum evi-

πλήττετο, τεθηπὼς τὸν σοφώτατον ἔλεγχον· ὑμνήσας δ' οὖν ὅμως τῶν ἁγίων τὴν δύναμιν, καὶ θεόθεν αὐτοὺς ὁμολογήσας ἰᾶσθαι τοὺς πάσχοντας, τοῦ τεμένους αὐτῶν ἀνεχώρησεν· φασὶ δὲ καὶ Κοσμᾶν καὶ Δαμιανὸν τοὺς ἁγίους συνιατροὺς καὶ συμμάρτυρας τοιοῦτόν τι διαπράξασθαι, ὥσπερ καὶ τοῦ παραλύτου καὶ τῆς ἀλάλου γυναικός· οὐ μὴν ἀλλὰ καὶ τὸ τῆς ἑβραίας τῆς ἐχούσης τὸν κάρκινον ἔσω κρυπτόμενον, Κῦρος καὶ Ἰωάννης πεπράχασι· ἅπερ πολλοὶ ὡς χθὲς γεγονότα μέμνηνται καὶ κηρύττουσιν· ἀλλὰ ταῦτα μὲν ὡς καὶ τοῖς ἐκείνων ἐγγεγραμμένα θαύμασι παρεδράμομεν· τὸ παρὸν δὲ τεράστιον ὡς μὴ γραφὲν ἐν αὐτοῖς ἡμεῖς ἀνε-

gilasset, stupefiebat, sapientissimam redargutionem admirans. Hymnis ergo virtutem sanctorum praedicans, et divinitus eos sanare qui patiuntur confitens, ab eorum recessit basilica. Aiunt autem sanctos Cosmam et Damianum, horum conmedicos et conmartyres, tale quid peregisse, sicut etiam illud paralytici et mutae mulieris signum, nec non et hebreae quae cancrum habuerat intrinsecus occultatum, Cyrus et Iohannes egerunt; quae multi tamquam heri facta commemorant et praeconiis efferunt. Sed haec quidem, quae inter illorum scripta sunt miracula, transcurrimus; praesens vero prodigium quoniam scriptum

γράψαμεν· καὶ θαυμαζέτω μηδεὶς εἰ ἀλλήλοις οἱ ἅγιοι τὰ αὐτὰ διαπράττοντες θαύματα· ἐκ μιᾶς γὰρ πηγῆς Κῦρός τε καὶ Ἰωάννης, Κοσμᾶς τε καὶ Δαμιανὸς, Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἀρύονται τὰ ἰάματα, καὶ ἕνα δεσπότην ἔχουσί τε καὶ τιμῶσιν ἑκάτεροι, τὸν δι' αὐτῶν ἡμῖν τὰς θεραπείας δωρούμενον, καὶ δρῶντα τὰ πολύτροπα τέρατα· ὃν ὡς τῶν ὅλων θεὸν ὄντα ὑμνήσαντες, καὶ τοὺς μάρτυρας ὡς πιστοὺς αὐτοῦ γεγονότας θεράποντας, ἑτέρων θαυμάτων τὰς παραθέσεις ποιούμεθα.

in eis non est, nos merito scripsimus. Et nemo miretur si sancti vicenter * eadem patrent miracula: ex uno enim fonte Cyrus atque Iohannes, Cosmas et Damianus, Christi Dei nostri hauriunt, et unum Dominum habent, et honorant utrique, qui per eos nobis curationes donat, et multimoda gerit prodigia; quem hymnis, tamquam eum qui est omnium Deus, laudantes, et martyras veluti eius fideles famulos, aliorum miraculorum interpositiones faciamus.

* ita cod. pro *vicissim*.

λα. ΠΕΡΙ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΜΕΤΑ ΤΟ ΚΟΙΝΩΝΗΣΑΙ ΡΙΝΟΚΤΥΠΗΣΑΝΤΟΣ, ΚΑΙ ΠΑΡΑΧΡΗΜΑ ΤΥΦΛΩΘΕΝΤΟΣ.

Ὁ νεανίας Θεόδωρος ὁ τῆς παρούσης ἡμῖν διηγήσεως αἴτιος, μεγάλης ὠφελείας γίνεται πρόξενος τοῖς οὐ παρέργως τῶν λεγομένων ἀκούουσι· οὗτος γὰρ εἰς τὸ τῶν ἁγίων γενόμενος τέμενος, μετὰ τὴν τῶν ζωοποιῶν Χριστοῦ μυστηρίων μετάληψιν, ὅθεν οὐκ ἴσμεν κινούμενος, εἴ τέ τινος αὐτὸν πρὸς θυμὸν παροτρύνοντος, μανίᾳ μεγίστῃ φλεγόμενος, καὶ ζέων τῇ κινήσει τοῦ περὶ καρδίαν κοχλάζοντος αἵματος, οὐ λόγοις μόνοις τὸ θεῖον ὁ δείλαιος ὕβρισε δυσφημῶν ὁ τρισάθλιος, καὶ ὡς κατὰ συνδούλου τινὸς τὰς

31. DE THEODORO, QUI CUM COMMUNICASSET NASO SONITUM REDDIDIT, ET STATIM CAECUS EFFECTUS EST.

Adulescens Theodorus, qui praesentis nobis narrationis est auctor, magnae utilitatis efficitur causa his qui non transitorie quae dicuntur audierint. Hic enim in basilicam sanctorum veniens post vivificorum Christi sacramentorum perceptionem, unde motus nescimus, sive hunc quisquam ad furorem incitaverit, sive nemo exacerbaverit, insania maxima inflammatus est, et ardens motu sanguinis, qui circa cor ebullit, non solis infelix verbis divinitati blasphemans iniuriam intulit, et

λοιδωρίας ποιούμενος, ἀλλὰ καὶ τῇ διὰ ῥινῶν ἀναῤῥωφήσει τοῦ πνεύματος κτύπον ἀποτελῶν βροντῇ φοβερᾷ παραπλήσιον, τὸν φρίττειν εὐθὺς ἀναγκάζοντα, πάντας τοὺς παρόντας καὶ βλέποντας, καὶ τοῖς ὠσὶν ἀκουσίως ἀκούοντας· πολλοὶ δὲ τοῦτο χριστιανῶν διαπράττονται, βλασφημεῖν ὡς οἶμαι νομίζοντες, ἀγνοοῦντες δὲ παντελῶς τὸ πραττόμενον, ὅπερ ἀκριβῶς εἰ ἐγίνωσκον, οὐκ ἂν αὐτὸ μετὰ μυρίας βασάνους εἰργάσαντο.

Καὶ τάχα διασαφεῖν τὸ κακὸν οὐκ ἀνόνητον· ἴσως γάρ τινες μανθάνοντες αὐτοῦ τὴν ποιότητα, καὶ ὡς ἑλληνικῆς ἐστι δυσσεβείας ἐπάξιον εὕρημα, τῆς τοιαύτης ἑαυτοὺς φρενοβλαβείας

quasi adversus conservum quemquam maledictiones intorsit, sed et spiritu per nares sursum absorto, ex se sonitum reddidit, tonitruo terribili similem, qui horrere statim omnes coëgit, praesentes scilicet et intuentes, et invitis auribus audientes. Multi autem hoc christianorum gerunt, blasphemare quidem ut reor existimantes, quod autem agitur ignorantes; quod si certius novissent non utique id post tot milia tormentorum egissent.

Et forte hoc explanare malum, non est ineptum; fortassis enim eius nonnulli cognita qualitate, et quod gentili condigna impietate sit adin-

φυλάξαιντο· τοὺς ἕλληνας φησὶν ὁ Πορφύριος τὰς ἐναγεῖς θυσίας τοῖς εἰδώλοις προσφέροντας ῥινοκτυπεῖν ἐντονώτατα, ὁλκῇ βιαίᾳ καὶ δυνάμει τοῦ πνεύματος τὸν τοίονδε κτύπον προφέροντας, ὕμνον ποιεῖσθαι σεβάσμιον, ὡς ἐντεῦθεν πολλὴν ἔχειν τοὺς θύοντας ἄδειαν, καὶ τὴν ἅμιλλαν ζηλοῦν ἱκανώτατα, τίς ῥινοκτυπίᾳ νικήσει τὸν ἕτερον, ἵν' ὁ βέλτιστος πρῶτος ἀκούοιτο, καὶ δαίμοσιν ὑπάρχοι γλυκύτατος· αὕτη τῶν τοίωνδε κτύπων ἡ ποιότης καθέστηκεν πρὸς θεραπείαν δαιμόνων ὑπάρξασα· καὶ δαίμονας ἀκαθάρτους ὑμνεῖν λεληθότως τοὺς προειμένους αὐτὴν ἀναγκάζουσα· ὅθεν τοὺς ταύτην χρωμένους προτρέπομεν, μαθόντας αὐτῆς τὸ

ventio, a tali semetipsos sensuum laesione custodient. Gentiles immunda sacrificia idolis offerentes, vehementissime sonitum facere naso dicit Porphyrius, virtute valida spiritus et ingenti, et huiuscemodi sonitum proferentes, hymnum facere celeberrimum; ita ut hinc multam habeant hii qui sacrificant concertationem, quasi narium sonitu superet alterum, ut optimus primus audiatur, et daemonibus sit dulcissimus. Haec est horum sonorum qualitas, quae ad placationem daemoniorum inventa est, quaeque daemonas immundos sensim laudare cogit eos qui hanc sectantur. Unde qui hac utimini, cohortamur ut

βλαπτικὸν καὶ ὀλέθριον, ὡς ψυχοφθόρου λύττης ἀφίστασθαι· τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος; καὶ τὰ ἑξῆς.

Τούτῳ τῷ κτύπῳ Θεόδωρος τῷ βδελλυρῷ καὶ φιλειδώλῳ μετὰ τὴν τῆς ἀχράντου κοινωνίας βρῶσιν χρησάμενος, εὐθὺς ἐστερεῖτο τῶν ὄψεων καὶ τῶν ὀμμάτων ἐχήρευε, σύνδρομον τῇ δυσφημίᾳ τὴν τιμωρίαν εὑράμενος· καὶ τούτου συμβάντος ὡς ἔφημεν, τρόμος ἅπαντας τοὺς παρόντας ἐλάμβανεν, καὶ φόβος οὐχ ὁ τυχὼν ἐπεμένετο, μὴ καὶ αὐτοὶ τοῖς ὁμοίοις ἐμπέσωσι τοιαῦτα συχνῶς ἁμαρτάνοντες· καὶ δι' ἔθος τὴν πρᾶξιν οὐχ ἁμαρτίαν ἡγούμενοι· πολλά τε τῶν παρόντων ἕκαστος ἐξέχει δάκρυα Χριστὸν

cum eius laesionem perniciemque didiceritis, ab ea tamquam ab animarum corruptrice rabie recedatis, ne per hanc idololatrae constituamini. Quae enim communicatio luci ad tenebras? et cetera.

Hoc abhominando et idolis grato sono, post interemeratae communionis cibum Theodorus usus, mox privatus obtutibus, oculis destitutus est, concurrente cum blasphemia poena reperta; quo ut diximus accidente, tremor universos qui aderant comprehendit, et timor non qualiscumque depastus est, ne et ipsi laberentur in talia taliter crebro peccantes, et propter consuetudinem peccatum minime quod ageretur existimantes; multas-

ὑπὲρ ἑαυτοῦ καὶ τοὺς μάρτυρας ἱλασκόμενοι, καὶ τοῦ πεπονθότος χάριν δεόμενοι, ὅπως ὡς θεὸς οἰκτείρας τὸν ἄθλιον μετανοοῦντα προσδέξηται, καὶ διὰ τῶν ἁγίων πάλιν τὸ βλέπειν χαρίσηται.

Ἐπιφανέντες οὖν καθ' ὕπνους οἱ μάρτυρες τῷ τὴν ὅρασιν ἀπωλέσαντι, τίς σε φασὶν ἐργάτην ὦ ἄθλιε τοσαύτης μυσαρᾶς εἰργάσατο πράξεως; ἧς ἔδει παρὰ πάντα μὲν ἅπαντας τὸν βίον ἀπέχεσθαι, ὡς ἑλληνικῆς καὶ φίλης τοῖς δαίμοσιν· καὶ εἰ ἐν ἀγνοίᾳ ποιοῦνται ταύτην οἱ πλείονες, μάλιστα δὲ ταύτης τὴν ποίησιν ἔδει μυσάττεσθαι ὅτε Χριστοῦ τῶν μυστηρίων ἐφάπτονται· καὶ νῦν εἰ τῇ τρίτῃ ἡμέρᾳ παριόντος

que singuli praesentes lacrimas effundebant, Christum pro se ac martyres placatos facere procurantes, et ei qui passus fuerat gratiam imprecantes, quo tamquam Deus super misero misericordia motus, hunc paenitentem reciperet, et per sanctos iterum videre tribueret.

Apparentes ergo martyres in somnis ei qui visum amiserat, quis te inquiunt o miser operatorem tam execrandae operatus est actionis? a qua universos oportebat omnibus abstinere diebus, ut ut plures per ignorantiam faciant; praesertim cum huius opus tunc maxime oporteat abhominari, quando Christi sacramenta tanguntur. Et nunc si

τοῦ οἰκονόμου, καὶ μετὰ χεῖρας τὸ θυμιατήριον ἔχοντος καὶ θυμιῶντος τὸ τέμενος, ἴδοις τοῦ θυμιατηρίου τοὺς ἄνθρακας, καὶ τοῦ θυμιάματος καπνὸν ἀναθρώσκοντα, λυτρωθήσει τελείως τῆς μάστιγος, καὶ τὰς ὄψεις ἕξεις ἐῤῥωμένας ὡς πρότερον· εἰ δὲ μηδὲν ὧν ἔφημεν τριταῖος ἴδοις τοῖς ὄμμασιν, ἴσθι διηνεκῆ κερδάνας τὴν τύφλωσιν, καὶ μηκέτι τῶν ὁρατῶν τι θεώμενος· καὶ ταῦτα μὲν ὄναρ αὐτῷ προσεφθέγγοντο.

Ὁ δὲ στραφεὶς μετὰ τὴν ὅρασιν, μειζόνως ἑαυτὸν ἀπεδύετο, τὸ τῆς προθεσμίας στενὸν λογιζόμενος· ὅθεν συντονίᾳ πολλῇ τὰς δεήσεις ἀνέ-

tertia die praesente oeconomo et prae manibus turibulum retinente, incensique odoribus templum replente, turribuli videris prunas, et incensi fumum ad superiora salientem, a flagello perfecte liberaberis, ast si nil eorum quae diximus tertianus oculis videris, scito quod perpetuam lucrifacias caecitatem, et aliquid eorum quae videntur non sis ultra visurus. Et haec quidem in somnis ei profati sunt.

At ille post visionem conversus multo amplius se dementabat, praestituti temporis (1) secum an-

(1) Anastasius non *praestituti temporis*, sed *alacritatis* scribit in codice: quia loco προθεσμίας perperam legebat προθυμίας.

πεμπε ; καὶ δακρύων ὀχετοὺς οὐ στελλομένους κατέφερε, Θεὸν ἀντιβολῶν καὶ τοὺς μάρτυρας μέχρι τῆς τοῦ λεχθέντος καιροῦ συμπληρώσεως· εἶχε δὲ καὶ πάντας αὐτῷ τοὺς ἐν τῷ νεῷ συμπρεσβεύοντας, καὶ τὰς ὑπὲρ αὐτοῦ λιτὰς ποιουμένους σὺν δάκρυσιν, καὶ πληροῦντας φιλάδελφον πρόσταξιν, τὸ εὔχεσθαι ὑπὲρ ἀλλήλων ὅπως ἰαθῇ τε, καὶ δεχθείσης τῆς πάντων δεήσεως, ὁ Θεόδωρος τὸ βλέπειν ἀπείληφε, καὶ τὸ δέος ἀπέβαλε τῆς τυφλώσεως.

Χριστοδώρου γὰρ θυμιῶντος τῇ τρίτῃ τὸ τῶν ἁγίων μαρτύριον, οἰκονόμος γὰρ οὗτος ἐτύγχανεν, καὶ παριόντος ἔνθα τυφλὸς ὁ Θεόδωρος ἐκαθέζετο, ὡς μόνον αὐτοῦ τὸν τόπον τὸ φωτιστή-

gustiam reputans ; unde instantia multa preces mittebat, et lacrimarum rivulos indesinentes fundebat, Deum rogans et martyras, usque ad praedicti temporis consummationem ; habebat autem et omnes qui in templo erant secum intercedentes, et pro se litanias facientes cum lacrimis, atque fraterni amoris praeceptum perficientes, quod dicitur: orate pro invicem ut salvemini. Cumque deprecatio cunctorum accepta fuisset, Theodorus visum recepit, et timorem caecitatis abiecit.

Christodoro quippe tertia die incensum in sanctorum martyrio ponente ; hic enim oeconomus erat ; et transeunte ubi Theodorus caecus reside-

ριον ἔνθα ἦν κατέλαβε, τοὺς ἄνθρακας ἀθρόως ἐσκόπισε, καὶ τὸν εὐώδη καπνὸν ἀναβαίνοντα· καὶ φωνὴν ἀφεὶς διαπρύσιον δοξολογοῦσαν Χριστὸν καὶ τοὺς μάρτυρας, αὖθις ἅπαντας πρὸς φόβον καὶ χαρὰν διανέστησε· χαρὰν μὲν ὅτι παραδόξως ἀνέβλεψε, φόβον δὲ ὅτι παρόντας ἐδόκουν τοὺς μάρτυρας, καὶ πᾶν ἐκδικοῦντας παράπτωμα· καὶ πάντων ἀθροιζομένων ἰδεῖν τὸν Θεόδωρον, καὶ βοῆς γενομένης βαρείας καὶ μείζονος, ὁ Χριστόδωρος ἐξεπλήττετο· ἠγνόει γὰρ παντελῶς τὸ γινόμενον· καὶ γνοὺς τῆς τότε θαυματουργίας τὸ μέγεθος, καὶ σὺν τοῖς ἄλλοις ἅπασι καὶ Θεοδώρῳ τῷ τυφλωθέντι καὶ βλέψαντι, τὸν Χριστὸν μεγαλοφώνως ἐδόξαζεν,

bat, cum tantum ad locum in quo baptisterium erat pervenit, carbones et illum repente suavis odoris fumum ascendentem aspexit. Cumque vocem glorificantem Deum et martyres emisisset, omnes rursus ad timorem et gaudium erexit, gaudium quidem quoniam visum inopinate recepit; timorem autem, quoniam praesentes esse putabant martyras; et omnis ultores fore delicti. Cunctisque congregatis, videre Theodorum; et gravi maiorique vociferatione facta, Christodorus stupefiebat, ignorabat enim penitus quod factum fuerat: qui cum cognovisset tunc facti miraculi magnitudinem, et cum aliis omnibus quin et Theodoro,

καὶ τοὺς ἁγίους τοὺς Χριστὸν τοῖς θαύμασι μεγαλύνοντας· ἡμεῖς δὲ νῦν ὡς τότε παρόντες καὶ τὸ θαῦμα θεώμενοι, τοῖς δεδρακόσι τὰς ὑμνῳδίας προσάξαντες ἐπ' ἄλλο τέρας ἐμβριθέστερον ἄπειμεν.

λβ. ΠΕΡΙ ΑΓΑΠΙΟΥ ΤΟΥ ΕΛΛΗΝΟΣ.

Πολλοὶ τὸν ἀργυροπράκτην Ἀγάπιον ἴσασιν, οὐ πρᾶσιν ἀργύρου μόνον ποιούμενον, ἀλλὰ καὶ προφανῶς ἑλληνίζοντα, καὶ ξόανα σέβοντα, καὶ λατρεύοντα τῇ κτίσει παρὰ τὸν κτίσαντα, δι' ἣν βδελλυρωτάτην δυσσέβειαν ἐλεγχόμενος, ἐν τῇ βασιλίδι τῶν πόλεων συσχεθεὶς ἐκολάζετο·

qui cum caecus fuisset visum receperat, Christum magna voce glorificavit et sanctos qui Christum magnificant per miracula. Nos autem tanquam hii qui illic tunc praesentes affuimus, et miraculum ipsum conspeximus, eis qui hoc patraverunt hymnodias offerentes, firmiori et puriori animo ad aliud prodigium vadimus.

32. DE AGAPIO GENTILI.

Multi venditorem argenti noverunt Agapium, non tantum argentum vendentem, sed et manifeste gentiliter conversantem, et simulacra colentem, et servientem creaturae potius quam creatori; propter quam abhominandam impietatem

φεύγει δὲ παρ' ἐλπίδα τῆς δίκης τὴν μάχαιραν, οὐ μεταθέσει γνώμης, οὐδεὶς γὰρ ἂν ἐπεμέμψατο, ἀλλὰ χρυσίου πολλαῖς μεταδόσεσι ὅπέρ ἐστιν ἀθεώτατον· οὔτε φιλανθρωπίᾳ νόμων, ποῦ γὰρ τὸ πρὸς τοὺς οὐ μετανοοῦντας φιλάνθρωπον; ἐπεὶ μὴ τότε φιλανθρωπεύονται, ὅτ' ἂν οἱ πταίοντες τοῖς οἰκείοις ἐναπομείνωσι πταίσμασιν· ἀλλὰ φιλαργυρίᾳ τῶν ἐκδικούντων τὰ νόμιμα· πάντα γὰρ οὕτως ὑπακούεται τῷ χρυσίῳ, ὡς Σολομῶν ὁ σοφὸς ἀπεγράψατο· πλὴν εἰ καὶ δόσει χρημάτων τὴν ζωὴν ὁ τάλας ὠνήσατο, καὶ θάνατον τὸν τότε διέφυγεν, ἀλλὰ τὸ θεῖον φυγεῖν οὐ δεδύνηται, οὐδὲ δίκης ὄμμα παντέφορον.

in regia urbe convictus, et comprehensus, et poenis affectus est : fugit autem insperate iudicii gladium, non mutatione mentis, qua hunc nemo procul dubio reprehenderet, sed multis auri distributionibus, quod est penitus impium : neque misericordia legum ; ubi enim est misericordia circa eos qui non egerunt paenitentiam? Nam non tunc misericordiam consequuntur cum peccantes quique in propriis culpis permanserunt, sed avaritia eorum quibus commissa sunt defendenda legitima. Omnia enim obediunt auro, ut Salomon descripsit ille sapientissimus. Verumtamen licet dato * pecuniarum vitam infelix redemerit, et mortem quae tunc imminebat evaserit, divinitatem

* ita cod.

Ἀποδράσας οὖν τὸ Βυζάντιον μετὰ τὴν ἐκ τῶν φρουρίων ἀπόλυσιν, εἰς Ἀλεξάνδρειαν ἔρχεται, λανθάνειν ἐνθάδε νομίσας καὶ κρύπτεσθαι· ἠγνόει γὰρ ὁ βδελλυρὸς καὶ θεήλατος ἐκ τῆς περὶ τοὺς οἰκείους θεοὺς ὑπολήψεως, ὡς ἡ θεία πανταχοῦ καθέστηκε δύναμις, καὶ τὰ πάντα πληροῖ, τὴν οὐσίαν ἀπερίγραφον ἔχουσα, καὶ τὰ πάντα συνέχει, καὶ πάντων ἐστὶν ἐπέκεινα, ὡς αὐτὴ διὰ Ἡσαΐου φησὶν πρὸς τοὺς οἰομένους αὐτὴν ἐν τόπῳ βραχεῖ περιείργεσθαι· ποῖον οἶκον οἰκοδομήσηταί μοι, λέγει κύριος, ἢ τίς τόπος τῆς καταπαύσεώς μου; οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ; πρὸς ἣν ἅπαντα διὰ πολ-

tamen effugere non potuit, nec iudicii oculum qui omnia conspicit.

Byzantium ergo post absolutionem carcerum fugiens, Alexandriam venit, latere hic existimans et abscondi. Ignorabat enim abhominabilis et a Deo eiectus, ex opinione qua erga proprios tenebatur deos, quod divina ubique sit virtus, et omnia impleat, incircumscriptam habens substantiam, cunctaque contineat, et sit universorum superior; sicut ipsa per Isaiam dicit, adversus eos qui hanc in loco brevi opinabantur arceri *: quam domum aedificabitis mihi dicit Dominus? aut quis est locus requietionis meae? nonne caelum et terram ego impleo? Ad quam universa propter multam

* ita cod.

λὴν συγκατάβασιν συγκρινόμεμα, οὐρανὸς καὶ τὰ κατ' οὐρανὸν ἀγγέλων ἀναρίθμητα τάγματα, γῆ καὶ τὰ κατὰ γῆν ζῶα καὶ ἄνθρωποι, ἀὴρ καὶ ὄρνεα τὰ κατὰ τὸν ἀέρα πετόμενα, καὶ συλλήβδην εἰπεῖν ἅπαντα τὰ ὁρατὰ καὶ ἀόρατα, ὡς ῥοπὴ ζυγοῦ καθεστήκασι, καὶ ὡσεὶ σταγὼν ἀπὸ κάδου τυγχάνουσι, καὶ ὡς σιαλὸς ἐλογίσθησαν στόματος· τοῦτο γὰρ καὶ Δαβὶδ ἀκριβῶς ἐπιστάμενος ἔψαλλεν· ἐθαυμαστώθη ἡ γνῶσις σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν· ἧς τὸ μέγεθος ἐνδεικνύμενος, ἐπάγει καὶ φησίν· ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου; καὶ ἀπὸ προσώπου σου ποῦ φύγω; ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ εἶ· καὶ ἐὰν

condescensionem comparata, caelum videlicet, et qui in caelo sunt innumerabiles ordines, terra et quae in terra sunt animalia simul et homines, aër et aves quae per aërem volitant, mare et quae inhabitant in aquis, et ut breviter asseramus, visibilia et invisibilia, sicut momentum trutinae sunt, et veluti fluens a situla gutta consistunt, et ut saliva reputata sunt oris, et reputabuntur. Et hoc enim etiam David certissime sciens psallebat: mirabilis facta est scientia tua ex me, confortata est, non potero ad eam. Cuius magnitudinem ostendens subinfert, et dicit; quo ibo ab spiritu tuo? et a facie tua quo fugiam? Si ascen-

στρώσω εἰς τὸν ᾅδην, πάρει· ἐὰν ἀναλάβοιμι τὰς πτέρυγάς μου κατ' ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης· καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου.

Ὅθεν φυγὰς ὁ Ἀγάπιος, καὶ ἐν Ἀλεξανδρείᾳ γενόμενος, τὴν τῆς δίκης δεξιὰν οὐ διέφυγεν, ἀλλ' ὑπὸ ταύτης κατασχεθεὶς ἐκολάζετο· οὐ νόμοις παραδοθεὶς ὡς τὸ πρότερον· πάλιν γὰρ ἂν τὴν τιμωρίαν διὰ χρημάτων ἐξέφυγεν· πάντες γὰρ τὰ ἑαυτῶν ζητοῦσιν, οὐ τὰ Ἰησοῦ Χριστοῦ, κατὰ τὸν θεῖον ἀπόστολον· ἀλλ' ἀοράτως πληγεὶς πληγὴν χαλεπήν τε καὶ ἄφυκτον· νόσος δὲ ἦν ἡ πληγὴ κατὰ παντὸς εὐρυνομένη τοῦ σώμα-

dero in caelum, tu illic es; si descendero in infernum, ades; si sumpsero pennas meas ante lucem, et habitavero in postremis maris, etenim illuc manus tua deducet me, et tenebit me dextera tua.

Unde fugax Agapius Alexandriam veniens, congruum iudicium non evasit, sed ad hoc detentus poenis cruciabatur, non ut prius legibus traditus; alioquin poenam iterum per pecunias effugisset. Omnes enim quae sua sunt quaerunt, non quae Iesu Christi, secundum divinum apostolum. Sed invisibiliter plagatus plaga saeva et inevitabili; languor enim erat plaga illa per totum cor-

τος, ἣν ἀσκληπιάδαι προσαγορεύουσι πάραισιν· καὶ τοῦτο δὲ φεύγειν ἠλπικὼς τὸ ἀῤῥώστημα, οὐ γὰρ δίκης ἔργον τὸ πάθος ἐνόμιζεν, ἀλλὰ σύμπτωμα σώματος, συχνῶς τοὺς ἰατροὺς μετεστέλλετο· οἱ δὲ παραγενόμενοι τὰ τῆς τέχνης ἐπ' αὐτῷ διεπράττοντο, εἰδότες μὲν ὡς οὐ ζήσεται οὐδὲ τοῦτο φύγοι τὸ νόσημα, ἀλλ' ἐλπίδι μισθῶν ἀπατῶντες τὸν ἄθλιον.

Ὡς δὲ χρόνος προέβαινεν, καὶ τὸ πάθος προέκοπτε, ὥστε καὶ τῆς γλώττης τὴν πάραισιν ἅπτεσθαι ἥτις λοιπὸν τῇ μάστιγι διελέλυτο, φωνὴν ἔτι διαρθροῦν οὐκ ἰσχύουσα· καὶ τὸν βίον αὐτὸς οὐκ ἐξήρχετο, ἀλλ' οὕτω δεινῶς ἐκολάζετο· συμβουλεύεται πρός τινων πρὸς Κῦρον ἐλ-

pus extensa, quam asclepiadae paralysin nuncupant. Et hunc quoque languorem fugere sperans, crebros medicos advocabat, non enim adversionis * opus passionem esse putabat, sed corporalem eventum. Qui venientes, quae artis erant in eo gerebant; quod quidem non victurus esset, nec languorem effugiturus scientes, sed miserum in mercedum spe decipientes.

Cumque annus processisset, et passio profecisset, ita ut et linguam quoque paralysis tangeret, quae iam tanto solvebatur flagello, vocem non valens articulatam depromere, licet ipse non vita excederet, sed atrociter puniretur, consilium a qui-

* ita cod.

θεῖν καὶ Ἰωάννην τοὺς μάρτυρας, ὡς δυναμένους αὐτὸν τοῦ πάθους λυτρώσασθαι, εἰ μετὰ πίστεως αὐτοὺς καὶ δακρύων ἀφίκοιτο· ὁ δὲ δειλαίνων μήπως αὐτὸν ὡς ἕλληνα κρίνωσιν, εἰς τοὺς ἁγίους ἐλθεῖν μὴ βουλόμενον, ὑπεκρίνετο γὰρ τὸν χριστιανὸν ὁ ἐπάρατος, καὶ τὸ τοῦ προβάτου περιεβάλλετο κώδιον, εἰ καὶ λύκος ἀληθῶς ὁ δυσσεβὴς ἐγνωρίζετο, τὴν βουλὴν εἰσεδέξατο, καὶ τὴν ἔξοδον ἐπένευσε γίνεσθαι, λανθάνειν μὲν διὰ τούτου τοὺς ἀνθρώπους οἰόμενος, ἀπατᾷν δὲ νομίζων τοὺς μάρτυρας, ὡς γνῶσιν τῶν καθ᾽ ἡμᾶς οὐκ ἔχοντας ἔνθεον· ἀλλὰ τούτους κατὰ τοὺς ἑαυτοῦ θεοὺς λογισάμενος, τοὺς μὴ μόνον τὰ πόῤῥωθεν ἢ τῶν ἀνθρώπων τὰ κρύφια, ἀλλ᾽ οὔτε τὰ κείμενα παρὰ πόδας

busdam accepit ad Cyrum Iohannemque martyras properandi, tamquam qui possent a passione se liberare, si cum fide ad eos et lacrimis accessisset. At ille maledictus timens nequando eum tamquam paganum iudicarent, ad sanctos venire nolentem, simulabat enim se esse christianum, et pelle tegebatur ovina, licet lupus veraciter impius nosceretur, consilium admisit, et exitum fieri annuit, latere per hoc homines opinatus, et seducere martyras arbitratus, tamquam deificam nostri scientiam non habentes, sed hos similes diis suis existimans, qui non solum quae procul sunt

γινώσκοντας· " τὰ γὰρ εἴδωλα τῶν ἐθνῶν ἀρ-
„ γύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων·
„ στόμα ἔχουσι, καὶ οὐ λαλήσουσι· ὀφθαλμοὺς
„ ἔχουσι, καὶ οὐκ ὄψονται· ὦτα ἔχουσι, καὶ
„ οὐκ ἐνωτισθήσονται· χεῖρας ἔχουσι, καὶ οὐ ψη-
„ λαφήσουσιν· πόδας ἔχουσι, καὶ οὐ περιπα-
„ τήσουσιν· οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐ-
„ τῶν· οἷς ἐπενεγκεῖν ἐστὶν ἀκόλουθον καὶ τὸ
„ ὅμοιον αὐτῶν γένοιντο οἱ ποιοῦντες αὐτὰ, καὶ
„ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς „.

Ἥλω τοίνυν ὁ δείλαιος ἑαυτὸν οὐ τοὺς μάρτυρας, καὶ λανθάνων ἑαυτὸν οὐ τοὺς ταύτην ἔχοντας περὶ αὐτοῦ τὴν ὑπόληψιν· γενόμενος γὰρ εἰς τὸ Κύρου καὶ Ἰωάννου θειότατον τέ-

vel abdita hominum, sed nec ea quae in praesentiarum sunt norunt. Simulacra quippe gentium argentum et aurum opera manuum hominum, os habent et non loquentur, oculos habent et non audient, nares habent et non odorabunt, manus habent et non palpabunt, pedes habent et non ambulabunt, non clamabunt in gutture suo. Quibus est subinferre conveniens etiam illud: similes illis fiant qui faciunt ea, et omnes qui confidunt in eis.

Deprehendebatur igitur miser se ipsum seducens non martyras, seque latere faciens et non eos qui hanc opinionem habebant de ipso. Cum

μενος ἔβλεπεν ἐν σχήματι Χριστοδώρου τοῦ τὴν διοίκησιν ἔχοντος τὸν νεὼν περιάγοντας καὶ θυμιῶντας Θεῷ θυμιάμασι· παρ' αὐτῷ δὲ γεγονότας, ἀπειλητικότερόν πως αὐτῷ διαλέξασθαι· τί πρὸς ἡμᾶς ὁ πάσης εὐσεβείας ἀλλότριε, καὶ πάσης βδελλυρίας ἀνάπλεε παραγέγονας; χλευάζειν καὶ ἡμᾶς εἰσελήλυθας; μὰ τὸν οὐρανοῦ καὶ γῆς ποιητὴν καὶ οἰκήτορα καὶ τὴν ἐνθάδε καὶ πανταχοῦ τῆς αὐτοῦ θεότητος δύναμιν, οὐ μὴ φύγοις ἡμᾶς ὡς ὑπέλαβες, ἀλλ' ἐπὶ νῶτόν σε δημοσίως μαστίξομεν, ἵνα γνοίης σαφέστερον τίσιν ἐμπαίξαι τετόλμηκας· καὶ ταῦτα προσαπειλήσαντες ἀπῆλθον οἱ ἅγιοι.

enim ad Cyri et Iohannis sacratissimam venisset basilicam, hos dormiens intuebatur in habitu Christodori dispensationem habentis ecclesiae, per templum incedentes et Deo adolentes incensa, ad se vero accedentes, et minis acrioribus quodammodo sibi loquentes atque dicentes: quid ad nos o totius pietatis aliene, omnique abhominatione plene venisti? Deridere etiam nos advenisti? Per caeli et terrae creatorem et habitatorem, et deitatis eius quae hic est et ubique virtutem, non nos fugies, ut aestimasti, sed super dorsum te publice flagellabimus, ut cognoscas liquidius quibus fueris ausus illudere. Et cum haec adversus eum sancti intimassent, abierunt.

Ὁ δὲ στραφεὶς ἔμφοβος ἔτι καὶ ἔντρομος, νεύμασιν ἅπαντα καὶ ψελλίσμασιν τοῖς διακονουμένοις αὐτῷ διεσάφησεν· καὶ τοῦ οἰκονόμου κατὰ τὸν καιρὸν παριόντος τοῦ θυμιάματος, καὶ τὸ θυμιατήριον ἔχοντος, ἔχων τῆς ἀπειλῆς τὸ δέος ἐγκάρδιον, στρέφειν αὐτὸν τῷ ὑπηρέτῃ διέταξε· καὶ στραφεὶς ὡς διένευσε τοῖν Χριστοδώρου ποδοῖν παρ' αὐτῷ γεγονότος ἐδόξατο, καὶ μὴ μαστίζειν ἱκέτευε· αὐτὸς γὰρ ᾤετο τοὺς κατ' ὄναρ αὐτὸν μαστιγοῦν ἀπειλήσαντας· ἀγνοῶν δὲ ὁ Χριστόδωρος, πάντα γὰρ πρὸς τοῦ παιδὸς ἔμαθεν ὕστερον, ἐθαύμαζε μὲν τὸ λεγόμενον, μὴ τύπτειν δὲ αὐτὸν ὡς ἱκέτευεν ὤμοσεν.

Μετ' οὐ πολὺ δὲ τοῖς ἀσθενέσιν ὅστις ὑπῆρ-

At ille cum timore quin et tremore conversus, innuendo et balbutiendo cuncta obsequentibus sibi disseruit; et cum dispensator hora incensi transiret, et turibulum retineret, habito in praecordiis pavore minarum, vertere illum ministro praecepit; et versus cum respexisset, Christodori pedes qui ad eum venerat apprehendit, et ne flagellaret se supplicabat, ipsum enim opinabatur esse qui se in somnis flagellaturus comminabatur. Ignorans autem Christodorus, omnia enim a puero didicit, mirabatur quidem quod dicebatur, non autem percutere illum, ut supplicaverat, iureiurando spopondit.

χεν γιγνώσκεται· καὶ γὰρ τὴν τῶν ζωοποιῶν ἀπηρνεῖτο μυστηρίων ὡς ἐν αἱρέσεως σχήματι ποιεῖσθαι μετάληψιν· καὶ παρὰ τῶν ἐν τῷ νεῷ θόρυβος κατ' αὐτοῦ πολὺς διηγείρετο· ὃς τοῦτο μαθὼν, καὶ θέλων ἀποτρίψασθαι τὴν ὑπόνοιαν, τῶν ἁγίων Χριστοῦ μυστηρίων μετέλαβε· καὶ θᾶττον μετὰ τὴν τούτων μετάληψιν, δαίμων ἄγριος εἰς αὐτὸν εἰσεπήδησεν, ὥσπερ καὶ εἰς τὸν προδότην Ἰοῦδαν ὁ σατανᾶς μετὰ τὸ λαβεῖν αὐτὸν τὸ ψώμιον ὅπερ ὁ σωτὴρ ἐπέδωκεν ἐμβάψας εἰσήλατο· καὶ χαμαὶ κείμενος ἐσπαράττετο, καὶ τοὺς ὀφθαλμοὺς διεστρέφετο, καὶ τὰ μέλη χαλεπῶς ἐλυγίζετο, καὶ τοὺς ἀφροὺς ἐκ τοῦ στόματος ἐπεμπε κῦμα θαλάττιον ἐλεει-

Post non multum vero temporis infirmus quis esset innotuit : recusabat enim in haereseos quasi schismate positus vivificorum participari mysteriorum ; et susurrium adversus eum multum excitabatur ; quo ille comperto , suspicionem volens detergere , sancta Christi suscepit mysteria. Postque horum perceptionem , statim in eum agrestis daemon insiliit , quemadmodum satanas in Iudam proditorem , cum accepisset buccellam quam Salvator tradidit cum intinxisset , introiit ; et in terra iacens discerpebatur , et oculos reversabat , et membra saevius contorquebat , et spumas ex ore dimittebat , fluctum marinum miserabiliter imi-

νῶς ἐκμιμούμενος· καὶ νήφων μὲν ἐξ ὀλίγου, εἴπερ ἄρα καὶ ἔνηφε, λαλεῖν δὲ παντελῶς ἢ τὴν γλῶτταν ὅλως κινεῖν οὐκ ἠδύνατο· ὑπὸ τοῦ δαίμονος δὲ στρεβλούμενος, καὶ συνεχῶς ἐνεργούμενος, οὐ μὴν ἀλλὰ κοιμώμενος, εἴπερ ἐκάθευδε, μὴ πίστει προσελθὼν ἀλλ' ὑποκρίσει τοῖς μυστηρίοις ἠλέγχετο.

Τρεῖς γοῦν οὕτω διανύσας ἡμέρας ὁ ἄθλιος, καὶ πολλάκις τῆς ἡμέρας καὶ τῆς νυκτὸς, μᾶλλον πανημέριον καὶ παννύχιον σπαραττόμενος, καὶ πάντα πάσχων ὅσα πάσχουσιν οἱ δαίμοσι στυγηροῖς πιεζόμενοι, θανάτου πίστιν τοῖς ὁρῶσι παρείχετο· ὅθεν οἱ τούτῳ προσήκοντες ἐγνωκότες ὡς θᾶττον ὑπὸ τοῦ δαίμονος ἀναιρεθήσε-

tatus; et cum vigilaret paululum, si tamen veraciter vigilabat, loqui modis omnibus vel linguam movere prorsus non poterat; a daemonio vero contortus, et iugiter passus, quin etiam et dormiens, si tamen dormiebat, non fide accessisse ad sancta mysteria, sed simulatione arguebatur.

Tres ergo cum infaustus ita dies transisset, et saepe tam interdiu, quam noctu, immo tota die totaque nocte discerperetur, cunctaque pateretur, quotquot pati consueverunt hii qui a perosis daemonibus deprimuntur, mortis fidem videntibus praestitit: unde hii, quorum intererat, agnoscentes quod citius a daemone foret interimendus, re-

ται, ἀναλαβόντες αὐτὸν ἦγον εἰς Ἀλεξάνδρειαν εἰς οἶκον τὸν ἑαυτοῦ τεθνηξόμενον· ἐξελθὼν δὲ τῶν ἁγίων τὸ τέμενος, καὶ βραχὺ λίαν ὁδεύσας διάστημα, σὺν ὀδύνῃ πολλῇ τὸ πνεῦμα παρέδωκεν, τῆς δυσσεβείας ἄξιον εὑράμενος θάνατον, τοῦ δαίμονος αὐτὸν κατὰ τὴν ὁδὸν ἀποπνίξαντος· καὶ τὸν μὲν νεὼν καταλέλοιπεν ὡς μυαρός τε καὶ βέβηλος ἐλαυνόμενος, καὶ τὴν πόλιν αὐτὴν οὐχ ἑώρακεν, ὡς ταύτης ὑπάρχων ἀνάξιος· καὶ οὕτω μὲν Ἀγάπιος εἰς θεὸν δυσσεβήσας καὶ μάρτυρας, τὸν βίον κατέστρεψε· καταστροφὴ γὰρ ὄντως ἀσεβοῦς τοιαύτη κατὰ τὸ λόγιον, καὶ ἡ ἐλπὶς αὐτοῦ ἀπολεῖται, καὶ οὐκ ἔσται αὐτοῦ τὸ παράπαν ἡ δίαιτα.

ceptum eum deportabant in Alexandriam, in domo propria moriturum. Cum autem sanctorum templum exisset, et brevi valde intervallo profectus esset, cum dolore multo spiritum tradidit, condignam impietate mortem inveniens, suffocante hunc in via daemonio. Et certe templum quidem ut scelestus et profanus pulsus dimisit, et civitatem ipsam ut hac indignus non vidit. Et sic quidem Agapius in Deum et in martyras impie peccans, vitam dissolvit. Talis enim veraciter est impii eversio, secundum divinum eloquium; et spes eius peribit, et non erit eius penitus habitaculum.

Ἡμεῖς δὲ καὶ δι' αὐτοῦ καὶ τῶν πρὸ αὐτοῦ τὴν μαρτυρικὴν τὴν ἐπὶ τοῖς μετανοοῦσιν καὶ τοῖς οὐκ ἐπιστρέφουσιν ὑπογράψαντες, καὶ πρὸς ὄνησιν τῶν εὐσεβούντων κηρύξαντες· ἵνα μὴ μόνας τὰς ἰάσεις θεώμενοι ἀργοτέρους πρὸς ἄμυναν τοὺς μάρτυρας οἴοιντο, καὶ ταύτῃ βλαβῶσι διάνοιαν, πρὸς καταφρόνησιν καὶ ῥᾳθυμίαν ἐκκλίναντες· καὶ ὕμνους ὑπὲρ τῆς ἐντεῦθεν ὠφελείας αὐτοῖς προσκομίσαντες ἕτερα δύο ἢ τρία θαύματα τερπνότερα γράψαντες, τέλος τῶν ἐπ' Ἀλεξανδρεῦσι γραφέντων τεράτων οὐ γεγονότων μόνον αὐτὰ ποιησώμεθα· ἵνα πέρασι ταῦτα τερπνοῖς ὁριζόμενα, ἅπαντα τερπνὰ τοῖς ἐντυγχάνουσι φαίνοιντο· τέρποντα μὲν τοῖς ἔμπροσθεν,

Nos autem et in isto et in his qui praecesserunt, id est tam in his qui egerunt, quam qui non egerunt paenitentiam, martyricam describentes virtutem, et ad profectum pie agentium praedicantes, ut non solas sanitates videntes, tardiores ad vindictam martyras opinentur, et hoc modo propter ignorantiam laedantur, ad contemptum et desidiam inclinati; et hymnos pro utilitate hinc facta eis offerentes, alia duo vel tria miracula iocundiora scribentes, finem eorum quae in Alexandrinis facta sunt prodigiorum efficiemus. Non tamen ibidem sola facta sunt quae scribentur, quo terminis haec delectabilibus definita;

τοῖς παροῦσι δὲ μικρὸν ὑποστύφοντα· καὶ πάλιν τοῖς μὲν ἡδέσι τὰ τῶν ἀκουόντων ψυχὰς θεραπεύοντα, τοῖς δὲ στυπτικωτέροις ταῦτα ἀνεπαισθήτως καθαίροντα· ὡς καὶ τῶν ἀσκληπιάδων οἱ δόκιμοι πράττουσιν· μέλιτι γὰρ τὰ δεκτικὰ καὶ ὀφέλιμα τῶν φαρμάκων συνδήσαντες ἤτοι προσμίξαντες, τοὺς δεομένους καθάρσεως ἐκκαθαίρουσιν· τούτους οὖν καὶ ἡμεῖς ἐνθάδε μιμούμενοι, τοῖς προλαβοῦσιν ἡδέσι τὰ παρόντα δεκτικὰ προσποιήσαντες, ἑτέροις ταῦτα τερπνοῖς συγκαλύψωμεν· τέλος τὰ τερπνὰ τῆς εἰς ἀλεξανδρέας θαυμάτων συγγραφῆς, οὐ θαυμάτων ἐνεργείας ποιούμενοι.

omnia delectabilia his qui legerint videantur; delectabilia quidem prioribus, praesentibus autem modicum non sine causa severa, et iterum posteros iocundari facientia; cum suavibus quidem audientium animas curent, et a severioribus sensum expurgent; sicut etiam asclepiadae probabiliter agunt: cum melle namque mordacia et profutura remedia commiscentes, eos qui purgatione egent emundant. Nos ergo et hos hic imitantes, et praecedentibus suavibus praesentia mordacia commiscentes, aliis haec iocundioribus contegamus, finem facientes delectabilem, non omnium conscriptionis miraculorum, eorum sed miraculorum tantum apud Alexandrinos gestorum.

λγ. ΠΕΡΙ ΚΟΣΜΙΑΝΗΣ ΑΠΙΟΥΣΗΣ ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΤΟΥ ΕΥΞΑΣΘΑΙ ΚΑΙ ΠΕΣΟΥΣΗΣ ΕΚ ΤΟΥ ΑΛΟΓΟΥ ΚΑΙ ΣΥΝΤΡΙΒΕΙΣΗΣ ΤΟ ΣΩΜΑ.

Ἡδὺ καὶ τὸ παρὸν ἡμῖν θαῦμα καθέστηκεν, ὅπερ ἐπὶ γυναίῳ τινὶ Κοσμιανῇ τοὔνομα τοῖς μάρτυσι γέγονε· καὶ τάχα καλῶς μετὰ τὴν τῶν αὐστηροτέρων ἀγγελίαν ἀπήντησεν, ἵνα τὴν ἐκεῖθεν δοκοῦσαν ἔσεσθαι λύπην ἡμῖν, ὥσπερ ἐπὶ σπόγγου τινὸς παρελθὼν ἀναμάξηται· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ἵνα ὥσπερ ἀπὸ γυναίων τῶν ἀνιώντων ἡ διήγησις ἤρξατο, οὕτω καὶ τῶν ἡδόντων ἡ γραφὴ ἀρχὴν ἔχει πάλιν τὰ γύναια· οὕτω γὰρ καὶ ὁ κύριος μετὰ τὴν ἀνάστασιν φαίνεται πρώταις γυναιξὶ τὸ χαῖρε δωρούμενος, ἐπειδὴ καὶ πρώταις αὐταῖς μετὰ τὴν ἐν παρα-

33. DE COSMIANA, QUAE AD SANCTOS ORATUM ABIT, ET DE IUMENTO CECIDIT, CORPUSQUE CONTRIVIT.

Suave nobis etiam praesens extitit miraculum, quod a sanctis in muliere quadam Cosmiana nomine factum est, et fortassis austeriorum recitationi occurrit, ut tristitiam quae illinc nobis fore putabatur, cuiusdam spongiae more detergeret; et non tantum hoc, sed ut sicut a tristibus mulierum narratio coepta est, ita etiam laetorum scriptura inceptionem feminas habeat. Sic enim et Dominus post resurrectionem apparens, primo avete mulieribus donat, quoniam primo eis

δείσῳ παράβασιν, τὰ τῆς λύπης ἐφθέγξατο ῥήματα· τοῦτο κρίνας αὐτὸς δικαιότατον, ἵνα πρῶται τὸ λυπεῖσθαι δεξάμεναι, αὐταὶ πρῶται καὶ τὸ χαίρειν κομίσωνται, καὶ μὴ ᾖ σχίσμα ἐν τῷ σώματι κατὰ τὸν Θεῖον ἀπόστολον, τὸν κεφαλὴν μὲν γυναικὸς τὸν ἄνδρα καλέσαντα, ἀνδρὸς δὲ σῶμα τὴν γυναῖκα θεσπίσαντα· καὶ μήτε γυναῖκα χωρὶς ἀνδρὸς, μηδ' ἄνδρα χωρὶς γυναικὸς τὸ πᾶν εἶναι σῶμα βουλόμενον· ἢ τὸ μὲν τοῦ σώματος τὸ χαίρειν, τὸ δὲ τὸ λυπεῖσθαι πρῶτον ἐδέξατο.

Οὐκοῦν παρεῖτο τὸ γύναιον· και ὥσπερ Ἀθανασία πρώτη τῶν λυπεῖν δοκούντων θαυμάτων γεγένηται, οὕτω καὶ Κοσμιανὴ πρώτη τῶν ἐχόν-

post factam in paradiso transgressionem tristitiae verba pronunciavit. Hoc iudicans ipse iustissimum, ut quae primae tristari susceperant, ipsae quoque primae gaudere perciperent, et nec esset schisma in corpore, secundum divinum apostolum, qui caput mulieris virum vocavit, et viri corpus mulierem sanxit; et neque mulierem sine viro, neque virum sine muliere, corpus fore vult universum, cum alterum quidem corporis gaudium, alterum vero tristitiam prius susceperit.

Ergo assit mulier, et sicut Athanasia miraculorum prima, quae tristare videntur, effecta est, ita et Cosmiana prima eorum quae magnanimi-

των τὸ εὔθυμον γίγνοιτο· ἔῤῥωτο τοίνυν αὕτη τῷ σώματι, καὶ πάθος οὐδὲν ἔσχεν ἢ νόσημα· κατ' οἶκον δὲ διατρίβουσα, πόθον ἔσχεν ἐλθεῖν εἰς τοὺς μάρτυρας, καὶ προσκυνῆσαι τούτων τὰ λείψανα, καὶ τὴν βρύουσαν ἀπ' αὐτῶν εὐλογίαν καρπώσασθαι, καὶ πληρῶσαι τὸν πόθον ἐθέλουσα, ἐπ' ὄνῳ μικρὸν ἀτάκτῳ καθίσασα, πρὸς τὸ τέμενος ὥδευε· ταύτην ὁ τοῦ φθόνου πατὴρ θεασάμενος, σὺν πόθῳ πλείονι πρὸς τοὺς ἁγίους ὁρμήσασαν, μεγάλην αὐτὸς τὴν ζημίαν ὑφέξειν ἐνόμιζεν, εἰ μετὰ τοσαύτης σπουδῆς καὶ θερμότητος εἰς τὸν ναὸν τὸν θεῖον ἀφίκοιτο, καὶ μὴ καθ' ὁδὸν ταῖς πονηραῖς αὐτοῦ παγίσι προσκόψασα, ποιήσαιτο τὴν ἐπάνοδον, μήτε τὸν σηκὸν ἰδοῦσα τὸν ἔνθεον, μήτε τὸ σέ-

tatem habent, efficiatur. Itaque incolumis erat haec corpore, et passionis nil habebat. Porro domi degens, desiderium habebat venire ad martyras, et adorare horum reliquias, ac emanante ab illis benedictione potiri. Et adimplere desiderium volens, cum pauxillum supra inquietum sedisset asinum, ad templum iter agebat. Hanc invidiae pater cum multo ad sanctos amore properare videns, magnam se putabat sustinere iacturam, si cum tanto studio et calore ad divinum templum ipsa pertingere potuisset, et non in itinere in magnos laqueos eius offendens reditum faceret, neque dei-

βας δοῦσα τὸ πρόσφορον, μήτε τὸ δῶρον λαβοῦσα τὸ τίμιον· λυποῦσι γὰρ αὐτὸν καὶ δάκνουσιν ἅπαντα τὰ τὸν Θεὸν ὡς ἀγαθὸν θεραπεύοντα, καὶ τοὺς φιλοθέους ἀνθρώπους εὐεργετοῦντα καὶ σώζοντα.

Ὅθεν ἐπὶ τὰ μέσα τῆς ὁδοῦ τὸ γύναιον ὡς ἴδε γενόμενον, ῥίψας ἀθρῶον τὸ φέρον αὐτὴν ὑποζύγιον ἐπ' ἔδαφος ἤνεγκεν εἰς τοὐπίσω πεσεῖν, καὶ τὸν νῶτον ἡγεῖσθαι ποιήσας τοῦ πτώματος, ὃ φορᾷ σφοδροτέρᾳ φερόμενον τῇ γῇ προσραγὲν, ὅλον εὐθὺς συνετρίβετο, καὶ νεκρὰν ἐπὶ πολὺ τὸ γύναιον ἔδειξεν· τάχα δ' ἂν καὶ πρὸς τάφον παρέπεμψεν, εἰ μὴ τοὺς μάρτυρας ἀναψύχοντας εὕρισκε· καὶ θανοῦσαν σχεδὸν ἀνε-

fica confessione visa, neque cultura data, neque munere pretioso impenso. Tristem quippe hunc reddunt, et mordent omnia quae Deum tamquam benignum placant, hominibusque Dei amicis beneficia praestant, et salutis argumenta.

Unde cum ad medium itineris mulierem venisse vidisset, iactato repente subiugali, quod portabat eam, ut in terram retrorsum caderet impulit, et ut dorsum ante alias partes corporis illisum rueret, fecit. Quod cum impetu validiori deferretur in terram, illisum est, et totum confestim contritum, mortuamque diutius mulierem demonstravit; fortassis et ad sepulchrum misisset,

γείροντας καὶ ζωὴν πάλιν ταύτην παρέχοντας· μετὰ πολὺν γοῦν αὐτὴν ἀνανήψασαν, ἐτέθνήκει γὰρ τῷ ῥοιζῷ τότε τοῦ πτώματος, καὶ πάντα αὐτῇ τὰ ὀστᾶ διελέλυτο, εἰς πόλιν ἀποστρέφειν οἱ συνόντες ἠβούλοντο, ἵνα θερμὰ φησὶν ἔχουσαν ἔτι τὰ τραύματα, πρὸς ἰατροὺς ἀπενέγκωσιν, καὶ μὴ μετὰ ψύξιν καὶ νέκρωσιν· δοκοῦσιν γὰρ τὰ τῶν τραυμάτων θερμότερα, καὶ πρὸς ἴασιν ἑτοιμότερα, καὶ μήτε τοσοῦτον ἰατροῖς παρέχειν τὸν κάματον, μήτε μὴν ἄλγος ἐμποιεῖν τοσοῦτον τοῖς πάσχουσιν, ὅσον τὰ μετὰ πλῆξιν ψυχούμενα καὶ βραδύνοντα δέξασθαι φάρμακον· ἡ δὲ τὴν ἐκκοπὴν τῆς εἰς τοὺς ἁγίους

nisi refrigerantes martyras invenisset, et paene mortuam erigentes, et vitam iterum concedentes. Post multum ergo, cum illa recreata paululum respirasset, mortua enim erat prae magno impetu casus, et omnia ossa eius fuerant dissoluta, in civitate qui simul aderant repedare volebant, ut dum calida inquiunt habet adhuc vulnera, ad medicos referatur, et non post congelationem et mortificationem; videntur enim calidiora vulnera, et ad sanandum magis esse facilia, et medicis tam magnum non praestare laborem, neque tantum his qui patiuntur inferre dolorem, quantum quae post percussionem frigescunt, et admittunt tarde remedia. Quae impedimentum profectionis ad san-

ἀφίξεως, δαίμονος ἔργον εἶναι νοήσασα, πάλιν νοστεῖν οὐκ ἠνέσχετο, πρὸ τῆς τοῦ πόθου πληρώσεως· πάλιν οὖν ἐπὶ τὸ κτῆνος αὐτὴν μετὰ δυσχερείας πολλῆς ἀνενέγκαντες, ἔμπροσθέ τε καὶ ὄπισθε, μετὰ πολλῆς ἀσφαλείας κατέχοντες, διὰ τὸ παντελῶς αὐτὴν κατέχειν ἑαυτὴν ἐπ' ἀλόγῳ μὴ δύνασθαι, σὺν κινδύνῳ πολλῷ πρὸς τοὺς μάρτυρας ἤγαγον· καὶ προσευξαμένην αὐτὴν, καὶ τὴν αὐτῶν σορὸν προσκυνήσασαν, ἐπὶ τὸ ἄστυ πάλιν εἰσήνεγκαν, παραμένειν τῷ νεῷ μέχρι ῥώσεως οὐ θελήσασαν· ἀλλὰ τοῦτο πρὸς τοὺς ἁγίους ἀστειώτατα λέξασαν.

Πολλοὶ μὲν, ὦ Χριστοῦ μιμηταὶ καὶ θεράποντες μάρτυρες, νοσοῦντες πρὸς ὑμᾶς ἀφι-

ctos agendae, daemonis esse opus intelligens, redire nullatenus patiebatur ante desiderium adimpletum. Rursus ergo eam supra iumentum cum multa difficultate imponentes, anteque ac retro cum ingenti cautela retinentes, eo quod continere se ipsam supra iumentum nullo modo posset, cum multo periculo ad martyras adduxerunt. Et cum orasset, eorumque tumulum adorasset, in urbem hanc iterum introducunt, permanere in templo usque ad incolumitatem nolentem, sed hoc ad sanctos urbane dicentem.

Multi quidem, o Christi aemulatores et famuli sancti martyres, aegroti ad vos venientes, cum

κνούμενοι, μετὰ ῥώσεως καὶ χαρᾶς ὑποστρέφουσιν, ἐγὼ δὲ μετὰ ῥώσεως ἐξελθοῦσα τῆς πόλεως, πρὸς ὑμᾶς ἐλθοῦσα, ταύτης ποιήσασθαι φύλακας, μετὰ πόσου κινδύνου καὶ νοσήματος ἐπανέρχομαι· καὶ νῦν εἰ μὲν ἀσθενοῦσα τῆς ἑστίας ἐλήλυθα, παρέμενον ἂν μέχρις οὗ τελείαν ἐκομισάμην τὴν ἴασιν· ἐπειδὴ δὲ πρὸς ὑμᾶς οὐ πάθους ἕνεκα καὶ παραμονῆς παραγέγονα, ἀλλ' εὐχῆς καὶ προσκυνήσεως, ἣν ὁ μισόκαλος κωλῦσαι τεθέληκεν, ἀλλ' οὐκ ἴσχυσεν, τὴν ὑμῶν εὑρὼν συζυγίαν ἀντίπαλον· ταύτην ὡς ἠβουλόμην τελέσασα, πάλιν οἴκαδε πορεύομαι, οὐκ ἄλλους ἰατροὺς τοῦ ἐμοῦ ποιησαμένη νοσήματος, ἀλλ' ὑμᾶς ἐλθεῖν ἐκεῖσε προτρέπουσα, καὶ τὴν ὑμῶν ἀρωγὴν ἀναμένουσα· ἵν' ὥσπερ ἐρ-

sospitatis gaudio revertuntur ; ego autem quae de civitate cum incolumitate egressa sum, et ad vos veni, huius vos factura custodes, cum quanto periculo et languore revertor! Et nunc si infirma quidem a domo profecta fuissem, perseverarem utique quo usque perfectam reciperem sanitatem; quia vero ad vos non passionis et perseverantiae causa veni, sed orationis et adorationis, quam osor bonorum inhibere voluit, sed non valuit, vestram inveniens combinationem adversam, hanc sicut volui consummavi, domum regrediar, non alios medicos mei factura languoris, sed vos ex-

ῥωμένην με τῆς ἑστίας εἰλήφατε, οὕτως ἐκεῖσε γιγνομένην ἰάσησθε· ταῦτα πρὸς Κῦρον καὶ Ἰωάννην τοὺς μάρτυρας φήσασα, τὸν τούτων νεὼν καταλέλοιπε, καὶ σὺν πολλῷ τὴν πόλιν κινδύνῳ κατείληφεν, ἀδιστάκτως πιστεύουσα, ὡς πάντως ἐλθόντες οἱ ἅγιοι, κατ' οἶκον αὐτὴν θεραπεύσωσιν· ὃ καὶ γεγένηται.

Κυροῦν γὰρ τὴν πίστιν τῶν εἰς αὐτοὺς πιστευόντων σπουδάζουσιν, ἔργῳ δρῶντες ἅπερ ἐκεῖνοι πιστεύουσιν, καὶ πιστοτέρους αὐτοὺς τῆς τῶν πιστευθέντων δωρεᾶς ἐργαζόμενοι· κατ' αὐτὴν γὰρ τὴν νύκτα σχήμασιν ἰατρῶν ἀφικόμενοι, τί ἂν ἔχοι τὴν Κοσμιανὴν καθεύδουσαν ἤροντο· ἡ δὲ τὸ πάθος ἀπήγγελλε, καὶ τοῖς

hortans venire, et vestrum praestolans adiutorium, quatinus sicut me a domo accepistis incolumem, ita illuc remanentem sanetis. His ad Cyrum et Iohannem martyres dictis, basilicam horum deseruit, et cum multo ad civitatem discrimine venit, indubitanter credens quod sancti domum venturi, se forent procul dubio curaturi, quod et factum est.

Stabilire quippe fidem in se credentium satagunt, opere gerentes quae illi credunt, et fideliores eos his qui crediderant collatis muneribus operantes. Eadem igitur nocte in habitu monachorum venientes, quidnam haberet Cosmianam

ἁγίοις φησὶν ἐπεμέμφετο, ὡς τοῖς μὲν ἄλλοις ἀσθενέσι τὴν ῥῶσιν παρέχουσιν, αὐτὴν δὲ μόνην ἐῤῥωμένην συντρίψασιν· μειδιάσας δὲ ὁ τὴν τοῦ καθηγουμένου τάξιν, καὶ τὸ διδασκαλικὸν φανεὶς ἐπέχων ἀξίωμα, τῷ μαθητιῶντι προσέταξε· πάρελθε, φησὶν, καὶ θᾶττον αὐτὴν τῆς πληγῆς ἐλευθέρωσον· ὁ δὲ πληρῶν τὸ ἐπίταγμα, δρομαῖος ἐλθὼν τὴν σιαγόνα πλήττει ῥαπίσματι, καὶ τὴν ἐλευθερίαν τῇ νοσούσῃ χαρίζεται· ἡ δὲ τῇ πληγῇ στρέφεται τοῦ ῥαπίσματος, ὕπαρ τινὰ ῥαπίσαι νομίσασα· ἀλλ' οὐδένα στραφεῖσα τεθέαται, οὐ τὸν ἰατρὸν φησὶν τὸν προστάξαντα, οὐ τὸν μαθητὴν τὸν δεδωκότα τὸ ῥάπισμα, οὐκ ἐπὶ τῆς σιαγόνος τὸ ῥά-

dormientem interrogaverunt. At illa passionem referebat, et super sanctis caeli queritabat, quod aliis quidem infirmis sanitatem praestiterint, se vero solam sanam contriverint. Subridens autem is qui praeceptoris ordinem et didascalicam noscebatur dignitatem habere, ei qui discipulus videbatur esse, praecepit: adesto, inquiens, et ocius eam a contritionibus libera. Qui cum praeceptum implesset, et currens venisset, maxillam percutit alapa, et languenti tribuit libertatem. At illa ictu vertitur alapae, in veritate quemquam feriisse arbitrata: sed neminem conversa conspexit, non medicum qui quasi praeceperat, non discipulum

πισμα, οὐ τὰ ἐκ τοῦ πτώματος τραύματα, οὐ τὸ τοῦ νώτου δύσοιστον νόσημα, ὅπερ ἡ τῶν ἁγίων λυσίπονος ἄφιξις, καὶ τὸ πρὸς αὐτὴν δοθὲν σωτήριον ῥάπισμα, φροῦδα συντόμως πεποίηκε, καὶ τὰς τούτων ἀλγηδόνας ἠφάνισε· αὕτη μὲν οὖν οὕτω λαβοῦσα τὴν ἴασιν, καὶ τῆς ῥώσεως εὐθὺς ἐλθοῦσα πρὸς αἴσθησιν, ἀναστᾶσα τοὺς ἁγίους εὐφήμισεν, τὴν χάριν ᾄδουσα καὶ τὸ τάχος τῆς ῥώσεως· ἡμεῖς δὲ τὴν κατ' αὐτὴν διήγησιν συντελέσαντες, καὶ πάλιν τοὺς ἁγίους ὑμνήσαντες, τέρας ἓν ἕτερον ἢ καὶ δεύτερον γράψαντες, καὶ τέλος αὐτὰ τῶν ἐπ' ἀλεξανδρεῦσι λεχθέντων θαυμάτων τευξάμενοι, τῶν εἰς αἰγυπτίους καὶ Λίβυας, Θεοῦ συνερ-

qui dederat alapam, non in maxilla indicium alapae, non quae ex casu prodierant vulnera, non insanabilem dorsi languorem, quae sanctorum dolores dissolvens adventus, et salutaris quae ab eis data est alapa, invisibilia compendio fecit, horumque dolores exterminavit. Haec itaque taliter sanitatis incolumitate percepta, protinus ad se rediit, et surgens sanctos laudibus extulit, gratiam et sospitatis celeritatem decantans. Nos autem narratione de ipsa consummata, sanctisque hymno dicto, prodigium unum vel duo scribentes, et finem eorum miraculorum quae in Alexandrinos dicta sunt fabricantes, quae in Aegyptios et Afros

γοῦντος καὶ τῆς τῶν μαρτύρων συμμαχίας, ἀρξώμεθα.

λδ. ΠΕΡΙ ΔΩΡΟΘΕΑΣ, ΗΣ ΤΟ ΠΑΙΔΙΟΝ ΚΑΛΛΙΝΙΚΟΣ ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΑΠΙΩΝ ΩΟΝ ΚΑΤΕΠΙΕΝ ΟΦΕΩΣ.

Εἰς καιρὸν ἡμῖν γύναιον ἕτερον παραγέγονε κατὰ τὴν ὁδὸν καὶ αὐτὸ τὴν εἰς μάρτυρας φέρουσαν, ἐπὶ παιδὶ μικρῷ παθὸν τὴν ἐπήρειαν, καὶ τῆς τῶν ἁγίων φανερᾶς καὶ ταχείας τυχὸν ἀντιλήψεως, καὶ τῷ προλαβόντι θέλει συνάπτεσθαι, ἵνα μὴ μόνῳ τῷ στόματι, ἀλλὰ καὶ γραφῇ κηρύττῃ τῶν σεσωκότων τὸ τρόπαιον· ἧς ἡμεῖς τὸ εὔγνωμον θαυμάσαντες, καὶ τὸν πόθον πλη-

gesta sunt, cooperatione Dei et auxilio martyrum, inchoemus.

34. DE DOROTHEA, CUIUS FILIUS CALLINICUS NOMINE CUM AD SANCTOS PERGERET, OVUM DEGLUTTIVERAT SERPENTIS.

Ad tempus nobis etiam mulier alia venit, quae et ipsa in via, quae ducit ad martyras, super puero parvulo temptationem perpessa, sanctorumque manifestum et citum consecuta praesidium, cum praecedente vult colligi, ut non solum ore, sed et scriptura, trophaeum praedicet Salvatorum. Cuius nos opportunitatem et devotionem mirantes, etiam votum adimpleamus, linguam ei et manum

ῥώσωμεν, γλῶτταν αὐτῇ κιχρῶντες καὶ κάλαμον· ἵνα καὶ τὸν τῆς εὐγνωμοσύνης μισθὸν κελεύσει θεοῦ σὺν αὐτῇ κομισώμεθα. Δωροθέα μὲν ἐκαλεῖτο τὸ γύναιον, τὰ δὲ ταύτης μειράκια δύο ἦν, Καλλίνικος καὶ Ἐπίμαχος· Καλλίνικος μὲν ὁ μείζων ἐτῶν ὑπῆρχε ὡς δώδεκα· Ἐπίμαχος δὲ χρόνον ἤνυεν ἔνναΐον· μεθ' ὧν ἡ γεννήσασα πρὸς τὸ τῶν ἁγίων ἤρχετο τέμενος, προσεύξασθαί τε καὶ προσκυνῆσαι αὐτῶν τὰ σεβάσμια λείψανα· τὸ πλεῖστον δὲ τῆς ὁδοῦ διοδεύσαντες, ὑπό τι δένδρον καθέζονται, τὸν ἐξ ὁδοιπορείας ἀναλύοντες κάματον· ποσὶ γὰρ ἀπίεσαν, ἐπεὶ τῶν χρημάτων ἡ ἔνδεια, ζώοις αὐτοὺς ἐπιβαίνειν ἐκώλυεν.

mutuantes et calamum, ut et devotionis quoque mercedem iubente Deo cum ipsa percipiamus. Dorothea quidem vocabatur mulier; huius autem duo pueri Callinicus et Epimachus vocabantur, quorum maior Callinicus scilicet erat annorum quasi duodecim, Epimachus autem nonum agebat annum; cum quibus genitrix ad sanctorum veniebat basilicam, orare atque salutare colendas eorum reliquias. Cumque maiorem partem itineris transegissent sub quadam arbore sedent, itineris fatigationem solventes; pedibus enim profecti fuerant; nam pecuniarum egestas iumenta illos ascendere prohibebat.

Οὓς ὑπὸ τὸ δένδρον ὁρῶν ὁ ἀρχέκακος, εὐθὺς τῆς καθ' ἡμῶν ἀρχαίας ὑπὸ τὸ δένδρον ἐπιβουλῆς ἐμνημόνευσε, δι' ἧς ἐν Ἀδάμ τε καὶ Εὔᾳ γένος ἅπαν ἀνθρώπειον βασκανίας ἀπέκτεινε βέλεσιν, καὶ θανάτῳ δουλεύειν ἐτάχθησαν· ὅθεν ὠὸν οὔριον ὄφεως δι' οὗ κἀκείνην ἡμῖν ἐτύρευε τὴν ἀπώλειαν, τοῖς μείραξι παρὰ τὸ πρέμνον τοῦ δένδρου κείμενον ἔδειξεν, ὅπερ οὔτε καλὸν ἦν εἰς βρῶσιν, οὐδὲ ὡραῖον εἰς ὅρασιν, εἰ καὶ οὕτω τοῖς παισὶν ὡς καὶ τῇ Εὔᾳ διὰ τὸ ἀτελὲς τῆς ἡλικίας ἐφαίνετο, μήπω λαχούσης γεγυμνασμένα τὰ τῆς ψυχῆς ἀσκητήρια πρὸς καλῶν καὶ μὴ τοιούτων διάκρισιν· ὧν ὡς ἔφην χηρεύ-

Quos antiquus sub arbore intuens inimicus, statim contra hos insidiarum recordatus est quas antiquitus sub arbore texuit, per quas etiam in Adam et Eva genus universum humanum livoris iaculis interfecit, et morti servire coëgit. Unde concalefactum et virulentum serpentis ovum, per quod et illam commoveret perditionem, pueris iuxta truncum arboris iacens ostendit, quod neque bonum erat ad escam, neque pulchrum ad visum, licet sic pueris, sicut etiam Evae, propter imperfectionem aetatis videretur, cum nondum essent exercitatos animae sensus sortiti, ad bonorum et horum contrariorum discretionem. Quibus ut dixi carentes, ad ovum quod visum fue-

οντες, ἐπὶ τὸ φανὲν ὠὸν ἀνεξετάστως ἐσπούδασαν, πτηνοῦ τινὸς τῶν ἀνὰ τὸν ἀέρα χορευόντων εἶναι νομίσαντες γέννημα· ἁρπάσας δὲ τοῦτο καὶ λαβὼν ὁ Καλλίνικος, ἔφθασε γὰρ Ἐπίμαχον τὸν ἐλάττονα, ὡς μέγα τί τῇ χειρὶ διεβάσταζε· καὶ ἐπειδήπερ ὁ ἀδελφὸς ἀποτυχὼν τοῦ θηράματος ἔκλαιεν, καὶ τούτῳ τὸ εὕρημα παρέχειν ἡ μήτηρ ἐκέλευσεν, ἵνα τοῦ μικροτέρου παιδὸς ἀναστείλῃ τὸ δάκρυον, θᾶττον τὴν χεῖρα προσενέγκας τῷ στόματι, τὸ ὠὸν εὐθέως καταπίνει τοῦ ὄφεως, μεμορφωμένον ἤδη καὶ τέλειον ἔχον ἔνδον τὸ τῆς τεκούσης ὁμοίωμα· καὶ μητρικοῦ παρακούσας προστάγματος, θάνατον παρακοῆς ἐτρύγα τὸ βλάστημα· εἰ μὴ Κῦρος αὐτὸν καὶ Ἰωάννης οἱ μάρτυρες τὸ θανατηφόρον

rat indiscusse festinaverunt, volatilis cuiusdam ex his quae choros per aëra ducunt genimen esse putantes. Quo arrepto Callinicus et elevato, praevenit enim Epimachum minorem fratrem, quasi quiddam magnum manu portabat. Et quoniam frater captione frustratus plorabat, et huic inventionem praestare mater iubebat, ut minoris filii lacrimas removeret; citius manum applicans ori, ovum statim absorbet serpentis, formatam iam et perfectam habens intus parientis similitudinem. Et maternum praetergressus praeceptum, mortem inobedientiae per foetum captasset, nisi

ἐκδῦναι πεποίηκαν δίκτυον· εἶτα τὸ λοιπὸν τῆς πορείας ἀνύσαντες, εἰς τὸ τέμενος γίνονται.

Ὡς δὲ τοῦτο κατέλαβον, καὶ τὰς προσευχὰς θεῷ τε προσήνεγκαν, καὶ τὸν τῶν ἁγίων τάφον ἠσπάσαντο, μετ᾽ οὐ πολὺ τῆς προσκυνήσεως, τὰ σπλάγχνα πονεῖν ὁ Καλλίνικος ἤρξατο, ἀνοιχθέντος ἐν τῇ τούτου γαστρὶ τοῦ ὠοῦ, καὶ τὸν κάκιστον ἐκεῖνον θησαυρὸν ἐξεμέσαντος· καὶ στρόφοις μὲν αἱ ἀρχαὶ τῶν ἀλγηδόνων ἐῴκεισαν· ταῖς δὲ κατὰ μέρος αὐξήσεσιν τῶν μὲν στρόφων παραιτούντων τὸ γνώρισμα, τοῖς δὲ δαιμόνων ὡμοιοῦντο στρεβλώσεσι· ἄρτι γὰρ τοῦ περιέχοντος ὀστρακοειδοῦς ὑμένος ἐκκύψαν τὸ παγχάλεπον γέννημα, καὶ μὴ παροῦσαν εὑρίσκον τὴν φύσα-

Cyrus cum atque Iohannes martyres mortiferum evadere rete fecissent. Deinde residuo viae peracto, ad basilicam veniunt.

Cumque ad hanc pervenissent, Deoque orationes obtulissent, non multum post orationem viscera dolere Callinicus coepit, cum iam ovum in huius ventre apertum esset, et thesaurum illum pessimum evomuisset. Et quidem initia dolorum tortionibus erant paria, quae in incrementis partim earumdem tortionum denegabant notitiam, partim vero daemonum tortionibus erant similia. Cum enim testaceae formae membrana circumdaretur prorupit saevissimum genimen, et prae-

σαν, πρὸς τὴν ταύτης εἶρπε κακὴν ἀναζήτησιν, καὶ τῇδε κἀκεῖσε τοῦ παιδὸς τὰ σπλάγχνα διέθεε· τάχα δὲ καὶ διέδακνεν, εὑρεῖν ἐν αὐτοῖς τὴν τροφὸν οὐ δυνάμενον· ὅθεν τὰ πρῶτα μὲν ἔκλαιε, προβαῖνον δὲ μείζοσι κραυγαῖς ηὖξε τὸ δάκρυον· ὡς δὲ βαστάζειν πλέον τοῦ ὄφεως τὰς ἀνίας οὐκ ἴσχυσε, πεσὼν εἰς γῆν ἐκυλίετο, ἐσπαράττετο, πολυειδῶς τοῖς μέλεσιν ἐτυλίσσετο, ὡς μηδὲ φωνὴν αὐτὸν ἐκπέμπειν εἰς ὕστερον δύνασθαι, ἀλλὰ θνήσκειν εὐθὺς τοῖς ὁρῶσιν νομίζεσθαι.

Δωροθέα δὲ ἡ τοῦτον καὶ τὸν ἀδελφὸν ὡς ἔφην ὠδίνασα, Καλλινίκου τὰ σπλάγχνα πλέον ἐδάπτετο, οὕτως ἐλεεινῶς τὸν υἱὸν ἀπολλύμε-

sentem non inveniens matrem, ad huius malam repedabat inquisitionem, et hac illacque viscera pueri peragrabat forsitan et mordebat, invenire in illis nutricem non valens; unde puer dolore pressus, in primordiis quidem flebat, procedente vero tempore maioribus lacrimas augebat clamoribus. Porro cum portare amplius serpentis cruciatus non posset, cadens in terram volutabatur, discerpebatur, multiformiter membris involvebatur, ita ut postmodum nec vocem emittere posset, moribundus continuo a videntibus aestimatus.

Dorothea vero quae hunc et fratrem sicut dixi pepererat, plus membris quam Callinicus mordebatur, tam miserabiliter filium perditum intuens.

νον βλέπουσα· καὶ προσελθοῦσα θᾶττον τοῖς μάρτυσιν μετὰ κραυγῶν καὶ δακρύων τὰς ἱκετείας προσέφερεν· βαβαὶ γὰρ, ἔλεγεν, ἅγιοι, πῶς μου τὴν θυσίαν ἐδέξασθε; βαβαὶ ποίων με δωρεῶν ἠξιώσατε; βαβαὶ ποίας μοι δεξιώσεως μετεδώκατε; ἄλλαι γυναῖκες τέκνα μὴ ἔχουσαι πρὸς ὑμᾶς καταφεύγουσαι τίκτουσιν, ἐγὼ δὲ δύο δορυφορουμένη τἀνθάδε κατέλαβον, καὶ μεθ' ἑνὸς, εἰ μὴ σπεύσοιτε, τῶν ἐνθένδε ἀπέρχομαι· ἄλλοι θανάτου πνέοντες ἔρχονται, καὶ τούτου καταγελῶντες ἀπέρχονται· ἐμοῦ δὲ τῆς ἀθλίας τὸ νήπιον παῖζον ἧκεν πρὸς ὑμᾶς καὶ ὀρχούμενον, καὶ πάντως τεθνήξεται, ἐὰν ὑμεῖς οὐ λυτρώσεσθε· καὶ τὴν ὁδὸν ἣν ἐλήλυθε, πάλιν ζῶν οὐ πορεύσεται· ἦρατέ μου τοῦ γήρους τὸ στή-

Et accedens cito ad martyras, supplicationes cum clamoribus et lacrimis offerebat. Dicebat enim: heu heu, sancti, quomodo sacrificium meum admisistis? heu heu qualibus me dignam muneribus reddidistis? heu heu quam mihi susceptionem tribuistis? Aliae mulieres natos non habentes cum ad vos confugerint pariunt, ego autem duos oblatura huc veni, et cum uno hinc nisi acceleraveritis regrediar. Alii necis spirantes accedunt, sed hanc deridentes, abscedunt; meus autem infelix puerulus qui ludens venit et saltans, procul dubio morietur, nisi vos liberaveritis, et via qua

ριγμα, τῆς ἀσθενείας τὴν βακτηρίαν ἐλάβετε, τὴν ἐλπίδα τοῖς ἐν ἐσχάτοις ἀναπαύλης ἡρπάσατε· τὸν τρέφειν με μετὰ θεὸν προσδοκώμενον ἔχετε· εἰ ἐγὼ, μάρτυρες, ἔπταισα, τί μου τὸ παιδίον κολάζετε; εἰ ἐγὼ ἥμαρτον, ἐμὲ τιμωρήσασθε· τί μητρὸς ἁμαρτίας ἀγνοοῦσι τέκνοις ἐπάγετε; διὰ τί κατάρας νομικῆς καὶ μωσαϊκῆς γίγνεσθε κατακρίσεως ἔκδικοι; ἁμαρτίας γάρ φησιν πατέρων ἐπὶ τέκνα· ἀλλ' ἐκ τῆς κατάρας τοῦ νόμου Χριστὸς ἡμᾶς ἐξηγόρασεν, ὑπὲρ ἡμῶν κατάρα γενόμενος· καὶ ταύτην διὰ τοῦ προφήτου τὴν κατάκρισιν ἔλυσεν διαῤῥήδην εἰπὼν, ὡς οὐκέτι λεχθήσεται ἡ παραβολὴ αὕτη· οἱ πατέρες ἔφαγον ὄμφακα, καὶ οἱ ὀδόντες τῶν τέκνων ἐμω-

venit non vivus abibit. Tulistis senectutis meae firmamentum, infirmitatis baculum accepistis, spem quietis extremam rapuistis, et eum quem post Deum nutrire me praestolabar habetis. Si ego martyres culpavi, ut quid puerum meum cruciatis? Si ego peccavi, me punite. Quare peccata matris ignorantibus natis infertis? quare condempnationis legalis atque mosaicae maledictionis efcimini defensores? peccatum enim inquit patrum in filios. Sed ex maledicto legis Christus nos redemit, pro nobis adveniens, et per prophetam condempnationem dissolvit, manifeste dicens, quod ultra non esset dicenda parabola haec, patres co-

διάσαν· καὶ λοιπὸν οὐκ ἄλλον ὑπὲρ ἄλλου, ἀλλ' ἕκαστος ὑπὲρ ἑαυτοῦ λόγον δώσει τῷ θεῷ· καὶ ψυχὴ ἡ ἁμαρτάνουσα, αὐτὴ ἀποθανεῖται, καὶ οὐκ ἄλλός τις ὑπὲρ αὐτῆς ὑφέξει δίκην καὶ κόλασιν· ἄλλοι εἰσὶν οἱ τῇ κατάρᾳ τοῦ νόμου δουλεύοντες, οἱ τὸν ἐλευθερωτὴν Χριστὸν τὸν τοῦ θεοῦ υἱὸν οὐ δεξάμενοι· ἡμεῖς δὲ τὴν δι' αὐτοῦ υἱοθεσίαν κερδάναντες, οὐ πνεῦμα δουλίας εἰς φόβον ἐλάβομεν, ἀλλὰ πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν ἀββᾶ ὁ πατὴρ· καὶ τὸ λοιπὸν ἐλεύθεροι ᾗ Χριστὸς ἡμᾶς ἠλευθέρωσεν· ἢ οὖν ἐμὲ ἐκολάσατε, καὶ τὸ τέκνον ἐάσατε, ἢ σὺν αὐτῷ κἀμὲ τιμωρήσασθε, ἵνα μὴ ζῶσα βλέπω τοῦ ἐμοῦ παιδὸς τὴν ἀπώλειαν· εἰ δὲ τούτων

mederunt uvas acerbas, et dentes filiorum obstupuerunt. Ergo non alius pro alio, sed unusquisque pro se rationem reddet Deo; et anima quae peccaverit, ipsa morietur, et non alius quisquam pro ea sustinebit iudicium vel tormentum. Alii sunt qui maledicto legis deserviunt, hi videlicet, qui liberatorem Christum Dei filium non susceperunt. Nos autem filiorum adoptionem per ipsum lucrantes, non spiritum servitutis in timore accepimus, sed spiritum adoptionis filiorum in quo clamamus abba pater; sicque de cetero liberi constituti sumus libertate qua Christus nos liberavit. Ergo aut me cruciate, filiumque dimittite, aut

οὐδὲν ἀνέχεσθε διαπράξασθαι, πάλιν μου τὸν παῖδα χαρίσασθε, τὸν φύλοικτον θεὸν καὶ δεσπότην ὑμῶν ἐκμιμούμενοι.

Ταῦτα καὶ τούτων πλείονα πρὸς τοὺς μάρτυρας λέγουσα, καὶ δι' ὅλης νυκτὸς φέρουσα δάκρυα, μικρὸν περὶ τὸν ὄρθρον ἀφύπνωσε, οὐκ ἀθυμίας καὶ κόπου νικηθεῖσα τοῖς βέλεσιν, ἀλλ' ἵνα τῶν ἁγίων θεάσοι τὴν ἐπίσκεψιν· οἳ παραστάντες ὡς πᾶσιν εἰώθασιν, ὡς περὶ ὥραν τρίτην τῆς ἡμέρας τὸν υἱὸν ἐξοῖσαι τοῦ τεμένους ἐκέλευσαν, καὶ θέσθαι μέσον εἰς τὸ ἐξώτερον ὕπαιθρον προσέταττον, μηδενὸς αὐτῷ προσεγγίζοντος, μηδὲ τῆς τεκούσης αὐτῆς, ἀλλ' ἐκ μικροῦ διαστήματος παρακάθεσθαι, καὶ θεωρεῖν

cum ipso etiam me punite, ne vivens mei videam perditionem filii. Si vero nihil horum patimini agere, donate mihi iterum puerum amatorem miserationis Deum nostrum et dominum imitantes.

Cum autem haec et his plura dixisset ad martyras, et per totam noctem lacrimas obtulisset, modicum circa diluculum obdormivit, non animi defectionis, et laboris victa sagittis, sed ut sanctorum visitationem aspiceret, qui assistentes, sicut omnibus facere consuevere, circa horam ferme tertiam diei filium educere a templo iusserunt, et ponere sub divo medium in exteriori atrio praeceperunt, nemine illi, nec ipsa matre

τὸ γιγνόμενον ἐπ' αὐτῷ θεόθεν τεράστιον· καὶ ταῦτα μὲν εἶπον οἱ μάρτυρες, καὶ εἰπόντες ἀπέπτησαν. Δωροθέα δὲ κατὰ τὴν λεχθεῖσαν ὥραν ἔδρα τὸ θέσπισμα, καὶ τὸν παῖδα λαβοῦσα, τοῦ τεμένους ἐξήγαγεν, καὶ ἐν τῷ ῥηθέντι τόπῳ κατέκλινεν ἔνθα καὶ ἔνθα συνεχῶς κυλινδούμενον, καὶ τοῖς μὲν πολλοῖς θανεῖν προσδοκώμενον, τῇ δὲ μητρὶ ζῆν πιστευόμενον.

Ὡς ἡμιωρίου δὲ μικροῦ διοδεύσαντος, μετὰ τὴν γενομένην ἐκεῖσε τούτου κατάκλισιν, πλήθους πολλοῦ παρεστῶτος, καὶ περιμένοντος ἰδεῖν τὴν ἀπόβασιν, ἰδοὺ ἡ τὸ ᾠὸν ἐκεῖνο γεννήσασα δράκαινα τούτου ποιουμένη τὴν ζήτησιν, ἕρπου-

appropinquante, sed obsidente, modico interposito spatio visura prodigium quod erat in eo divinitus faciendum. Et haec quidem dixerunt martyres, et dicentes avolaverunt. Dorothea vero per iam dictam horam sanctionem agebat, puerumque susceptum eduxit e templo, et in praedicto loco recumbere fecit, hac illacque creberrime volutatum, quia multis quidem mori expectabatur, sed a matre vivere credebatur.

Porro cum media quasi hora praeterisset, postquam puer ibidem recubuit, multitudine copiosa praesto adsistente, atque permanente visura proventum, ecce dracona, quae ovum illud generaverat, huius faciens inquisitionem, repens et

σά τε καὶ συρίττουσα παραγίνεται, ἀνακαλοῦσα καθὰ καὶ γυνὴ νήπιον ἀπολλύμενον σὺν ὀλολυγῇ καὶ κοκυτῷ ποιεῖσθαι φιλεῖ τοῦ ποθουμένου τὴν ἔρευναν· καὶ τῆς ἔξω θύρας προφανῶς ἐλάσασα, καὶ τὸν ἐφεστῶτα λεὼν διαστήσασα, καὶ πρὸς φυγὴν παρὰ τὰ προοίμια τρέψασα, πρὸς τὸν παῖδα τρέχει τὸν ἄῤῥωστον, καὶ τοῦτον συχνῶς περιθέουσα, ποτὲ μὲν πρὸς τὸ οὖς ἐψιθύριζε, ποτὲ δὲ τῷ στόματι προσεπέλαζεν, καὶ τὸν υἱὸν ἡσυχίως ἀνέκραξε κάτω που κείμενον, καὶ τῇ γαστρὶ τοῦ παιδὸς ἐντρεφόμενον· ὃς παρούσης τῆς μητρὸς ἐπαισθόμενος, καὶ τὰ ταύτης γνωρίσας συρίσματα, δρομαῖος ἀνέρχεται, καὶ πρὸς αὐτὴν διὰ τοῦ στόματος ἔξεισιν, ὡς ἅπαξ τεχθεὶς καὶ κυοφορεῖν μηκέτι βουλόμενος· μᾶλ-

sibilans venit, revocans id more mulieris, quae amisso parvulo cum eiulatu et cocyto facere affectat desiderati scrutinium. Et exteriorem ianuam evidenter ingressa astantem populum separavit, et in fugam mox ut visa est vertit, ad puerumque cucurrit infirmum, et hunc frequenter circumiens, modo quidem ad aurem susurrabat, modo autem ori appropinquabat, et filium quiete vocabat, alicubi deorsum iacentem, et in ventre pueri conversantem. Qui praesentem sentiens matrem, et huius sibilos recognoscens, cursim ascendit, et ad ipsam per os exit, tamquam semel na-

λον δὲ τῶν ἁγίων γνοὺς τὸ ἐπίταγμα· τοῦτο γὰρ εἰπεῖν εὐσεβέστερον· ᾧ καὶ ἡ τεκοῦσα δουλεύουσα, πρὸς τὴν αὐτοῦ συντόμως ἀφίκετο ζήτησιν· καὶ λοιπὸν μένειν ἐγγάστριος, καὶ εἰ βούλοιτο μὴ δυνάμενος· ἐκπηδήσαντα δὲ τοῦ στόματος ὡς ἴδεν αὐτὸν ἡ γεννήσασα, καὶ ὡς αὐτὸ τυγχάνον γνωρίσασα τὸ οἰκεῖον καὶ παρ' αὐτῆς ζητούμενον γέννημα, ἀνελομένη τε θᾶττον αὐτὸ σὺν τῇ θέᾳ τῷ στόματι, σκιρτῶσα καὶ χαίρουσα πρὸς τὸν αὐτῆς φωλαιὸν ἀνεχώρησεν· κατὰ τοῦτον τὸν τρόπον καὶ Δωροθέα τὸ γύναιον τὸν ἑαυτῆς υἱὸν παραχρῆμα ῥωσθέντα Καλλίνικον, μετὰ τὴν τοῦ δρακοντιαίου γεννήματος ἔξοδον ἀνελομένη, καὶ σὺν αὐτῷ τὴν χάριν τοῖς σεσωκόσιν ᾄσασα μάρτυσιν, ἀγαλλομένη καὶ χαίρουσα τὴν εἰς πόλιν

tus et ultra in ventre iure teneri nolens; immo sanctorum praeceptum agnoscens, hoc enim dicere magis pium; cui et parens famulata, ad ipsius inquisitionem compendio properaverat, et genimen iam manere in visceribus, etiam si vellet, non poterat. Cum autem genitrix eum vidisset ab ore pueri exilientem, et ipsum esse genimen proprium, quod a se inquirebatur, agnoscens, sumpto eo, mox ut vidit in ore, exultans et gaudens ad latebras suas recessit. Hoc modo et Dorothea mulier Callinico filio suo post dracontalis geniminis exitum, sospite mox recepto, cum eo gratias sa-

ὁδὸν ἐποιήσατο· ἡ δὲ τότε παροῦσα πληθὺς, θεωρὸς γεναμένη τοῦ θαύματος, τὴν ἐν εὐαγγελίοις φωνὴν ἐκελάδησεν, ὄντως λέγοντες οἴδαμεν παράδοξα σήμερον· ὑφ' οἷς Θεόν τε καὶ μάρτυρας ὡς οἷά τε ἦν ἀνευφήμησε· μεθ' ἧς καὶ ἡμεῖς τὰς πρεπώδεις εὐφημίας Χριστῷ τῷ Θεῷ ἡμῶν καὶ τοῖς ἁγίοις αὐτοῦ προσοίσαντες μάρτυσιν, πρὸς τὴν τοῦ προτεθέντος σκοποῦ βαδιοῦμεν ἐκπλήρωσιν.

λε. ΠΕΡΙ ΘΕΟΦΙΛΟΥ ΤΟΥ ΑΠΟ ΜΑΓΙΑΣ ΣΥΝΔΕΘΕΝΤΟΣ ΤΑΣ ΧΕΙΡΑΣ ΚΑΙ ΤΟΥΣ ΠΟΔΑΣ.

Θαυμαστὸς ὁ Θεόφιλος ἀληθῶς, καὶ θαυμαστὸν καὶ τὸ κατ' αὐτὸν ἔστι διήγημα· καὶ τά-

nantibus hunc martyribus concinens et exultans, domum cum gaudio remeavit. Porro multitudò, quae praesens aderat, inspectrix effecta miraculi, evangelica voce continuo cecinit, vere dicentes vidimus mirabilia hodie. Ob quae, Deum et martyras, ut erat possibile collaudavit. Cum qua et nos, decentibus Christo Deo nostro laudibus sanctisque ipsius oblatis martyribus, ad propositae intentionis properabimus supplementum.

35. DE THEOPHILO QUI A MAGIA MANIBUS ET PEDIBUS VINCTUS EST.

Mirabilis vere Theophilus, mirabilis est et de

χα διὰ τοῦτο τελευταῖον ἡμῖν ἑαυτὸν διετήρησεν, μᾶλλον δὲ οὐκ αὐτὸς ἑαυτὸν ὕστερον ἤγαγεν, ἀλλ' οἱ θαυμάσιοι μάρτυρες· τελευταῖον δὲ μόνων τῶν ἐπ' ἀλεξανδρεῦσι γραφέντων εἰρήκαμεν, ἵνα καὶ τὰ προλαβόντα θαύματα καλλοπίσειεν, καὶ πλουσίως εὐφραίνῃ καὶ λαμπρῶς τοὺς ἀκούοντας, καὶ πρὸς αὐτὸν ἀεὶ πᾶν ὃ ἐμπεφόρευτο ἑτέρου γραφῇ μὴ σκεπτόμενος· ἀγασάμενοι τοίνυν καὶ ἡμεῖς αὐτὸν τῆς συνέσεως, τὰ κατ' αὐτὸν διηγούμεθα, στέφανον αὐτὸν θαυμαστὸν τοῖς προγραφεῖσιν ἐπάγοντες· ὁ τῆς μισανθρωπίας πατὴρ καὶ τῆς μισαδελφίας διδάσκαλος, ὁ ἐξ ἀρχῆς πλανήσας τὸν ἄνθρωπον, καὶ γυμνὸν αὐτὸν τὸ ὅσον ἐφ' ἑαυτῷ θείας ἐρ-

ipso narratio. Et forte idcirco novissimum nobis sese servavit, immo non ipse se ipsum postmodum intulit, sed mirabiles sancti. Novissimum autem illum eorum dumtaxat esse perhibuimus, qui inter Alexandrinos descripti sunt, ut et praecedentia venustet miracula, et clarius ac locupletius laetificet audientes, et ab eis * semper in memoria sit, alterius scriptura minime tectus. Mirantes igitur et nos sapientiam eius, quae circa eum gesta sunt enarrabimus, coronam illum mirabilem his quae praescripta sunt conferentes. Is qui est humanitatis odii pater, et inimicitiae fraternitatis magister, qui ab initio decepit homi-

* ita cod.

γασάμενος χάριτος, τῇ πρὸς ἀνθρώπους οἰκείᾳ μανίᾳ καὶ θυμῷ μὴ ἀρκούμενος, καὶ ὅσαις αὐτοὺς ἀπαύστως περιβάλλει συμφοραῖς καὶ συμπτώμασιν, ὡς Ἰὼβ φησὶν ὁ θεσπέσιος· ἀλλὰ καὶ αὐτοὺς ἐπ' ἀλλήλους ἐγείρει συχνότερον, ἐμβαλὼν αὐτοῖς τῆς αὐτοῦ μισανθρωπίας τὰ σπέρματα, ὡς καὶ εἰς τοσοῦτον αὐτοὺς ἐκκαίει πρὸς τὴν ἀλλήλων ἀπέχθειαν, ὡς καὶ αὐτὸν αἱρεῖσθαι τῆς οἰκείας μήνιδος σύμμαχον, καὶ πρώτους ἑαυτοὺς βλάπτειν τὰ μέγιστα· (ψυχῆς γὰρ ὁ θάνατος τίκτεται τῆς πρὸς ἐκεῖνον συμβάσεως·) καὶ οὕτω τοὺς ἀδελφοὺς οὓς ἀγαπᾷν ὡς ἑαυτοὺς προσετάχθημεν.

Τοῦτον τινὲς ἀδικῆσαι Θεόφιλον θέλοντες,

nem, qui eum quantum in se fuit divina gratia exuit, propria et furibunda in homines detentus insania, non solum magnis incessanter eos afficit casibus et calamitatibus, quemadmodum Iob ait egregius, sed et illos adversus se invicem crebrius erigit, immittens inter eos sua homines odientia semina; qui etiam eos adeo succendit ad mutuam inimicitiam, ut et ipse quoque multotiens eligatur proprii furoris auxiliator ab his qui primo se ipsos maxime laedunt (animae quippe mors nascitur, et conventione quae cum ipso conficitur) et sic fratres, quos diligere sicut nos ipsos sumus praecepti *.

* ita cod.

ᾧ οἰκειώσαντο μετὰ τῆς αὐτοῦ πονηρᾶς προαιρέσεως· ἣν ἐκτελέσαι σπουδάζοντες βοηθὸν αὐτὸν πρὸς τὴν ἐπιβουλὴν ἐπεσύροντο· ὁ δὲ πεισθεὶς ταῖς μυαραῖς αὐτῶν ἐπικλήσεσιν, οὐ μετρίως ἐκάκουν τὸν ἄνθρωπον, χεῖρας καὶ πόδας συνδήσας τοῦ σώματος, καὶ δειναῖς ἀλγηδόσι βαστάζων ὡς ἤθελεν, καὶ τάχα οὐχ ὅσον ἤθελεν καὶ ἠβούλετο· ἀνεῖλε γὰρ αὐτὸν εἰ ἠδύνατο, ἀλλ' ὅσον ἀνιᾷν πρὸς Θεοῦ συνεχώρητο· ἀλλ' ὁ Θεόφιλος τὴν αἰτίαν ἀγνοῶν τοῦ νοσήματος, τοὺς ἰατροὺς μετεπέμπετο, καὶ βοηθεῖν ὡς σθένος ἱκέτευε, καὶ σώζειν ὡς τάχος ἐδέετο, ἀργὸν καὶ ἀκίνητον κείμενον, καὶ ταῖς ὀδύ-

Hunc quidam, opprimere Theophilum iniuste volentes, ut patronum proprium asciscere curaverunt, cum ipsius iniquo proposito, quod consummare satagentes, adiutorem illum ad insidias attraxerunt. At ille foedis advocationibus parens, non mediocriter hominem affligebat, manus et pedes corporis vinciens, dirisque doloribus verberans, ut volebat; et forte non quantum volebat, vel appetebat, nam perimeret illum si posset, sed quantum cruciare a Deo permittebatur. Verum Theophilus causam languoris ignorans, medicos accersiebat, et adiuvare quantum vires suppeterent supplicabat, et salvare quantocius obsecrabat, se inertem immobilemque iacentem, et mi-

ναις ἐλεεινῶς ἀπολλύμενον· οἱ δὲ συναγνοήσαντες αὐτῷ τῆς βλάβης τὸ αἴτιον, οὐ τὰ τῆς τέχνης εἰργάζοντο, οὐδὲν γὰρ αὕτη τοὺς πάθος ἀγνοοῦντας ποιεῖν διατάττεται, ἀλλὰ τὰ ἐξ οἰκείου νοῦ καὶ φιλοπόνου φρονήματος· πολλὰς γοῦν ἀντιδότους ῥέξαντες καὶ καθάρσια πλείονα, ἐκ χυμῶν γὰρ πληθωρίας τὸ πάθος ἐνόμιζον, καὶ ἕτερα αὐτῶν δι' ἀλειμμάτων καὶ διαφόρου διαίτης ποιήσαντες, ὡς οὐδὲν ὠφέλουν, ἐπαύσαντο· μόλις ποτὲ τοῦ νοσήματος εἰρηκότες τὴν ἄγνοιαν· καὶ μετὰ τῆς ἀγνοίας τὸ ἄναλκες κομίζειν αὐτὸν πρὸς τοὺς ἁγίους ἐκέλευε, τοὺς θεόθεν εἰδότας βροτῶν τὰ νοσήματα, κἀκεῖθεν

serabiliter prae doloribus pereuntem; quique ut ille laesionis causam ignorantes, non ea quae artis erant operabantur, nihil enim haec eos qui passionem non cognoscunt facere iubent; sed quae ex proprio sensu, et studiosa reperiunt sapientia. Multis itaque antidotis, multisque purgamentis impensis, ex alicuius enim alimentorum superfluitate putabant esse passionem, et aliis quibusdam per unguenta diaetamque patratis, cum nil profecissent quieverunt, vix tandem se ignorare passionem asseverantes. Quorum non modo ignorantiam sed et cum hac impotentiam cum cognovisset infirmus, portari se ad sanctos iubebat, qui divinitus scirent mortalium passiones, et illinc eis

αὐτοῖς τὰς ἰάσεις ὀρέγοντας· εἰς τὸ Κύρου γοῦν καὶ Ἰωάννου γενόμενος τέμενος, καὶ λῦσαι τὸ κακὸν ἱκετεύσας τοὺς μάρτυρας, μετὰ χρόνον οὐ πολὺν εἰσακούεται, καὶ τῆς ῥώσεως ἔτυχεν· συμπαθεῖς γάρ εἰσι πρὸς τοὺς πάσχοντας, καὶ συντόμους αὐτοῖς τὰς ἰάσεις χαρίζονται, εἰ μὴ πάνυ τούτων εἶεν ἀνάξιοι, ἢ παιδείας μακροτέρας δεόμενοι, δι' ἀλόγους τινὰς καὶ κρύφια παίσματα, οὓς μόνος ἐπίσταται τῶν ὅλων ὁ πρύτανης, καὶ οἷς ἂν αὐτὸς ὡς ἀξίοις γνωρίσειεν.

Ἐπειδὴ δὲ τὴν νόσον εἰρήκαμεν, καὶ τὸν τρόπον λέξομεν τῆς ἰάσεως· μεγάλου γάρ ἐστιν θαύματος ἄξιος, καὶ τούτου χάριν καὶ τὴν ἀσθένειαν ἔφημεν· ἐπιστάντες αὐτῷ καθ' ὕπνους

sanitates porrigerent. Ad Cyri ergo ac Iohannis cum venisset basilicam, et solvere se a malo martyras supplicasset, post non multum temporis exauditus et incolumitate potitus; compatientes quippe sunt erga hos qui diversis passionibus deprimuntur, et celeres illis conferunt sanitates, nisi his oppido sint indigni, vel disciplinae prolixiores egentes, ob rationes quasdam et occulta iudicia, quae solus novit moderator universorum, et hi quibus ipse tamquam dignis haec innotuerit.

Quia vero languorem diximus, et sanitatis quoque dicemus modum; magno enim est miraculo dignus, et huius rei gratia etiam infirmitatem edi-

οἱ ἅγιοι, τάδε ποιεῖν διετάξαντο· ἔξιθι φασὶ πρωΐας πρὸς θάλασσαν τοὺς φιλοπόνους σε βαστάσαι καὶ λαβεῖν προτρεψάμενος, καί τινι τῶν ἁλιέων περιτυχὼν εἰς θάλασσαν ἀμφίβληστρον βάλλοντι, μισθὸν αὐτῷ τόδε τίς σύνταξαι, ἵν' ὑπὲρ σοῦ τὸ δίκτυον ἐφαπλώσῃ τοῖς ὕδασι· καὶ ὃ δ' ἂν ζωγρήσειεν, τοῦτό σοι πρὸς θεραπείαν γενήσεται· τοῦτο γάρ σε γυμνωθὲν τῶν δεινῶν ἀπαλλάξειε· καὶ ταῦτα μὲν κατ' ὄναρ εἰπόντες οἱ μάρτυρες ἔπτησαν· ὁ δὲ τοὺς φιλοπόνους, ἐξ αὐτῶν δέ εἰσι τῶν ἀσθενῶν οἱ δυνάμενοι, πρωΐ προσκαλεσάμενος, τῶν ἁγίων αὐτοῖς εἶπε τὸ πρόσταγμα· καὶ θᾶττον αὐτὸν αἴρειν ἱκέτευε· οἱ δὲ τὸ ματυρικὸν πυθόμενοι θέσπισμα, θᾶτ-

ximus. Astantes ei per somnium sancti haec facere iubent; egredere fatentes ad mare diluculo, philoponos te levare atque portare cohortans, et cum quemquam ex piscatoribus inveneris retiaculum in mare mittentem, mercedem illi tale quid repromitte, ut pro te rete super aquas expandat, nam quodcumque ceperit, hoc tibi ad curandum proficiet, et te denudatum a malis omnibus deliberabit. Et his quidem martyres dictis, avolaverunt. At ille philoponis, qui ex his sunt qui de infirmitatibus convalescunt, mane vocatis, sanctorum praeceptum edixit, et celeriter se tollere supplicabat. Illi vero martyrico audito decreto,

τον αὐτὸν ἀνελόμενοι, τοῦ τεμένους ἐξίεσαν· καὶ τῆς θαλάττης πλησίον γενάμενοι, ἁλιέα τινὰ μετὰ δικτύων εὑρίσκουσι, τὰς γονὰς τῶν ὑδάτων θηρεύοντα· καὶ παρ᾽ αὐτὸν ἀφικόμενοι, τὸν ἄῤῥωστον ἐπὶ τῆς ψάμμου τιθέασιν. Ὁ δὲ τὸν ἀσπαλιευτὴν προσφθεγξάμενος, τί βούλει φησὶν ὑπὲρ βολῆς μιᾶς καὶ μόνης κομίσασθαι, καὶ παρασχεῖν μοὶ ὅπερ ἂν ἀγρεύσοι τὸ δίκτυον; καὶ εἴτέ τι ἀνενέγκοι, εἴτε καὶ μηδὲν ἀνιμήσοιτο, καὶ εἴτε μικρὸν εἴτε μέγα, καὶ εἴτε πλείονα εἴτε ἐλάττονα, ἐμὸν ἔσται καθάπερ ἐπίτευγμα τὸ τῷ δικτύῳ ζωγρούμενον· ὁ δὲ κεράτιον ἓν, ἀπεκρίνατο· ἁπλώσας οὖν ἐκεῖνος τὸ δίκτυον εἰς τὴν θάλατταν ἔῤῥιψε, μικρὸν ἴσως ἰχθύ-

maturius eum tollentes eduxerunt e templo, et cum iuxta mare venissent, piscatorem quemdam cum reti reperiunt, foetus aquarum captantem, ad quem cum accederent, infirmum super arenam ponunt. Qui piscatorem allocutus, quid vis, ait, pro uno et solo summisso iactu percipere, praebiturus mihi quodcumque rete captaverit? sive quid attulerit, sive nihil attulerit, et sive parvum vel magnum, sive plus vel minus exhibeat, ut meum modis omnibus sit quod fuerit reti captum. At ille siliquam unam respondit, quam infirmus alacriter dare promisit. Expansum itaque ille rete proiecit in mare, pusillum forte piscicu-

διον, ἤ τι τῶν ἐν ὕδασιν ἀγρεύειν οἰόμενος· τὰ αὐτὰ δὲ προδήλως ἐνόμιζεν καὶ ὁ τὴν βολὴν μισθωσάμενος ἄῤῥωστος· ἑλκύσας δὲ μετὰ βραχὺ τὸ ἀμφίβληστρον θίβην τινὰ βραχυτάτην ἀνήγαγεν· καὶ οὐχ ὅπερ ἑκάτερος ἤλπισεν, ἥτις οὐ τὸν Μωϋσέα κάτω κρυπτόμενον ἔφερε, ἀλλὰ τὸ κατ' Ἰαννὴν καὶ Μαμβρὴν κακούργημα· οὔτε νομοθέτην ἀστεῖον καὶ παρὰ πάντας πραότερον ἀνθρώπους ὡς δέδεικται, ἀλλ' ἄνομόν τι καὶ δαιμονικῆς ἀγριότητος κύημα· ὅπερ ὁ ἁλιεύσας ἀγνοῶν, καὶ σὺν αὐτῷ πάλιν ὁ ἄῤῥωστος, περὶ τῆς θήκης ἐμάχοντο, ὁ μὲν ὡς οὐ θίβην λέγων, ἀλλ' ἰχθὺν ἀνερχόμενον πέπρακα· ὁ δὲ

lum, vel quid eorum quae in aquis sunt capere ratus, eademque manifeste putabat infirmus, qui bolidis iactum mercede conduxerat. Tracto autem paulo post retiaculo, fiscellam quandam brevissimam sursum eduxit, non quod uterque sperabat, quae non deorsum Moysen absconditum deferebat, sed maleficium quod erat simillimum Iaanis et Mambris, neque legis latorem elegantissimum, et super omnes homines mansuetissimum, sed iniquum quid et daemonicae feritatis genimen. Quod piscator et cum eo rursus infirmus ignorantes, super fiscellam mutuo rixabantur; alter quidem quod non fiscellam sed piscem qui esset ascensurus vendiderit dicens; alter vero, id est

νοσῶν, ὡς οὐ μόνον ἰχθὺν, ἀλλὰ καὶ ὃ δ' ἂν ἀνέλθοι φάσκων ὠνήσασθαι· ἔτικτε γὰρ αὐτοῖς οὐ μόνον ἡ θίβη τὸν πόλεμον ἔχειν τί τῶν ἀναγκαίων ἔνδον ἐμφαίνουσα, ἀλλὰ καὶ ἡ περίεργος ταύτης ἀσφάλεια· οὐ μόνον γὰρ κλειδώσεσι περιέσφικτο, ἀλλὰ καὶ σφραγίσι μολιβδίναις ἐστόμωτο.

Ὡς δ' ἐπὶ πολὺ φιλομαχησάμενοι πείθειν ἀλλήλους οὐκ ἴσχυον, οὐδὲ πάλιν παραχωρεῖν ἀλλήλοις ἠνείχοντο, πρὸς τὸν οἰκονομοῦντα τὸ τέμενος ἔρχονται, κριτὴν αὐτὸν τῆς δίκης ληψόμενοι· ὁ δὲ τοῖν ἀμφοτέροιν λόγοιν πυθόμενος, οὐ πρότερον τὴν ψῆφον ἠνείχετο, εἰ μὴ τὴν χειλέον ἀνοίξω φησὶν, καὶ ταύτης ἔνδον θεάσομαι·

languidus, quod non solum piscem sed et quicquid ascensurum foret emerit asseverans: pariebat enim eis litem non solum fiscella, quae habere se quid necessariorum intrinsecus ostendebat, sed et curiosissimum huius munimen, non solum quippe clavis circum stringebatur sed et signaculis plumbeis obstruebatur.

* *cod.* obiurgati.

Cumque diutius iurgati * acquiescere mutuo minime valuissent, sed nec cedere iterum invicem pertulissent, ad dispensatorem templi venerunt, hunc iudicem controversiae accepturi. At ille amborum verbis compertis, non prius dare sententiam patiebatur, nisi operculum aperuero, inquit,

ἀνοίξας οὖν πάντων ἐν ὄψεσιν σὺν κόπῳ πολλῷ τὸ κιβώτιον, θέαμα δεινὸν καὶ παγχάλεπον εὕρισκεν, οὐδὲν ὧν οἱ εὑρίσκοντες ἐνόμιζον, ἢ πάντες οἱ παρεστῶτες καὶ βλέποντες, ἀλλ' ὅπερ οἱ ἅγιοι φιλανθρωπείας πελάγει νηχόμενον ἐκ κόλπων βυθίων ἀνήγαγον· ξόανον ἦν ἀνδρείκελον, ἐκ χαλκοῦ λαχὸν τὴν ὑπόστασιν, εἰκονίζον μορφῇ τὸν Θεόφιλον, καὶ ἥλους ποσὶ καὶ χερσὶ καθηλωθένῖας ἔφερε τέτῖαρας, ἥλου ἑνὸς καθ' ἑκάσῖου μέλους ὑπάρχοντος· ὅπερ οἱ παρόντες θεώμενοι, πολυτρόπως ἐξίσταντο, τί δ' ἦν τὸ φαινόμενον οὐκ ἐγίνωσκον· ὅθεν κἀυτῶν μαχομένων ὁ πόλεμος πέπαυῖαι, φανερωθέντος αὐτοῖς τοῦ εὑρήματος.

et quae introrsus sunt eius aspexero. Aperta ergo cum labore multo sub omnium oculis arcula, visionem atrocem et saevissimam reperiebat, et nil eorum quae hi qui reppererant autumabant, nisi quod omnes qui astabant intuiti sunt, quodque sancti miserationis pelago natans, e profundis sinibus eduxerunt, simulacrum videlicet, viri exprimens formam, et sortitum ex aeramento substantiam, et imaginans figura Theophilum, et quatuor ferens pedibus ac manibus clavos infixos, singuli enim singulis erant membris infixi. Quod qui aderant contemplantes, multifarie stupefiebant, quid autem esset quod apparuerat ignora-

Καὶ μικροῦ ἂν αὐτὸ ἐνθαλαττεύειν ἐνέβαλον, καὶ κύμασι τὸ δυσσεβὲς ἔκρυψαν θέαμα, Θεοφίλου μηδεμίαν εὑρόντος ὠφέλειαν, εἰ μὴ πάλιν οἱ μάρτυρες τὸν οἰκονόμον κινήσαντες, τὸ τί ἂν εἶεν οἱ ἧλοι ζητῆσαι οἱ προσπεπηγότες τέτρασιν ἀνδριάντος τοῖς μέλεσιν· ὅθεν τῶν παρεστώτων τινὶ ἀποσπᾷν εἰ δύναιτο τοὺς ἥλους ἐκέλευσεν· ὡς δὲ τὸν ἀνδριάντα δεξάμενος ἥλου τε τοῦ τῇ δεξιᾷ χειρὶ πεπηγότος δρεξάμενος, σὺν δυνάμει πολλῇ βιαίως ἑλκύσας ἀφήλωσεν· οὗπερ ἀποσπασθέντος, ἡ δεξιὰ Θεοφίλου χεὶρ εὐθὺς ἀπελύετο, καὶ τῆς ὀδύνης τὸν ὄγκον ἀπέβαλλε, καὶ τὸ μετὰ τῆς ὀδύνης ἀκίνητον· τότε

bant; unde et litigantium pugna, cum inventio sibi apparuisset, soluta est.

Et propemodum eam rursus in mare demersam summitterent, et fluctibus foedam illam speciem occultassent, Theophilo nullum reperiente profectum, nisi denuo martyres commoventes dispensatorem, ut quinam essent clavi quaereret excitassent, qui infixi quatuor statunculi membris existerent; unde cuidam assistentium iussit extrahere clavos, si posset. Qui cum statunculum accepisset, clavumque qui in dextera manu infixus erat apprehendisset, cum virtute multa violenter abstractum procul excussit; qui dum abstraheretur, Theophili manus dextra continuo solvebatur, sicque do-

πᾶσιν ἐγνώσθη τοῖς βλέπουσιν ἡ εἰς αὐτὸν μυσαρὰ περιεργία, ἣν οἱ γόητες ἐκεῖνοι σὺν μυαροῖς καὶ κακίστοις δαίμοσιν πράξαντες, θαλαττίῳ βυθῷ ὡς οὐκ ἀναλυθησομένην ἐνέβαλον· ἀλλ' ἀσθενεῖς καὶ μανιώδεις ἠλέγχθησαν, Κύρου σαφῶς αὐτοὺς διελέγξαντος, καὶ Ἰωάννου τοῦ Κύρου συμμάρτυρος· καὶ δείξαντες ἐναργῶς, ὡς οὐδὲν αὐτῶν τῶν ἐν κτίσμασιν ἄβατον, οὐκ οὐρανὸς, οὐ γῆ, οὐκ ἀὴρ, οὐ πῦρ, οὐχ ὕδωρ, οὐ θάλαττα, ἀλλὰ πάντα διέρχονται τοὺς εὐσεβεῖς καὶ πιστοὺς διασώζοντες· καὶ ταῦτα μὲν φανερὰ τοῖς πᾶσι καθέστηκε, κἂν ἡμεῖς μὴ κηρύξωμεν.

loris molem deposuit, et cum dolore immobilitatem. Tunc omnibus, qui hoc viderunt, innotuit infanda curiositas quae contra eum fuerat adinventa, quam scilicet illi malefici cum importunis et pessimis actam daemonibus marino profundo summiserant, quasi numquam aliquando dissolvendam. Sed ut infirmi et insani redarguti sunt, Cyro eos et Iohanne Cyri conmartyre liquido convincentibus, ostenso dilucide quod nihil sit illis in creaturis non pervium, non caelum, non terra, non aër non ignis, non aqua, non denique mare, sed omnia transeunt salvantes pios atque fideles. Et quidem haec manifesta cunctis effecta sunt, licet illa nos minime praedicemus.

Οἱ τότε δὲ περὶ τὸν οἰκονόμον τυγχάνοντες, ὡς ἴδον καὶ ἔμαθον τὸ κακούργημα, καὶ χεῖρα τὴν δεξιὰν κινοῦντα Θεόφιλον, περιχαρεῖς γεγονότες τοὺς μάρτυρας ᾔνεσαν, ἀφηλῶσαί τε τοὺς λοιποὺς ἥλους ἐσπούδασαν· πρὸς ὃ δὲ τούτους ἐξέλυον, ἐκ τῶν δεσμῶν ὁ ἄῤῥωστος καὶ βασάνων ἐλύετο· μέχρις οὗ πάντας ἀνέσπασαν· καὶ οὕτως ὁ νοσῶν πάσης ἐλυτρώθη διαβολικῆς περιεργίας καὶ μάστιγος· τὸν γὰρ ἐπὶ τῆς λεᾶς χειρὸς τοῦ ἀνδριάντος ἐξάραντες, τὴν λεὰν εὐθὺς ὁ πάσχων ἐξέτεινεν· καὶ πάλιν τοὺς τοῖς ποσὶ τοῦ ξοάνου προσηλωμένους ἥλους ἐκσπάσαντες, τοὺς πόδας ὁ ἄῤῥωστος ὀδύνης χωρὶς καὶ ἀλγηδόνος ἐκίνησεν· ὅθεν δρομαῖος ἀναστὰς, τῇ

Caeterum hi qui tunc cum dispensatore habebantur, cum maleficum vidissent, et cognovissent manum dextram movere Theophilum, et martyras laudaverunt, reliquosque clavos evellere festinaverunt. Dum autem hos exsolverent, infirmus quoque a vinculis et tormentis pariter solvebatur, quousque omnes evulsi sunt; sicque languens ab omni liberatus est diabolica operatione pariter et flagello. Cum enim clavum laevae statunculi manus abstulissent, laevam protinus is qui patiebatur extendit: et rursus cum eos qui pedibus simulacri erant affixi abstraxissent, pedes infirmus sine dolore nihilominus movit. Unde fe-

σορῷ τῶν λειψάνων τῶν ἁγίων προσέδραμε, καὶ τοὺς ἁγίους μεγαλοφώνως ἀνύμνησε, μετεώρους καὶ τὰς χεῖρας ποιούμενος, καὶ συνυμνοῦντας ἔχων τοὺς βλέποντας· ἡμεῖς δὲ πάλιν τοὺς μάρτυρας ὡς δυνατὸν ἀνυμνήσαντες, καὶ τὴν παροῦσαν διήγησιν κορωνίδα τοῖς θαύμασιν τοῖς εἰς ἀλεξανδρέας γραφεῖσιν ἡμῶν ἐπενέγκαντες τῶν εἰς αἰγυπτίους καὶ λίβυας λοιπὸν ἀπαρξώμεθα, Χριστὸν τὸν θεὸν ἡμῶν χωρηγὸν ἡμῖν τοῦ λόγου γενέσθαι πρεσβεύσαντες, καὶ τοὺς ἐξ αὐτοῦ δρῶντας τὰ θαύματα Κῦρον καὶ Ἰωάννην τοὺς μάρτυρας.

stinus exsurgens ad confessionem sanctorum cucurrit, sanctosque magna voce laudavit, in altum manus extendens, et collaudantes eos qui viderant habens. Nos autem martyras tamquam potentes iterum hymnizantes, et praesentem narrationem, quasi coronam miraculis quae in Alexandrinos a nobis scripta sunt afferentes, ea quae in Aegyptios et Libyos * scripta sunt iam iamque incipimus, Christum dominum nostrum largitorem nobis verbi fieri deprecantes, simulque Cyrum ac Iohannem martyras miracula ex ipso patrantes.

* ita cod.

ΑΡΧΗ ΤΩΝ ΕΙΣ ΑΙΓΥΠΤΙΟΥΣ ΚΑΙ ΛΙΒΥΑΣ ΓΡΑΦΕΝΤΩΝ ΘΑΥΜΑΤΩΝ.

λϛ. ΠΕΡΙ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΥΠΟΔΙΑΚΟΝΟΥ ΠΟΔΑΓΡΑΝ ΕΧΟΝΤΟΣ.

Ἀλεξάνδρειαν Αἰγύπτου καὶ λιβύων ἀκούω μητρόπολιν (1), καὶ ταύτης χωρίζειν οὐ δίκαιον αἰγυπτίους ἡγοῦμαι καὶ λίβυας, ὧν κεφαλή τε καὶ ῥίζα τυγχάνουσα, οὐ μὴν ἀλλὰ καὶ κρηπὶς καὶ θεμέλιος· τούτων ἐκτὸς οὐδ' αὐτὴ βούλεται γενέσθαι, οὐδὲ ταύτης Λιβύη καὶ Αἴγυπτος, ἐπεὶ μηδὲ σῶμα ζῇ τῆς κεφαλῆς χωριζό-

INITIUM MIRACULORUM QUAE IN AEGYPTIOS ET LIBYOS * SCRIPTA SUNT.

* ita cod.

36. DE THEODORO SUBDIACONO PODAGRAM HABENTE.

Alexandriam Aegypti atque Libyarum audio esse metropolim, et ab hac separandos non iustum Aegyptios aut Libyos duxerim, quorum cum sit caput, radix, quin etiam crepido simul et fundamentum, sine his quia nec ipsa vult apparere, nec absque hac Libya, vel Aegyptus, quoniam neque corpus vivit a capite separatum, neque rami

(1) Hunc locum sub sancti Sophronii archiepiscopi hierosolymitani nomine laudat secunda nicaena Synodus act. IV. Tom. XIII. ed. Florent. col. 57.

μενον, μηδὲ ῥίζης οἱ κλάδοι τεμνόμενοι μένουσιν ἔγκαρποι, μήτε μὴν κρηπῖδος ληφθείσης ἄπτωτον ἄγαλμα στήσεται, μήτε θεμελίου στερούμενον μένειν οἰκοδόμημα δύναται· ὅθεν ἀκόλουθον οἶμαι καὶ δίκαιον, ὡς κεφαλῇ τὸ σῶμα συγκείμενον, καὶ ῥίζῃ τὸν ὅρπηκα, καὶ κρηπῖδι τὸ ἄγαλμα, καὶ θεμελίῳ τὸ οἴκημα, λαμπρά τέ ἐστι καὶ ἀκίνδυνα· οὕτως Ἀλεξάνδρεια Λιβύη συνταττομένη καὶ Αἴγυπτος ἐν τοῖς τῶν θαυμάτων Κύρου καὶ Ἰωάννου συντάγμασιν, χαίρουσί τε καὶ τέρπονται τῇ ταύτης φαιδρότητι λαμπρυνόμεναι, καὶ ὡς κοινωνοῖς σεμνυνόμεναι τοῦ τῶν ἁγίων μεγαλόφρονος κτήματος· οὐκοῦν ἑνούσθωσαν ἀλεξανδρεῦσιν αἰγύπτιοι, καὶ τού-

a radice recisi permanent fructuosi; quin etiam ubi crepido defuerit, simulacrum non sine casu stabit, quemadmodum nec fundamento carens manere poterit aedificium; unde consequens esse reor et iustum, ut sicut capiti corpus, radici ramus, crepidini simulacrum, et fundamento aedificium, haerentia clara sunt et sine discrimine, ita et cum Alexandria, Libya vel Aegyptus in Cyri Iohannisque miraculorum serie, ordinate gaudeant et delectentur, huius claritate fulgentes, et tamquam sociae gloriantes super sanctorum liberali mirabilium possessione gestorum. Ergo uniantur alexandrinis aegyptii, et ab his libyi non abscindan-

των οἱ λίβυες μὴ τεμνέσθωσαν, ὡς γονεῦσι παῖδες ἀγόμενοι, καὶ τὴν αὐτὴν ἐπὶ τοῖς μάρτυσι δόξαν καρπούμενοι, καὶ κλέος ἓν ἀμέριστον ἔχοντες.

Προλαμπέτω τοίνυν αἰγυπτίων ὁμοῦ καὶ λιβύων ἐν θαύμασιν ὁ ἐκ Θεννήσου Θεόδωρος· πόλις αὕτη τῆς Αἰγύπτου καθέστηκεν· ὁ τότε μὲν ἐν λαϊκοῖς ἀριθμούμενος καὶ τοῖς ἐκκλησίας τῆς καθολικῆς ἀποσχίζουσιν, νυνὶ δὲ θεοῦ χάριτι καὶ μαρτύρων φωτισμῷ καὶ προστάγματι, καὶ ἐν τοῖς ταύτης παισὶ λογιζόμενος, καὶ βαθμοῦ τυχὼν ἱερατικοῦ τοῦ μετὰ τοὺς διακόνους ὑπάρχοντος, καὶ λειτουργῶν ὡς ὑποδιάκονος ἐν τῷ σεπτῷ τῶν ἁγίων οἰκήματι· οὗτος

tur, veluti filii parentes sectati, et eandem in martyribus claritatem carpentes, et gloriam unam et inpartibilem possidentes.

Praefulgeat igitur in aegyptiorum et libyorum miraculis Theodorus, qui ab Aegypti civitate Thenneso nomine prodiit, qui tunc quidem cum laicis connumerabatur, et his qui se a catholica ecclesia scindunt; nunc autem Dei gratia et martyrum illuminatione atque praecepto, et cum huius filiis deputatus sacratum gradum, qui est post diacones *, consecutus, et ministrat ut subdiaconus in venerabili sanctorum habitaculo. Hic ut fertur Theodorus ab ineunte aetate pedum lan-

* ita cod.

ὡς φασὶν ὁ Θεόδωρος ἐκ νέας ἡλικίας τῷ τῶν ποδῶν περιπίπτει νοσήματι, ὅπερ ἰατροὶ πόδαγραν ὡς οἶμαι καλῶς προσηγόρευσαν, διὰ τὴν τοῦ πάθους πολλὴν ἀγριότητα· ὥσπερ γὰρ τῶν θηρῶν ἀγριώτερα φυσικῶς τὸ ἀνήμερον ἔχοντα τοῖς ἡμεροῦν ἐθέλουσιν εἰσὶν ἀνυπότακτα τιθασσευόντα χαλινὸν δεχόμενα, οὕτω καὶ τοῦτο τὸ ἀνήμερον νόσημα, παισὶν ἰατρῶν ὑπάρχον ἀτίθασσον, ὑγείας χαλινὸν οὐκ ἀνέχεται, ἀλλ' αὐτοὺς τοὺς προσφερομένους αὐτῷ τοῖς βοηθήμασιν, ὥσπερ ἐξ ἀράχνης ὄντας περικόψαν ἀπέρχεται, τὴν οἰκείαν ἀναλαβὼν ἀγριότητα.

Τούτῳ περιπεσὼν ὁ Θεόδωρος ἐκ βραχείας ἡλικίας, ὡς ἔφημεν, προκόπτον εἶχε τὸ πάθος

guorem incurrit, quem bene ut reor medici podagram appellaverunt, ob multam scilicet aegritudinis feritatem. Sicut enim ferociores bestiae natura immites existentes, et his qui has mansuefacere volunt se minime subdunt, et dum mitigari temptantur, frenum non recipientes resultant; ita et hic immitissimus languor cum sit discipulis medicorum prorsus immitis, curationis frena non sustinet, sed cum haec sibi allata in auxilium fuerint, quasi ex aranea contexta recidit, et indomitus recedit, propria feritate resumpta.

Hunc cum incurrisset a parva ut innuimus aetate Theodorus, processum habebat intolerabilem *,

* *cod.* intollebilem.

ἀφόρητον· ὅπερ κατὰ τῶν ζώων γεννήματα, καὶ φυτῶν καὶ δένδρων βλαστήματα τὰ τὴν οἰκείαν ἀρετὴν καὶ εὐγένειαν ἐκ προοιμίων εὐθὺς ἐνδεδεικνύμενα, ἣν ἔχειν εὐφυΐαν ἔπειτα μέλλουσιν, τοῖς εἰδόσιν ὁρᾷν ἐκ μήτρας αὐτῆς καὶ φυῆς προαστράπτοντα· καὶ αὐτὸ τὸ ἑαυτοῦ φανὲν προσεδείκνυεν μέγεθος, ὡς πόρους εὐθὺς δυσειδεῖς καὶ προκόπτοντας ἐπί τε ποδῶν καὶ χειρῶν τῇ τῶν ἀλγηδόνων βλαστῆσαι σφοδρότητι καὶ τῇ πανομβρίᾳ τοῦ συχνῶς καταστάζοντος ῥεύματος· μετεπλάττοντο γὰρ αὐτῷ πρὸς λίθων ἀμορφίαν οἱ δάκτυλοι, μήπω τελείας τυχόντες αὐξήσεως· καὶ τῶν ποδῶν οἱ ταρσοὶ ἐμιμοῦντο τὰ τῆς γῆς ἀναστήματα· καὶ τάχα ἂν οἱ πόδες αὐ-

qui secundum animalium genimina et plantarum et arborum germina, quae propriam virtutem et nobilitatem mox a principiis exhibent, quam habiturus indolem esset, postmodum his qui videre noverant, ex ipso utero et nativitate praemonstravit. Ipseque apparens suam iam magnitudinem ostendebat, ita ut meatus mox foedi rumpentes, tam in pedibus quam in manibus ex dolorum pullularent nimietate more imbrium, indefesse reumate distillantes: transfigurabantur enim ei digiti in lapidum deformitatem, etiam nondum perfecto incremento sui percepto; et pedum plantae, terrae cumulos imitabantur. Et fortasse pe-

τῷ καὶ σὺν τούτοις αἱ χεῖρες πρὸς ταῦτα μετέβαλον, τὴν οἰκείαν μορφὴν ἀρνησάμενοι, καὶ τὸ σφῶν εἶδος παντελῶς διαλλάξαντες· εἰ μὴ Κῦρον εὗρεν τῇ νόσῳ μαχόμενον, καὶ Ἰωάννην τὸν μάρτυρα τὸν τούτου συνόμιλον.

Ἰατροῖς μὲν γὰρ ἑαυτὸν τὸ πρῶτον ἐκδέδωκεν· ἀλλ᾽ ὡς ἴδεν κρατοῦν αὐτὸν τὸ ἀῤῥώστημα καὶ τῆς τέχνης ἐμφανῶς περιγιγνόμενον, πρὶν ἢ καὶ αὐτοῦ περιγένηται, πρὸς τοὺς ἁγίους καταέφυγε, μόνους μετὰ θεὸν εἰ θελήσαιεν δύνασθαι κατευνάζειν τὸ πάθος πυθόμενος, χαλινὸν ὀρέγοντας ἔνθεον καὶ οὐ βροτείας ἐκ τέχνης γενόμενον· ἐλθὼν οὖν αὐτῶν εἰς τὸ τέμενος, θεραπείας τυχεῖν μετὰ πάντων ἐδέετο· οἱ δὲ φιλ-

des ei et una cum his manus ad haec transferrentur, forma propria denegata, et specie sua penitus commutata, nisi Cyrum invenisset contra morbum pugnantem, et Iohannem martyrem sacratissimi Cyri consocium.

Nam primo quidem se medicis tradidit, sed cum vidisset quod et illos superaret, et artem manifeste vinceret languor; prius quam et se quoque penitus obtineret, ad sanctos confugit solos post Deum si vellent posse passionem compescere sciens, divinum porrigentes frenum, et non humano ex artificio factum. Cum ad templum ergo venisset, curationem consequi cum omnibus pre-

ἄνθρωποι μάρτυρες παραστάντες αὐτῷ πολλάκις καθεύδοντι, τῇ καθολικῇ κοινωνεῖν ἐκκλησίᾳ προσέταττον, δι' ὅρκων ἐπαγγελλόμενοι, ὡς εἰ πεισθείη αὐτοῖς περὶ πίστεως ὀρθῆς αὐτῷ συμβουλεύουσιν, καὶ τὴν ῥῶσιν χαρίσονται, καὶ δωρεὰς πρὸς ζωὴν συντελούσας τὴν παροῦσαν παρέξουσιν, καὶ κλήρων ἱερατικῶν ἀξιώσουσιν· τῆς γὰρ Ἰουλιανοῦ τοῦ ἁλικαρνασέως ὑπῆρχεν αἱρέσεως· ὁ δὲ τούτων ἁπάντων τὰς μεθ' ὅρκων ἐπαγγελίας πυθόμενος, οὐδὲν ἧττον ἀπειθὴς καὶ ἀμετάθετος ἔμεινεν· ὅθεν οἱ μάρτυρες ὡς λόγοις αὐτὸν οὐκ ἔπειθον χρώμενοι, ταῖς τῆς ἀσθενείας ἐπείραζον μάστιξιν· ὡς δὲ μηδ' οὕτω τὸν ἄνθρωπον ἔπεισαν, δεῖξαι

cabatur. Ast misericordissimi martyres assistentes ei saepe dormienti catholicae communicare praecipiebant ecclesiae, iureiurando se pollicentes, si sibi obedisset de fide recta ei consilium tribuentibus, et sanitatem illi donaturos, et donationes vitae praesentis congruas praestituros, et eum clero dignum sacro facturos; Iuliani quippe halicarnaseos erat haereseos. At ille horum omnium repromissionibus cum iuramentis auditis, nihilominus incurvabilis et immutabilis mansit. Unde martyres cum nullis sermonibus inflexissent, verberibus temptabant infirmitatis. Cum autem nec sic fecissent hominem conquiescere, de-

θεσπίζουσι τῆς οἰκείας ἀσθενείας τὸ μέγεθος, ἵνα καὶ οὕτω δειλιάσας τὰ μέλλοντα, πειθήνιον ἑαυτὸν ἀπεργάσοιτο.

Καὶ φανέντες εἰς ὄναρ ἀμφότεροι, εἰς τὸ τοῦ ναοῦ δομάτιον ἀναφέρουσιν, ἀκολουθεῖν αὐτοῖς διατάξαντες, καὶ πρὸς τὸ ἄκρον τοῦ δόματος στήσαντες, τὴν θάλατταν γαληνιῶσαν ἐδείκνυον· καὶ εἰ μετρεῖν δύναιτο τὰ ταύτης ἐπυνθάνοντο κύματα· ὁ δὲ λίαν εὐμαρῶς μετρεῖν ἀπεκρίνατο· καὶ μετρεῖν οἱ μάρτυρες ἔλεγον· ἀρξαμένου δὲ αὐτοῦ τῆς μετρήσεως, καὶ τοὺς ἀριθμοὺς ἀνειμένως ὡς τὰ κύματα λέγοντος πυκνότερα ταῦτα κατ' ὀλίγον γιγνόμενα, καὶ πάλιν συχνὰ καὶ ἐπάλληλα τοῖς εἰσιῶσι * προσπίπτοντα, κατὰ κράτος ἐνίκων τὸν δύνασθαι μετρεῖν εἰρηκότα

* ita cod.

monstrare decernunt infirmitatis propriae magnitudinem, ut vel sic futura pavescens, semet exhiberet obedientem.

Et apparentes ambo per visum in domicilium imponunt templi, se sequi praecipientes, et iuxta summitatem domatis statuentes, mare tranquillum factum monstrabant, et si huius posset numerare fluctus, interrogabant. At ille, etiam, nimis facile respondebat; et martyres numerare praecipiebant. Cumque ille numerare coepisset, et numeros sicuti et fluctus parumper edieeret, et illi e contra frequentiores paulatim effecti, et rursus

Θεόδωρον, καὶ τὴν ἧτταν ὁμολογεῖν κατηνάγκαζον· ὃς νικηθεὶς τῇ τῶν κυμάτων συχνότητι, πεσὼν ἐπὶ πρόσωπον καὶ λέγων μὴ δύνασθαι, πρὸς τῶν ἁγίων ᾔτει συγχώρησιν· οἱ δὲ τοῦτον ἐγείραντες, ὁρᾷς λέγουσι τὰ συνεχῆ ταῦτα καὶ ἀμέτρητα κύματα; ὁ δέ· ναὶ φησὶν, ἐνδοξότατοι μάρτυρες· τότε πάλιν οἱ ἅγιοι λέγουσιν· ὥσπερ ταῦτα τὰ κύματα οὔτ' ἀριθμῆσαί τις οὔτε κατασχεῖν ἄνευ θεοῦ τοῦ κτίσαντος δύναται, οὕτως οὔτε τῆς σῆς ἀσθενείας τὰ ῥεύματα· εἰ οὖν πεισθείης ἡμῖν εἰς ὅ σοι συνεχῶς συμβουλεύομεν, καὶ γένῃ περὶ τὴν πίστιν ὁμόδοξος, καὶ ἡμεῖς σοι πειθόμεθα, καὶ Χριστὸν περὶ σοῦ τὸν θεὸν καὶ δεσπότην ἡμῶν ἱκετεύσομεν, καὶ πιστεύο-

spissi et alternati ad ripas illiderentur, Theodorum qui posse se numerare dicebat, potentialiter superabant, et se esse superatum fateri cogebant. Qui fluctuum victus frequentia, cadens in faciem, et non posse se perhibens, indulgentiam expetebat. At illi erecto eo, vides aiunt frequentes istos et innumerabiles fluctus? Qui ait, etiam, gloriosissimi martyres. Tunc iterum sancti dicunt, sicut hos fluctus neque numerare quis neque continere, Deo qui creavit excepto, potest, sic nec infirmitatis tuae reumata. Ergo si obaudieris nos, ad id quo tibi crebro consilium damus, et factus fueris fide catholicus, et nos te audiemus, et Christum pro

μεν ὡς πάντως παράσχοι τὴν ἴασιν· πῶς γὰρ αὐτὸν περὶ σοῦ λιτανεύσωμεν ἀπειθοῦς ἡμῖν διαμένοντος; ὁ δὲ καὶ τούτων καὶ πλειόνων ἄλλων πυθόμενος, οὐδαμῶς τὴν γνώμην μετέβαλεν.

Ἀλλ' ὡς καὶ ταύτην αὐτῶν ἀπέῤῥιψε τὴν παραίνεσιν, οὐκέτι προτρέποντες ὡς φιλάνθρωποι, ἀλλ' ἀπειλοῦντες ὡς ἀπότομοι φαίνονται· μεθ' ἡμέρας γάρ τινας τοῦ λεχθέντος ὁράματος, πάλιν ὁρᾷν ἐδόκει τοὺς μάρτυρας οὐκέτι προσηνέσι λόγοις προτρέποντας, ἀλλ' ἀπειλαῖς καὶ φόβοις προστάσσοντας· ἐπὶ θώκων γάρ φησιν ἐκαθέζοντο, καὶ στρατιαὶ καὶ τάξεις ἀρχοντικαὶ καθημένοις αὐτοῖς παρεστήκασιν· ὧν τινὲς ὡς ἐκ μαρτυρικοῦ πεμφθέντες θεσπίσματος

te Deum et dominum nostrum rogabimus, et credimus quod omnino tibi praebeat sanitatem. Nam quomodo eum pro te deprecabimur, te manente circa nos inobediente? At ille his et aliis pluribus auditis, nequaquam mentem mutavit.

Verum cum et hanc eorum admonitionem sprevisset, non iam ut humani cohortantes, sed sicut inhumani minitantes apparent. Post aliquot enim dies iam dictae visionis iterum aspicere martyras videbatur, non iam lenibus verbis hortantes, sed minis atque terroribus praecipientes. Supra sedes enim quasi sedebant, et exercitus et ordines principales sedentibus illis astabant; quo-

τὸν ὀνειροπωλοῦντα συνέσχον Θεόδωρον, καὶ τὰς χεῖρας εἰς τοὐπίσω συστρέψαντες, καὶ τὸν τράχηλον κλίνειν εἰς γῆν ἀναγκάσαντες, ὥσπερ τοὺς κακούργους οἱ δήμιοι σχηματίζουσιν, εἰς μέσον αὐτὸν δεδιότα καὶ τρέμοντα ἀμφοτέρων τῶν τάξεων ἀγαγόντες παρέστησαν· ἀπειλοῦσι δὲ τοῖς ἁγίοις καὶ τάδε ποιεῖν καὶ τάδε τοῖς αὐτὸν κάτω νεύοντα καὶ κεκυφότα κατέχουσιν, εἰ μὴ πιστεύειν αὐτοῖς ἐθέλοι, προστάττουσιν, αἱ παρεστῶσαι τάξεις προσέπιπτον λῆξαι τῆς ὀργῆς ἱκετεύουσαι· καὶ πειθόμενον ἀπὸ τοῦ νῦν τὸν Θεόδωρον δέξασθαι καὶ δωρήσασθαι τὴν τῆς παρελθούσης ἀπειθείας συγχώρησιν.

Οἱ δὲ μάρτυρες φησὶν τούτων τὰς αἰτήσεις

rum aliqui tamquam ex martyrico missi decreto, inspectorem somnii comprehenderunt Theodorum, et manus retrorsum vertentes, et collum inclinare in terram cogentes, in similitudinem qua nequam operarios, carnifices tractare solent, timentem eum atque trementem ductum in medium utriusque ordinis statuerunt. Cum autem sancti minas intentarent et haec et haec facere his qui eum deorsum innuentem et inclinem tenebant, si sibi credere noluisset, praeciperent, astantes ordines procidebant, et parcere irae, et acquiescentem ex hoc Theodorum recipere, et donare praeteritae diffidentiae indulgentiam supplicabant.

εἰσδεξάμενοι, καὶ μικρὸν τῆς ὀργῆς ὑπενδώσαντες, ἀπάγειν τοὺς κρατοῦντας ἐκέλευσαν, καὶ πάλιν αὐτὸν ἀπολύειν τῇ ἁγίᾳ κοινωνεῖν ἐκκλησίᾳ συνθέμενον· ἀπάγοντες γοῦν αὐτὸν οἱ κατέχοντες, ἠρώτων εἰ τῆς τοσαύτης ἀπειλῆς τὴν αἰτίαν ἐπίσταται· ὁ δέ· ναὶ φησὶν οἶδα τὸ αἴτιον· οἱ δέ· καὶ τί ἂν εἴη, πάλιν ἠρώτησαν· ὁ δέ· τὸ μὴ θέλειν με προσελθεῖν τῇ καθολικῇ ἐκκλησίᾳ, καὶ τοῖς ἐν αὐτῇ τελουμένοις Χριστοῦ μυστηρίοις, προσήγγελλε· τί οὖν; προσέρχῃ, φασιν, εἰ τῆς κατὰ σοῦ μελετωμένης ὀργῆς ἀπολύσωμεν; καὶ συνθέμενον αὐτὸν ἀπολύουσιν· στραφεὶς δὲ μετὰ τὸν ὄνειρον περιδεὴς ἔτι καὶ ἔντρομος τὰ καθ' ὄναρ φανέντα καθ'

Praeterea martyres, horum quasi susceptis petitionibus, et parum quid ira cohibita, tollere his qui tenebant eum iusserunt et dimittere; si sanctae communicare polliceretur ecclesiae. Adducentes ergo eum hi qui tenebant, si causam tantarum sciret minarum interrogabant. Qui ait, etiam, scio causam. Illi vero, et quaenam esset, rursus interrogaverunt. Ast ille, pro eo quod accedere, inquiens, ad catholicam ecclesiam nolim, ad Christique sacramenta quae in ea cele brantur, denuntiavit. Ergone accedis, aiunt, si quam meditamur iram adversus te relaxamus? Et spondentem illum dimiserunt. Conversus autem post

ἑαυτὸν ἐλογίζετο· οὔπω δὲ πέπειστο, ἀλλ' ἀμφίβολον εἶχεν ἀκμὴν τὴν διάνοιαν, καὶ τὸν λογισμὸν τῇσδε κἀκεῖσε φερόμενον.

Ἐν ὅσῳ δὲ τὰ περὶ τούτων ἐσκέπτετο, πρὶν ἢ ταλαντεύσῃ τὸ χρήσιμον, καὶ τὸ πρακταῖον βεβαίως ψηφίσοιτο, πάλιν ἀφίπνωσε καὶ πάλιν βλέπει τοὺς μάρτυρας, ἐν Ἰουλιανοῦ τοῦ διακόνου θέᾳ καὶ σχήματι, ὃς κατ' ἐκεῖνο καιροῦ λειτουργεῖν ἐν τῷ ναῷ προκεχείριστο, παρεστῶτας καὶ λέγοντας· δεῦρο, πρὸς τὸ μνῆμα τῶν ἁγίων ἐλθόντες εὐξώμεθα· ταῦτα δὲ πρὸς αὐτὸν διελέγοντο, δοκιμάζοντες αὐτὸν εἰ μετέθετο, καὶ πειθήνιος αὐτοῖς μετὰ τοιαύτην ὄψιν γεγένητο· ἀμέλει γοῦν ἐπὶ τὴν σορὸν αὐτῶν τὴν

somnium, pavens adhuc et tremens, quae sibi apparuerant in visu secum tractabat; nondum tamen credebat, sed dubium adhuc animum possidebat, et cogitationem huc illucque ferebat.

Porro dum de his consideraret, prius quam perpendisset quod esset utilius, et quid foret agendum decerneret, iterum obdormivit, et iterum martyras aspicit, in habitu et specie Iuliani diaconi, qui per idem tempus ad obsequendum in templo ipsorum provectus extiterat, astantes atque dicentes: heia ad memoriam sanctorum venientes oremus. Haec vero ad eum disputabant, probantes illum, si mutatus esset, et obediens sibi

τιμίαν ἐρχόμενοι, καὶ σὺν αὐτοῖς ἀκολουθοῦντα τὸν Θεόδωρον ἔχοντες, πρὸ τοῦ φωτιστηρίου γενόμενοι, ἔνθα ζωοποιὰ Χριστοῦ κεῖται μυστηρία, εἰσελθεῖν αὐτὸν καὶ μεταλαβεῖν προετρέποντο· εἴσελθε· λέγοντες σὺν ἡμῖν καὶ τῶν ἁγίων Χριστοῦ μυστηρίων μετάλαβε· ὁ δέ· οὔ φησιν, οὐκ εἰσέρχομαι, ἑτέρας γὰρ ἐγὼ δόξης καθέστηκα, καὶ οὐ τοῦ τῆς ἐκκλησίας κηρύγματος· προσδοκῶ δὲ σήμερον τὴν γεννήσασαν, τὰ τῆς μεταλήψεώς μοι δῶρα κομίζουσαν· ἀλλ' ἔασόν με τέως, πρὸς τὸν αὐτὸν διάκονον ἔλεγεν, ὅπως ἐν ὅσῳ τὰ τοῦ μνήματος ἠνέωκται κάνκελλα, εἰσελθὼν τὸ τῆς κανδήλας ἔλαιον δέξωμαι· πολλοὶ γὰρ τοῦτο τῶν οὐ κοινωνικῶν διαπράτ-

post talem visionem existeret. Denique ad praetiosum eorum tumulum convenientes, et sequentem Theodorum secum habentes, cum ante illuminatorium facti fuissent, ubi vivifica Christi posita sunt mysteria, introire hunc et communicare adhortabantur; ingredere, dicentes, nobiscum, et sancta Christi mysteria percipe. At ille, non, inquit, non prorsus ingredior; alterius enim ego opinionis existo, et non praedicationis ecclesiae; expecto autem hodie genitricem, communionis mihi munera deferentem. Sed dimitte me interim, ad eumdem dicebat diaconum, ut quia monumenti cancelli aperti sunt, ingressus oleum

τονται, ἐν τῇ τῶν ἁγίων κανδήλᾳ καιόμενον ἔλαιον, ἀντὶ σώματος ἁγίου καὶ αἵματος Χριστοῦ τοῦ πάντων ἡμῶν θεοῦ καὶ σωτῆρος δεχόμενοι (1)· μηδ' ὃ πράττουσιν ὡς οἶμαι γινώσκοντες, μήτε τὸ τῆς βλάβης ἐπιστάμενοι μέγεθος.

Ἡγιάσθη μὲν γάρ, λέγω κἀγώ, τῆς τῶν ἁγίων κανδήλας ἔλαιον, ἀλλὰ τί τοῦτο πρὸς τὸν τοὺς ἁγίους αὐτοὺς ἁγιάζοντα; καὶ δύναμιν αὐτὸ κατὰ νοσημάτων ἔχειν τιθέμεθα (2), ἀλλὰ τί πρὸς Χριστὸν τοῦ θεοῦ σοφίαν ὄντα καὶ δύν-

candelae suscipiam. Multi enim ex his qui non communicant, id agunt; oleum, quod in sanctorum ardet candela, pro corpore sancto et sanguine Christi omnium nostrum Dei et Salvatoris sumentes, neque quod agunt ut reor scientes, neque laesionis magnitudinem cognoscentes.

Etenim sanctificatum quidem esse, dico et ego, sanctorum candelae oleum; sed quid est hoc, ad comparationem eius qui ipsos sanctos sanctificat? Et virtutem id contra languores habere confiteor; sed quid ad collationem Christi, qui est Dei virtus et sapientia? qui et ipsis quoque martyribus

(1) Confer hoc egregium de corpore et sanguine Domini, in eucharistia praesentibus, testimonium Sophronii, cum alio in commentario eiusdem liturgico, quem ipsi edidimus; itemque in mirac. 38.

(2) Viden Sophronium, qui oleo ante sacras reliquias incenso virtutem medicinalem, Martyrum scilicet meritis conciliatam, pie tribuit?

αμιν, τὸν καὶ μάρτυσιν αὐτοῖς χαρίσματα δυνάμεων νέμοντα; λέγω δὲ τιμῆς ἄξιον ὡς ἐπάνω τῆς θήκης καιόμενον, ἀλλὰ τί πρὸς τὸν ἐπὶ τῶν χερουβὶμ καθεζόμενον; καὶ τί τὸ τῆς κανδήλας ἔλαιον τῶν ἁγίων παραφερόμενον, ἢ τοὺς ἁγίους αὐτοὺς τοὺς τῆς κανδήλας ἁγιάζοντας ἔλαιον; πᾶν γὰρ ὅπερ κτίσμασι τέτακται, οὐ μόνον ἐπίγειον ἀλλὰ δὴ καὶ οὐράνιον, εἴτε θρόνοι, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι, εἴτε κυριότητες, εἴτε δυνάμεις ἀγγελικαὶ, καὶ παρὰ ταύτας ἕτεραι, εἴτε αὐτὰ χερουβὶμ καὶ τὰ σεραφὶμ τὰ πολυόμματα ζῶα καὶ ἑξαπτέρυγα, τὰ τῶν πολλῶν

virtutum charismata tribuit. Dico autem et quod est honore dignum, tamquam id quod supra loculum ardet; sed quid ad aequalitatem eius, qui sedet super cherubim? Et quid candelae sanctorum afferimus oleum, potius quam sanctos ipsos qui candelae sanctificant oleum? Omne quippe quod inter creaturas dinumeratur, non solum terrenum, sed et caeleste, sive throni, sive principatus, sive potestates, sive dominationes, sive virtutes angelicae, et praeter has aliae, sive ipsi cherubim et seraphim, multorum oculorum senarumque alarum animalia, qui cum sint pretiosiores quam multae possessiones (1), Deum idcirco vehe-

(1) Vel potius *creaturae*. Rursus enim aio, hanc Anastasii interpretationem perquam esse rudem et indisertam.

κτισμάτων πολὺ τιμιώτερα, καὶ διὰ τοῦτο θεὸν ἐποχούμενον ἔχοντα· εἴτε τίς ἐν νοητοῖς ἑτέρα κτίσις καθέστηκε, θεῷ μὲν φανερὰ τῷ ποιήσαντι, ἡμῖν δὲ τοῖς ἀνθρώποις ἀπόκρυφος, ἀγαπητὸν ἡγεῖται καὶ εὔχεται τὸ δούλειον ἄγειν ζυγὸν, καὶ δοῦλον εἶναι καὶ λέγεσθαι τοῦ δεσποτικοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν σώματος· μὴ μὴν αὐτὸ παραβάλλεσθαι, καὶ τὸ ἴσον ἢ παρὰ μικρὸν ἀποφέρεσθαι βούλεσθαι· ὅπερ οὐδέ τις ἦν ὁ παρέχων ἐτύγχανεν λαβεῖν κατεδέξατο· τοῦτο γὰρ τοῦ ἀρχεκάκου τὸ φρόνημα, δι' οὗ καὶ αὐτὸς τὴν ἰσότητα τὴν πρὸς τὸν θεὸν ἁρπαγμὸν ἡγησάμενος, καὶ θρόνου ὁμοίωσιν ὑπὲρ νέφη φανταζόμενος τῆς οὐρανίου ἀψῖδος, ὁ πρὶν ἑωσφόρος ἐκπέπτωκε· καὶ τοὺς ὄντας ἡμᾶς ἐν

re dinoscuntur, vel si qua in invisibilibus alia creatura est Deo manifesta qui fecit, et nobis occulta, amabile arbitratur, et obtat servile ducere iugum, et famulari, et dominici Christi Dei nostri corporis membrum vocari, non autem ei comparari, vel aequalitatem, si velut quid pene simile sit, velle aliquatenus applicare; quod neque si quis esset qui praeberet, percipere consensisset. Hic sensus est hostis antiqui, per quem et ipse rapinam arbitratus esse se aequalem Deo, et sedium similitudinem super nubes paretendens, ab abside caelesti cum ante fuerit lucifer cecidit,

παραδείσῳ προπάτορας, εἰς φθορὰν δελεάσας κατέσπασεν· ταῦτα δὲ λέγομεν οὐ τὰ τῶν εἰρημένων διορθούμενοι σφάλματα· τί γάρ μοι τοὺς ἔξω κρίνειν, ὡς φησὶν ὁ ἀπόστολος; ἀλλὰ τοὺς ἡμῶν ἀδελφοὺς ἀσφαλιζόμενοι, μήπως αὐτοὺς τοῦτο ποιοῦντας συχνότερον βλέποντες, σὺν αὐτοῖς ἀσεβήσωσιν· ἀλλ' ἐπὶ τὸ λειπόμενον ἡμῖν τῆς διηγήσεως ἔλθωμεν.

Ἀκούσαντες γοῦν οἱ μάρτυρες οἱ ὡς Ἰουλιανὸς ὁ διάκονος τῷ νοσοῦντι φαινόμενοι, ὡς τὸ τῆς κανδήλας ἔλαιον βούλεται δέξασθαι, εἰς τὸν βατῆρα τὸν πρὸ τῶν καγκέλλων ὄντα τοῦ μνήματος ἵστανται, καὶ τὴν εἴσοδον αὐτῶν διεκώλυον εἰς ὄψιν γινόμενοι, καὶ εἰσιόντι προ-

et primos parentes nostros in paradiso seducens pellexit. Hoc autem dicimus non praedictorum errores corrigentes; quid enim mihi eos qui foris sunt iudicare, ut dicit apostolus? sed fratres nostros cautos reddentes, ne forte illos hoc saepius facere contemplantes, cum eis impie agant. Sed ad narrationis residuum veniamus.

Audientes ergo martyres, qui quasi Iulianus diaconus languenti apparuerunt, quod candelae suae oleum vellet accipere, in aditu qui est ante cancellos monumenti, assistunt, et introitum ei prohibebant, in faciem resistentes, et ingredienti velociter occurrentes; et modo quidem ad sini-

τρέχοντες, καὶ ποτὲ μὲν εἰς λεὰ, ποτὲ δὲ εἰς δεξιὰν μεταβαίνοντες, καὶ τὴν εἴσοδον δι' ἑαυτῶν ἀναφράττοντες· ὡς δὲ πολλὰς μεταβάσεις ποιήσαντες πρὸς τὸ φωτιστήριον αὐτῶν ἀπελθεῖν καὶ τῶν Χριστοῦ μυστηρίων μεταλαβεῖν οὐκ ἔπεισαν, παρεχώρουν αὐτῷ τὴν ἐπὶ τὴν οἰκείαν σορὸν ἄγουσαν εἴσοδον· καὶ ταύτην δὲ περάσαντα τὸν Θεόδωρον, καὶ εἰσελθόντα τὸ πρόθυρον, πρὶν ἢ καταλάβοι τὰ κάγκελλα καὶ τὸ ἔλαιον δέξηται, τῶν ὄπισθεν αὐτοῦ λαβόντες ἱμάτιον στραφῆναι πρὸς αὐτοὺς παρεσκεύασαν· καὶ πάλιν αὐτῶν ἀκούειν προέτρεπον, καὶ πείθεσθαι μᾶλλον αὐτοῖς ἢ τοῖς τῆς οἰκείας προεστῶσιν αἱρέσεως· ὡς δὲ μηδ' οὕτω πειθόμενον ἔβλεπον,

stram, modo vero in dexteram transeuntes, et per semetipsos introitum obstruentes. Cum autem multos transitus fecissent, ad illuminatorium ei pergere, et Christi sacramenta percipere minus persuaserunt; verum concedebant illi introitum qui ad proprium tumulum deducebat. Quem cum Theodorus pertransisset, ingressusque fores fuisset, prius quam ad cancellos pervenisset, oleumque sumpsisset, posterius eius vestimentum comprehendentes, ut ad eos convertatur egerunt; et rursus se cohortabantur audire, et sibi potius quam his qui propriae praeessent haeresi, obedire. Cumque nec sic eum obedientem vidissent, ad

προϊέναι πρὸς τὸν τάφον ἀπέλυσαν· ὁ δὲ στραφεὶς ἠσφαλισμένα βλέπει τὰ τοῦ μνήματος κάγκελλα· καὶ μὴ εὑρὼν λοιπὸν τοῦ τῆς κανδήλας ἐλαίου λαβεῖν, ἀνεχώρει κατηφὴς καὶ λυπούμενος· οἱ δὲ φιλάνθρωποι μάρτυρες μηδαμῶς ῥαθυμήσαντες, ἀλλὰ πρὸ τοῦ φωτιστηρίου προσμείναντες, πάλιν αὐτὸν ἐξιόντα τοῦ μνήματος παρεκάλουν καὶ προὔτρεπον διδασκαλίᾳ χρώμενοι καὶ πολλαῖς παραινέσεσιν· ὡς δὲ ἴδον οὕτως ἀκαμπῆ καὶ πεισθῆναι μὴ θέλοντα, τοῦτο μεθ' ὅρκου φρικώδους εἰρηκότες ἀπέλυσαν· μὰ τὸν τοῦ Θεοῦ καὶ πατρὸς υἱὸν, τὸν πάντων δεσπότην καὶ θεὸν, τὸν καὶ τῆς μαρτυρικῆς στρατιᾶς βασιλεύοντα, καὶ τὴν χάριν τῶν ἰαμάτων δω-

sepulchrum progredi dimiserunt. Qui conversus, obseratos videt monumenti cancellos, et de cetero non invento qualiter candelae sumeret oleum, recedebat maestus et tristis. Porro amatores hominum martyres nequaquam desidia pressi, sed ante illuminatorium perseverantes, iterum exeuntem a monumento rogabant et hortabantur doctrinis et monitis multis utentes. Cumque vidissent hunc tam incurvabilem et parere nolentem, dimiserunt, hoc horribili iureiurando dicentes: per Christum Dei et patris filium cunctorum dominatorem et Deum, qui in martyrica militia nostra regnat, et sanitatum nobis gratiam donat,

ρούμενον, εἰ μὴ πεισθείης ἡμῖν, καὶ μόνῃ τῇ καθολικῇ αὐτοῦ ἐκκλησίᾳ καὶ τοῖς ἱερουργουμένοις ἐν αὐτῇ μυστηρίοις προσέλθῃς μετὰ καθαρᾶς καὶ ἁγνῆς συνειδήσεως, οὕτως ἐντεῦθεν ἀπελεύσει νοσῶν, ὥσπερ καὶ τἀνθάδε κατέλαβες, μηδὲν πρὸς ἡμῶν ὠφελούμενος· καὶ ταῦτα μὲν κατ' ὄναρ ἐλέχθη τε καὶ γεγένηται.

Πρωΐας δὲ προϊὼν εἰς τὸ μνῆμα τῶν ἁγίων προσεύξασθαι, ὁρᾷ πρὸ τοῦ μνήματος τινὰ Πασχάσιον τοὔνομα, ὑπὸ πονηροῦ πνεύματος ἐνοχλούμενον· ὃς ἰδὼν τὸν Θεόδωρον, διαπρυσίῳ φωνῇ τάδε πρὸς αὐτὸν ἀπεφθέγξατο, βλοσυρὸν ἐνιδὼν καὶ τοῖς ὀδοῦσι βρυχώμενος, καὶ ὡς ἀπὸ τῶν ἁγίων τοὺς λόγους ποιούμενος· τὸ τά-

nisi nobis obedias, et nisi ad solam catholicam ipsius ecclesiam et mysteria sacra quae in ea celebrantur accedas cum munda et casta conscientia, ita hinc languens abibis sicut et huc venisti, nil a nobis utilitatis adeptus. Et haec quidem per visum dicta sunt.

Mane autem cum processisset ad monumentum oraturus, sanctorum videt ante monumentum quemdam Paschasium nomine a spiritu maligno vexatum, qui videns Theodorum, grandi voce haec ad eum affatus est, torvis oculis intuens, et dentibus frendens, et veluti a sanctis sermones faciens, et affirmans ita iuratus: vade

χος σου τὴν ψυχὴν ἄπελθε φώτισον, ἐπεὶ μὰ τὴν ἐνθάδε ναίουσαν δύναμιν, ὡς ἦλθες ὧδε τῇ τῆς ποδάγρας μανίᾳ κρατούμενος, οὕτως ἀναχωρεῖς μὴ τυγχάνων ἰάσεως· καὶ ταῦτά σοι λέγειν οἱ ἅγιοί μοι προστάττουσι μάρτυρες· ὁ δὲ τούτων πρὸς τοῦ δαιμονῶντος πυθόμενος, καὶ φόβῳ ληφθεὶς, λαβὼν δὲ καὶ τῶν κατ' ὄναρ ἀνάμνησιν, διὰ τὸ τῶν ῥημάτων καὶ τῆς ἀπειλῆς παραπλήσιον, εἰσελθὼν εὐθὺς εἰς τὸ φωστήριον τῶν Χριστοῦ μυστηρίων μετέλαβε, καὶ τὴν ψυχὴν τῇ μεταλήψει τῶν μυστηρίων ἐφώτισεν· ἐξ ἐνεργείας δὲ δαίμονος εἰς δυνὴν ῥαθυμίαν εἰσπέπτωκεν μετὰ τὴν μετάληψιν, καὶ ἐν τοῖς οἰκείοις ἑαυτὸν ἐμβαλὼν λυπούμενος στρώμασι, θᾶττον ἐκ τῆς λύπης ἀφύπνωσε.

velociter, animam tuam illumina; nam per virtutem, quae hic inhabitat, sicut huc venisti insania podagrae detentus, ita recedes sanitatem minime consecutus. Et haec dicere tibi, sancti mihi praecipiunt martyres. At ille hoc ab eo qui a daemonio vexabatur audito, timore captus, et accepto etiam sermonum quos in visu audierat commonitorio, propter verborum et minarum similitudinem, ingressus est illuminatorium, et Christi mysteria sumpsit, et animam perceptione mysteriorum illuminavit. Porro ex operatione diaboli post communionem, diram incidit animi de-

Καὶ πάλιν βλέπει τοὺς μάρτυρας εἰς Ἰουλιανὸν τὸν διάκονον ἑαυτοὺς σχηματίσαντας, καὶ τῆς ἀθυμίας τὴν αἰτίαν αὐτὸν ἐξετάζοντας· ὁ δέ· ὅτι με φησὶν οἱ ἅγιοι κοινωνῆσαι κατηνάγκασαν· οἱ δέ· καὶ τοῦτό σε φασιν ἀνιᾷν ἢ λυπῆσαι τὸ σύνολον ὤφειλε; μᾶλλον δὲ καὶ χαίρειν ἔδει σε καὶ ἀγάλλεσθαι, ἐννοοῦντα τῆς οἰκείας ψυχῆς τὴν ὠφέλειαν, καὶ τῆς ἀσθενείας τὴν ἴασιν προσδεχόμενον· πάντως δὲ ὅτι Θεοῦ τοῦτο καθέστηκε βούλευμα, οὗ χωρὶς οὐδὲν οἱ ἅγιοι διαπράττονται· καὶ τούτοις αὐτὸν τοῖς λόγοις οἱ μάρτυρες ψυχαγωγήσαντες ᾤχοντο· ὁ δὲ στραφεὶς τῆς μητρὸς ἐμερίμνα τὴν ἄφιξιν, καὶ μά-

fectionem, et cum tristis in propria se stramenta iactasset, citius ex tristitia obdormivit.

Et rursus aspicit martyras in Iulianum diaconum se se transfigurantes, et causam maeroris eum interrogantes. Qui ait, quoniam sancti communicare me coëgerunt. At illi, et hoc te, inquiunt, maestum facere vel tristem omnino debuerat, cum gaudere te potius oporteret, et exultare intellecto propriae animae adiutorio, et infirmitatis expectato remedio? Certum vero est, quod haec voluntas sit Dei, sine quo nihil omnimodis operantur. Et his eo verbis martyres consolato, recesserunt. At ille conversus de matris sollicitus erat adventu, ob haereseos propriae quas erat allatu-

λιστα διάπερ ἔμελλε τῆς οἰκείας αἱρέσεως ἐπιφέρεσθαι λείψανα, ἥτις μετ' οὐ πολὺ τῆς ὥρας ἀφίκετο, μηδὲν τοιοῦτο κομίζουσα, δι' ὧν καὶ τὴν ἄφιξιν ὑπῆρχεν ἀνύσασα, οἰκονομίᾳ μαρτύρων τὴν λήθην φανερῶς ὑπομείνασα· ὁ δὲ μαθὼν ἤσθη μὲν πρότερον, εἶτα δὲ καὶ πάντα τῇ μητρὶ διηγήσατο, ὅσα περ εἰς αὐτὸν ἐδράσθη τοῖς μάρτυσιν, καὶ ὡς τῇ ἐκκλησίᾳ προσδραμεῖν ἐβιάσαντο· καὶ οὕτω μὲν τῇ ἐκκλησίᾳ προσέδραμεν.

Λέξωμεν (1) δὲ λοιπὸν καὶ τὴν ῥῶσιν τοῦ σώματος, δι' ὀλίγου τὸν λόγον ποιούμενοι· μετ' ὀλίγας τὰς ἡμέρας πάλιν ἐκάθευδε, καὶ παρ-

ra reliquias; quae non post multam veniens horam, nihil ex his propter quae iter illud transegerat attulit, martyrum dispensatione manifeste oblivionem perpessa. At ille cum cognovisset, prius quidem gavisus est, dein vero cuncta matri narravit quaecumque in se martyres gesserunt, et qualiter ecclesiae occurrere se coëgerint. Et ille quidem taliter ad ecclesiam confugit.

Nos autem iam corporis sanitatem dicemus, sermonem compendio facientes. Post paucos dies iterum dormiebat, et iterum aspicit martyras astan-

(1) Sequentem narrationem referunt ex sancto nominatim Sophronio Synodus secunda nicaena act. IV. ed Florent. T. XIII. col. 57; itemque S. Iohannes damascenus in tertia oratione de imaginibus.

εσῶτας βλέπει τοὺς μάρτυρας, καὶ συνοδεύειν αὐτοῖς ἐπιτάττοντας· ὡς δὲ φησὶν (a) προθυμότερον εἵπετο· ᾔδει γὰρ οὐκ ἀκερδὲς τὸ τοῖς ἁγίοις συνέπεσθαι· ἐλθόντες οὖν εἰς ναόν τινα τέλειον (b) τῷ μὲν εἴδει φοβερὸν καὶ ὑπέρλαμπρον, τῷ δ' ὕψει τῶν οὐρανῶν αὐτῶν ἐφαπτάμενον· καὶ εἴσω τούτου γενόμενοι, μεγίστην εἰκόνα καὶ θαυμασίαν ἐβλέπομεν· μέσον μὲν τὸν δεσπότην Χριστὸν γεγραμμένον χρώμασιν ἔχουσαν, Χριστοῦ δὲ τὴν δέσποιναν ἡμῶν τὴν Θεοτόκον καὶ ἀειπάρθενον Μαρίαν εὐώνυμον, καὶ δεξιὸν Ἰωάννην τὸν βαπτιστὴν αὐτοῦ τοῦ σωτῆρος καὶ πρόδρομον, τὸν ἐν κοιλίᾳ σκιρτήμασιν αὐτὸν προμηνύσαντα, ἐπεὶ

tes, et secum comitari praecipientes, qui ut ferebat alacrius sequebatur, noverat enim quod non sine lucro cum martyribus esset comitaturus. Venientes ad templum quoddam perfectum, specie quidem terribile, atque praefulgidum, altitudine vero ad caelos pertingens; et hoc penetrantes, maximam imaginem et admirabilem videbamus, quae in medio quidem sui dominum Christum coloribus habebat depictum, sinistrorsum vero matrem ipsius, dominam videlicet nostram Dei genitricem semperque virginem Mariam: porro dextrorsum Iohannem eiusdem Salvatoris baptistam et praecursorem, qui ex utero exultationibus eum

(a) Dam. σφίσι. (b) Dam. mendose Ἑλλήνων.

καὶ λαλῶν ἔνδον (a) οὐκ ἠκούετο, καί τινας τοῦ τῶν ἀποστόλων καὶ προφητῶν ἐνδόξου χοροῦ, καὶ τῆς μαρτυρικῆς ὁμηγύρεως· μεθ' ὧν ἐτύγχανον καὶ αὐτοὶ Κῦρος καὶ Ἰωάννης οἱ μάρτυρες, οἳ πρὸ τῆς εἰκόνος ἱστάμενοι, τῷ δεσπότῃ προσέπιπτον (b), γόνατα κάμπτοντες, καὶ τὰς κεφαλὰς εἰς ἔδαφος φέροντες, καὶ περὶ τῆς τοῦ νέου θεραπείας πρεσβεύοντες· ταῦτα δὲ ἦν τῆς πρεσβείας τὰ ῥήματα· δέσποτα φιλάνθρωπε, κελεύεις δῶμεν καὶ τούτῳ τὴν ἴασιν; ὡς δὲ πολλάκις εἰς γῆν προσκυνήσαντες, καὶ τοὺς τῆς ἱκετείας λόγους ἐκπέμψαντες, καὶ ὁ δεσπότης Χριστὸς οὐκ ἐπένευε, τοῦ πρεσβεύειν παυσάμενοι,

praenuntiavit; nam et loquens, cum intus esset, non audiretur; necnon et quosdam de apostolorum et prophetarum glorioso choro, martyricoque collegio, cum quibus erant etiam ipsi martyres Cyrus scilicet et Iohannes, qui ante imaginem stantes Domino procidebant, genua flectentes, et capita in terram curvantes, atque pro curatione iuvenis intercedentes. Verba praeterea intercessionis haec erant: Domine clementissime, iubes ut demus huic sanitatem? Cum autem multotiens supra terram adorantes supplicationis verba misissent, Christusque dominus non annueret, ab intercessione cessantes, tristes ac deficientes ad

(a) Synod. et Dam. ἔνδον ὤν. (b) Synod. τὰ γόνατα.

κατηφεῖς καὶ ὀλίγωροι πρὸς ἐμὲ φησὶ παραγίνονται, οὐ πολὺ μακρὰν τῆς εἰκόνος ἱστάμενον· καὶ πλησίον γενόμενοι, ὁρᾷς, φασὶν ὡς ὁ δεσπότης οὐ βούλεταί σοι δοθῆναι (a) τὴν ἴασιν; ἀλλὰ μηδὲν ἀθυμήσῃς· πάντως γὰρ καὶ πρὸς σὲ ὡς καὶ πρὸς πάντας χρηστεύσεται· καὶ διαστάντες ὡσεὶ μικρὸν ἡμιώριον, πάλιν ἀπελθόντες ἐδέοντο, καὶ πάλιν ἄπρακτοι φησὶν ἀνακάμπτουσιν κατηφεῖς (b) ὡς καὶ πρότερον, τοῦ δεσπότου Χριστοῦ μὴ κελεύοντος· καὶ τὰ αὐτά (c) μοι πάλιν ἐλθόντες εἰρήκασιν.

Τὸ τρίτον δὲ πορευόμενοι, θάρσει (d) λέγουσιν, νῦν γὰρ πάντως τὴν χάριν λαμβάνομεν·

me quasi adveniunt, non admodum procul ab imagine stantem; et appropinquantes, vides inquiunt quomodo Dominus non vult dare tibi sanitatem? sed nil anxieris; profecto enim et erga te, sicut etiam erga omnes, benignitatem suam ostendet. Et cum parum discessissent, idest quasi dimidiae horae spatio, iterum abeuntes deprecabantur, et rursus inefficaces ut ferebant redeunt, et tristes sicut prius Domino de sanitate tribuenda nihil iubente. Et eadem mihi venientes iterum dicunt.

Tertio sane pergentes, confide dicunt, nunc

(a) Dam. δοῦναι. (b) Dam addit καὶ ὀλίγωροι. (c) Dam. ταῦτα. (d) Dam. θάῤῥει.

ἀλλὰ καὶ σὺ ὥσπερ ἡμᾶς ὁρᾷς ἱκετεύοντας, σὺν ἡμῖν ἐλθὼν τὸν δεσπότην ἱκέτευε· καὶ πρὸς τὴν εἰκόνα τὸ τρίτον γενόμενοι, τοῖς προλαβοῦσι τρόποις ἐχρῶντο καὶ ῥήμασι· καὶ ὡς ὥραν πολλὴν ἐδεήθησαν, καὶ κάτω κείμενοι, τὸ, κελεύεις, δέσποτα μόνον ἀνέκραζον, τότε (a) ὁ Χριστὸς σπλαγχνισθεὶς ὡς οἰκτείρμων ἐπένευσε, καὶ δότε αὐτῷ πρὸς (b) τῆς εἰκόνος ἐφθέγξατο· καὶ χαμόθεν ἀναστάντες οἱ μάρτυρες, πρῶτον μὲν εὐχαρίστουν Χριστῷ τῷ θεῷ ἡμῶν, ὡς τῆς δεήσεως αὐτῶν ἐπακούσαντι (c)· ἔπειτα δὲ χαίροντες καὶ γαννύμενοι (d), ἰδοὺ φασὶν πρὸς ἐμὲ ὁ θεὸς τὴν χάριν ἐδωρήσατο· εἴσελθε γοῦν εἰς

enim gratiam profecto suscipimus; sed et tu sicut nos vides supplicantes, nobiscum veniens Dominum deprecare. Et tertio ad imaginem venientes, prioribus modis utebantur et verbis. Et cum hora multa deprecarentur, et deorsum iacentes, iubes Domine, tantum clamarent? Christus visceribus motis, tamquam misericors annuit, et date illi ex icona dicebat. Et surgentes a terra martyres, primo quidem gratias agebant Christo Deo nostro, eo quod deprecationem eorum exaudierit, deinde vero gaudentes et exultantes, en inquiunt ad me, gratiam Deus donavit: ingre-

(a) Cod. καί. (b) Synod. mendose πρό. (c) Cod. ὑπακ. (d) Cod. ἀγανν.

Ἀλεξάνδρειαν, καὶ ἐν τῷ μεγάλῳ τετραπύλῳ νῆστις καθεύδησον, καὶ μικρὸν τοῦ τῆς κανδήλας ἐλαίου τῆς ἄνω πρὸ τῆς τοῦ σωτῆρος εἰκόνος ἀπτομένης λαβὼν εἰς ληκύθιον, πάλιν ἄγευστος τὰ ἐνθάδε κατάλαβε, καὶ τούτῳ τοὺς πόδας ἀλειψάμενος, τῆς ὑγείας ἕξεις τὸ δώρημα.

Ὁ δὲ μετὰ τὸν ὄνειρον εἰς Ἀλεξάνδρειαν ἔρχεται, καὶ ἐν τῷ τετραπύλῳ κοιμώμενος, ὁρᾷ παμμεγεθέστατον δράκοντα τῶν ποδῶν ἐξερπύζοντα· καὶ πάλιν μετὰ τὴν ἔξοδον πρὸς αὐτὸν ἀνακάπτοντα· ἀλλ' ἄφνω φανέντες οἱ μάρτυρες, τὴν εἴσοδον διεκώλυσαν, καὶ ῥάβδῳ τὴν κεφαλὴν μὲν τοῦ δράκοντος ἔθλασαν, αὐτῷ δὲ θαρσεῖν διετάξαντο, καὶ μηκέτι δῆσαι τοῖν ποδοῖν

dere Alexandriam, et in magno Tetrapylo dormi ieiunus, et pauxillo ex oleo candelae, quae sursum ante Salvatoris imaginem ardet, in ampulla modica sumpto, iterum nihil gustans, huc confestim regredere, et pedibus hoc inunctis, donum sanitatis habebis.

At ille post somnium Alexandriam venit, et in Tetrapylo dormiens, maximum videt draconem a pedibus exeuntem, et rursus post exitum super se redeuntem, sed subito martyres apparentes introitum prohibuerunt, et virga caput draconis conquassaverunt; ipsique praeceperunt confidenter agere, et non iam pedum infirmitatem vel ma-

ἢ ταῖν χεροῖν τὴν ἀσθένειαν· αὐτὸς δὲ ἀναστὰς μετὰ κοίμησιν, τῆς κανδήλας λαμβάνει τὸ ἔλαιον, καὶ πρὸς τὸ τῶν ἁγίων ἔρχεται τέμενος· ἔνθα γενόμενος, ὡς ἐθεσπίσθη, τὰς χεῖρας καὶ τοὺς πόδας ἠλείψατο, καὶ παραχρῆμα τὴν νόσον ἀπέθετο, καὶ τὴν ῥῶσιν ἀπέλαβεν (1)· ἠξιώθη δὲ μετὰ τῆς καλλίστης καὶ ἡδίστης ἰάσεως, καὶ ὧν αὐτῷ πεισθέντι δωρεῶν ἐπηγγείλαντο· ὑπὲρ ὧν ἁπάντων εὐχαριστῶν δουλεύει σπουδαίως τοῖς μάρτυσιν· οὓς καὶ ἡμεῖς ἀνυμνήσαντες ἐπ' ἄλλην αὐτῶν θαυματουργίαν μετέλθωμεν.

nuum expavescere. Ipse autem post dormitionem surgens, candelae oleum sumit, et ad sanctorum properat templum; ad quod cum venisset, manus ut iussus fuerat, et pedes inunxit, et continuo languorem deposuit, incolumitatem resumpsit. Meruit cum delectabili sanitate etiam dona, quae si sibi paruisset, illi spoponderant. Pro quibus omnibus gratias agens, servit studiose martyribus; quos et nos hymnis efferentes, ad aliud eorum opus mirabile procedamus.

(1) Synod. ἀνέλαβε. Sequitur autem in synodo dictum Tarasii patriarchae cpolitani, qui ex dictis argumentum ac ius desumit retinendi in templis monumenta pictorum et reliquarum artium. Subsequitur Thomae monachi testimonium quod illa adhuc imago in Tetrapylo Alexandriae conservaretur, quodque omnigenae per eam sanarentur infirmitates.

λζ. ΠΕΡΙ ΙΩΑΝΝΟΥ ΤΟΥ ΥΠΟΔΙΑΚΟΝΟΥ ΛΕΥΚΩΜΑΤΑ ΕΝ ΑΜΦΟΤΕΡΟΙΣ ΕΣΧΗΚΟΤΟΣ ΤΟΙΣ ΟΜΜΑΣΙΝ.

Ἐπειδὴ Θεοδώρου τὴν νόσον γεγράφαμεν, καὶ τὴν εἰς ἐκκλησίαν βιαίαν καὶ ἀκούσιον εἴσοδον, καὶ τὴν εἰς ὑπηρέτας Θεοῦ τρισόλβιον πρόοδον, φέρε καὶ Ἰωάννην αὐτῷ συνυφάνωμεν, τὸν ὁμοίως καὶ αὐτὸν κοινωνικὸν ἐξ ἀκουσίου γενόμενον, καὶ τῆς κοινωνίας μισθὸν τὴν ῥῶσιν δρεψάμενον, καὶ πάλιν ἀδελφὸν κατὰ βαθμὸν ἱερατικὸν χρηματίζοντα· Ἰωάννης οὖν οὗτος, ἡ τῆς παρούσης Γραφῆς ἀφορμή τε καὶ πρόφασις ἐκ Κοινῶ μὲν τῆς αἰγυπτίας ὥρμητο πόλεως· ἐν ἀμφοτέραις δὲ ταῖς κόραις ἔσχε λευκώματα,

37. DE IOHANNE SUBDIACONO QUI ALBUGINES IN AMBOBUS OCULIS HABUIT.

Quoniam Theodori sospitatem resumptam, et violentum ac non voluntarium ad ecclesiam introitum, et opimum ad ministros Dei accessum descripsimus, age nunc et Iohannem cum illo texere procuremus, qui et ipse similiter communicator spontaneus de non spontaneo factus est, communionisque mercedem sanitatem adeptus est, et rursus frater, per sacros gradus provectus, appellari promeruit. Hic ergo Iohannes qui praesentis scripturae fomes est et occasio, de Cyno aegyptiaca civitate extitit oriundus; in utrisque

καὶ τούτων τὸ φῶς ταῖς τῶν λευκωμάτων εἰσβολαῖς ὑπεχώρησεν, ὡς μὴ δυνάμενον κόρας ὀφθαλμῶν συνοικεῖν τοῖς λευκώμασιν· ποία γὰρ κοινωνία φωτὶ πρὸς σκότος; ὡς καὶ Παῦλος ὁ θεσπέσιος εἴρηκεν· οὔτε γὰρ τὸ φῶς ἐν κοινωνίᾳ μένειν τοῦ σκότους ἀνέχεται, οὔτε τὸ σκότος σύνοικον τὸ φῶς παραδέξασθαι δύναται, ἀλλ' ἐναντίαν τὴν φύσιν ἐν ἅπασιν ἔχοντα, ἐναντίαν δὲ τὴν ἐνέργειαν κέκτηται· ὥστε τοὺς ἔχοντας, ἢ τὸ σκότος μὴ βλέπειν, ἢ τὸ φῶς μὴ σκοτίζεσθαι.

Ἰωάννης οὖν ἔχων τοῦ σκότους τὰ αἴτια, τοῦ φωτὸς ἀπετύγχανεν, καὶ τούτου σκοτισθεὶς ἐχω-

autem pupillis habebat albugines, et harum lumen prae albuginum recessit immissionibus, cum profecto non possent pupillae oculorum simul cum albuginibus habitare. Quae enim est communicatio luci ad tenebras? sicut et Paulus dixit egregius. Neque enim aut lumen in communione manere patitur tenebrarum, aut tenebrae cohabitatricem possunt admittere lucem; sed sicut contrariam habent naturam in cunctis, sic et contrariam possident operationem; ita ut qui habet, vel tenebras non videat, vel lumen non obtenebrescat.

Iohannes ergo habens tenebrarum causas, lumine frustrabatur, et ab hoc sequestratus tene-

ρίζετο, καὶ σκοτισθεὶς τὸ παράπαν οὐκ ἔβλεπεν· ἐν νόσῳ γὰρ τῶν ὀμμάτων γενόμενος, καὶ φωτὸς στερηθεὶς ὡς προείρηται, ἐπὶ Κῦρον καὶ Ἰωάννην τοὺς μάρτυρας ἤγετο, ἑτέρων ὀφθαλμοῖς ποδηγούμενος· ἐνιαυτοῦ δὲ ἑνὸς διϊππεύσαντος, τῆς τῶν ἁγίων ἀρωγῆς ἠξιοῦντο καὶ χάριτος· οὕτω δὲ τῶν ἁγίων γέγονεν ἡ ἐπίσκεψις· ἐπὶ τῆς στρωμνῆς ὁ Ἰωάννης ἐκάθευδεν, καὶ καθεύδων ἑαυτὸν ἑστῶτα πρὸ τούτων ἁγίων ἔβλεπε μνήματος, καὶ περὶ τῆς τῶν ὀμμάτων ἐδέετο ῥώσεως· καὶ τοῦτο ποιῶν τοὺς ἁγίους ἐδόκει θεάσασθαι ἔμπροσθεν τῆς οἰκείας σοροῦ ἐν πρεσβυτέρων καθημένους μορφαῖς τε καὶ σχήμασιν· οἳ τῶν θρόνων ἀναστάντες, καὶ τῆς χειρὸς τὸν Ἰωάννην λαβόμενοι ἐπὶ τὸ θεῖον θυ-

bras patiebatur, et obtenebratus penitus non videbat. Itaque oculorum visu privatus, et sicut dictum est luce fraudatus, ad Cyrum et Iohannem martyras ducebatur, aliorum oculis ductus. Porro cum unus praeterisset annus, sanctorum opem et gratiam meruit. Taliter autem sanctorum facta est visitatio. Supra stratum Iohannes dormiebat, et dormiens ante sanctorum se intuebatur monumentum stantem, et de sanitate visus deprecantem; et hoc faciens, putabat sanctos videre ante proprium tumulum in presbyterorum formis et habitu; qui de sedibus assurgentes et

σιαστήριον ἤγαγον· καὶ τούτῳ αὐτὸν παραστήσαντες, ἄρτον αὐτῷ προσένεμον ἅγιον ζωοποιὸν Χριστοῦ σῶμα γενόμενον (1)· καὶ μετὰ τὴν τούτου μετάληψιν, ἀπὸ τῆς μυστικῆς πάλιν τραπέζης λαβόντες ποτήριον, θείου πεπληρωμένον ἐπότιζον γάλακτος· ᾧ τάχα καὶ Παῦλος ὁ ἀπόστολος ποτίζειν τοὺς ἐν Χριστῷ νηπιάζοντας ἔγραφε· μεθ' ἃ τὸν Ἰωάννην ἀπέλυον τοιοῖσδε αὐτὸν περιφράξαντες ῥήμασιν· ἰδοὺ τῆς ἀληθινῆς ζωῆς τὴν ὁδὸν ὦ νεανία κατέμαθες· τὸ λοιπὸν οὖν ἐνθάδε τῶν μυστηρίων Χριστοῦ μεταλάμβανε· Θεοδοσίου γὰρ καὶ Σευήρου ὁ Ἰωάννης ὑπῆρχεν ὁμόδοξος, καὶ τούτων τοῦ δόγματος ὑποδιακόνου τάξιν κεκλήρωτο.

manu Iohannem apprehendentes, ad divinum altare duxerunt, et illum huic sistentes, panem ei sanctum praebuerunt, vivificum Christi corpus effectum: et post huius communionem, rursus a mystica mensa sumpto calice divino lacte repleto potaverunt, quemadmodum et Paulus apostolus hos, qui in Christo parvuli erant, potasse se scripsit. Post quae Iohannem dimiserunt; praeterea talibus eum circumsaepientes verbis: ecce aiunt verae vitae viam, o adolescens, didicisti. De cetero hic Christi ergo sume mysteria; Theodosii

(1) Rursus testimonium pro pane eucharistico in corpus Christi converso.

Ταῦτα καθ' ὕπνους ὁ τέως τυφλὸς θεασάμενος, τὸν μὲν ὕπνον ἀπέβαλε, τὴν δὲ καθ' ὕπνον ἐνεστήριξε μύησιν, θείαν αὐτὴν ὑπολαβὼν, καὶ τὴν τῶν σωματικῶν ὀφθαλμῶν εἰ τελεσθείη χαριουμένην ἀνάβλεψιν· ὅθεν ἀναστὰς τῶν μυστηρίων εὐθέως ἔνθα προσετάχθη μετέλαβε, πᾶσαν αὐτοῦ τὴν προτέραν παράδοσιν ἀποθέμενος, καὶ τὸ τῆς ἐκκλησίας ψυχοφιλὲς ἀσπασάμενος κήρυγμα· καὶ τοῦτο πεπραχὼς ὡς τεθέπιστο, τριταῖος τὸ φῶς τοῖς ὄμμασιν ἔβλεπεν, τῷ φωτισμῷ τῆς ψυχῆς κατὰ πόδας ἑπόμενον, καὶ γέγονεν ὡς γεγέννητο, καὶ ἦν ὡς οὐ νοσήσας ποτὲ τὰ τοῦ σώματος ὄμματα.

quippe atque Severi Iohannes erat iste sectator, et horum dogmatis subdiaconi sortitus est ordinem.

Haec in somnis is qui caecus interim habebatur intuitus, somnum quidem abiecit, mysticam vero instructionem, quae per somnium facta fuerat stabilivit, divinam hanc arbitratus, et corporalium oculorum, si consummata foret, donaturam obtutum. Unde consurgens, sacramentis ubi iussus est, protinus communicavit, omni sua priore traditione deposita, et ecclesiae animabus utili praedicatione recepta. Et hoc gesto, sicut fuerat iussus, tertianus lumen visibus contemplatus est, animae illuminationem e vestigio subsecutus, et factus est sicut natus est, et erat

Ἀλλ' ἐν τούτοις ὄντι καὶ λαμπρότατα βλέποντι, ὁ τῶν καλῶν ἀνῃρέτης ἐφθόνησεν, ἀποστερεῖν τε τοῦ διττοῦ τῶν ἁγίων δωρήματος ἔσπευδεν· καὶ δὴ ἐστέρησεν ὡς ἐβούλετο· ἀλλὰ πάλιν φανέντες οἱ σωτῆρες διέσωσαν, καὶ τὴν τοῦ μισοκάλου βουλὴν κατεστρέψαντο· τοῦ γὰρ Ἰωάννου πατρὸς τελευτήσαντος, Θεόδωρος οὗτος ἐλέγετο καὶ διάκονος τῆς λεχθείσης ὑπῆρχεν αἱρέσεως, ἀφικνοῦνταί τινες τῶν πρὸς γένος αὐτῷ πλησιαζόντων, καὶ ἀναστρέφειν οἴκαδε πείθουσιν, διάκονον ποιεῖν ἀντὶ τοῦ πατρὸς ὑποσχόμενοι· καὶ δὴ λαβόντες τὸν νέον ἀπῄεσαν, τῆς τῶν ἁγίων ἐντολῆς παντελῶς ἐκλαθόμενοι· ὡς δὲ πλησίον τῆς Κοινῷ τὸν Ἰωάννην οἱ λα-

quasi numquam aliquando languidos habuerit corporis oculos.

Verum cum in his esset, et clare prorsus videret, ille qui bonorum est interemptor, invidit, privareque duplici sanctorum munere festinabat. Et privabat, sicut volebat; sed rursus apparentes salvatores salvarunt, et osoris boni consilium subverterunt. Iohannis enim patre mortuo, qui Theodorus dicebatur, et diaconus eiusdem erat haereseos, veniunt quidam illius secundum genus propinqui, et domum ei reverti suadent, diaconum pro patre facere pollicentes. Et sumpto iuvene, mandatum sanctorum penitus oblivioni tra-

βόντες γεγόνασιν, καὶ σημεῖον ἓν καὶ μόνον ἀπεῖχον τῆς πόλεως, καταλαβόντες οἱ μάρτυρες ὀφθαλμοφανῶς Ἰωάννου τὰς ὄψεις ῥαπίζουσιν, καὶ τὸ φῶς ἀφαιροῦνται ὅπερ δεδώκασιν, καὶ τὸ σκότος ἐνδύουσιν ὅπερ ἀφελόντες ἐτύγχανον· ἐν τούτῳ δὲ κακοῦ Ἰωάννης γενόμενος, ἔγνω τὸ αἴτιον, καὶ γνοὺς μετενόησεν, καὶ μεταγνοὺς ἔτυχε συγχωρήσεως, καὶ συγγνώμης τυχὼν διωρθώσατο, καὶ διορθωσάμενος πάλιν ἀνέβλεψεν, καὶ ἀναβλέψας δουλεύει τοῖς μάρτυσι, δουλεύων ἀποδοχῆς ἠξιώθη φιλόφρονος, καὶ ταύτης ἀξιωθεὶς εἰς τὸν τῆς ἐκκλησίας κλῆρον προέκοψε· τότε δὲ λαβὼν τὸ φιλάνθρωπον ῥάπισμα, καὶ τυφλὸς ὡς τὸ πρῶτον γενόμενος, πάλιν ὑπέστρε-

dente, pergebant. Cum autem hi qui Iohannem tulerant, Cyno appropinquassent, et uno tantummodo signo a civitate ipsa distarent, veniunt martyres et palam faciem Iohannis percutiunt alapa, et lumen adimunt quod dederant, et tenebris induunt quas abstulerant. In hoc autem Iohannes malum deveniens, cognovit causam; et cognita, se paenituit, et repaenitens indulgentiam consecutus est, et veniam consecutus correptus est, et correptus denuo lumen recepit, et recepto lumine servivit martyribus, et serviens receptione dignus efficitur liberali, et hac dignus effectus in clerum profecit ecclesiae. Accepta vero benigna

φε καὶ τῆς ποθουμένης πόλεως ἀπηρνεῖτο τὴν εἴσοδον, τῶν ἁγίων εἰδὼς τὴν συμπάθειαν, καὶ ὡς ἐπιστρέφοντα δέξονται καὶ θεραπεύσουσιν πρὸς σωτηρίαν παιδεύσαντες.

Ἀμέλει κατ' ἐκείνην τὴν νύκτα κοιμώμενος ἔβλεπε, μᾶλλον δὲ ἐπεὶ μὴ ἔβλεπεν, ἤκουσεν· θᾶττον ὑπόστρεψον, καὶ θεράπευε τεθυμωμένους τοὺς μάρτυρας τούτους τοὺς τοῦ οἰκονομοῦντος τὸ τέμενος, Χριστόδωρος ἦν ὁ θαυμάσιος, δηλώσας ὀνόματι· ἀληθὲς δὲ καὶ οὗτος ἦν τὸ ἐνύπνιον, τοῦτο τάχα τῶν ἁγίων κατὰ θείαν ἐργασαμένων διοίκησιν· ὅτι χωρὶς τῆς Χριστοδώρου φησὶν ἐπιτροπῆς ἀνεχώρησεν· ὅθεν ἐλθόντα τὸν Ἰωάννην οὔτε ἰδεῖν οὔτε τοῖς ἀνὰ τὸν

tunc alapa, et caecus sicut prius effectus, iterum reversus est, et desideratae civitatis abnegavit introitum; sanctorum compassionem et quod conversum suscepturi et curaturi essent ad salutem corripientes, non nesciens.

Denique cum nocte illa dormiret, videt; immo quoniam non videbat, audiebat; cito revertere, et placare curato martyras indignatos, quos dispensantis templum Christodori scilicet illius mirabilis insinuabat vocabulo. Veraciter autem et sic erat somnium, hoc forte sanctis per divinam dispositionem operantibus, quia sine Christodori, ait, praeceptione recessit: unde venientem Iohannem ne-

σηκὸν ἀσθενοῦσιν τεθέληκεν, ἀλλ' ἐν τῷ σεπτῷ τοῦ Τεμένους ἱερατείῳ κατέκειτο, ἔνθα καὶ πάντες οἱ ξενιζόμενοι μένουσιν, τόπον ἕτερον διὰ τὸν ἐνόντα Τῶν νοσούντων λεὼν μὴ εὑρίσκοντες· ἐν τούτῳ γοῦν Ἰωάννης ἡμέρας τρεῖς κατακείμενος, καὶ τόπον ἀσθενοῦντος οὐ λαβὼν ὡς δεδήλωται, τῆς τῶν μαρτύρων τοῦτο διοικουμένης χαριεστάτης δυνάμεως, μετὰ Τὰς τρεῖς ὡς ἐκάθευδε, διάκονον ὁρᾷ κατὰ Τόπον ἑστῶτα Τοῦ ἄμβωνος, καὶ τῶν σεπτῶν εὐαγγελίων τὰς βίβλους βαστάζοντα, καὶ μεγαλοφώνως εὐαγγελιζόμενον· Τοῦτο δὲ ἦν ὅπερ Τοῦ κατὰ Ματθαῖον εὐαγγελίου ὁ φανεὶς ἀνεγίνωσκεν, ἡ τοῦ σωτῆρος πρὸς Ἰωάννην τὸν βαπτιστὴν διὰ τῶν οἰ-

que videre, neque his qui in templo erant infirmis connumerare voluit, sed in venerabili templi sacrario iacebat, ubi omnes hospites iacebant; loco alio, propter languentium qui illic inerat populum, non reperto. Interea cum Iohannes in hoc tribus diebus iacuisset, et locum infirmantis sicut intimatum est non accepisset, gratifica hoc martyrum dispensante virtute, post tres illos dies cum dormiret, diaconum videt in loco ambonis stantem, et sanctorum evangeliorum librum baiulantem, voceque magna evangelizantem; hoc autem erat ex evangelio secundum Matthaeum, quod is qui aperuerat recitabat, Salvatoris ad Iohannem

κείων μαθητῶν ἐρωτήσαντα, σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκοῦμεν, ἀπόκρισις· καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, πορευθέντες ἀπαγγείλατε τῷ Ἰωάννῃ ἃ ἀκούετε καὶ βλέπετε· τυφλοὶ ἀναβλέπουσιν, λεπροὶ καθαρίζονται, χωλοὶ περιπατοῦσιν, καὶ κωφοὶ ἀκούουσιν.

Τούτων ἀκροατὴς τῶν ῥημάτων Ἰωάννης καθ' ὕπνους γενόμενος, εὐθέως ἀνίσταται σὺν τῷ ὕπνῳ τὴν τύφλωσιν ἀποθέμενος· ἀναβλέψας γὰρ τοῖς τοῦ σώματος ὄμμασιν, τὸ φέγγος ὁρᾷ νεοστὶ τοῦ ἡλίου γενόμενον· ὄρθρος γὰρ ἦν· καὶ τότε μετὰ τὴν τῆς νυκτὸς ἀναχώρησιν, ἡλιακαῖς ἀκτῖσιν ὁ ἀνὴρ ἐλευκαίνετο, ὅτε καὶ Ἰωάννης τῆς σωτηρίου φωνῆς λεγούσης ἀκροασά-

Baptistam, per proprios discipulos interrogantem, tu es qui venturus es, an alium expectamus, responsio. Et respondens Iohannes dixit illis: euntes renunciate Iohanni quae auditis et videtis, caeci vident, claudi ambulant, leprosi mundantur, et surdi audiunt.

Horum auditor verborum Iohannes per somnium factus, mox exsurgit, cum somno caecitate deposita: receptis enim corporis visibus, splendorem videt solis noviter ortum, mane quippe erat; et tunc post noctis recessum, solaribus radiis aër albescere videbatur, quando et Iohannes dicentem salutarem vocem audiens quia caeci vi-

μενος τυφλοὶ ἀναβλέπουσιν, ἀθρόως ἀνέβλεψε, πίστει προφωτισθεὶς τὴν ψυχὴν καὶ φωτεινὰ προσκτησάμενος ταύτης τὰ ὄμματα· οὐδέπω δὲ τελείαν τὴν ῥῶσιν ὡς τὸ πρῶτον ἐδέξατο, ἀλλὰ μόνον φέρων ἐν τοῖς ὄμμασι τῆς τοιαύτης ἀγνωμοσύνης τὸν ὀφέλιμον ἔλεγχον, ἵνα τοῦτον ἄλλοι θεώμενοι, ἑαυτῶν ἀσφαλέστεροι γίγνοιντο· ἡμεῖς δὲ καὶ ταύτης τῆς παντοφελοῦς παιδεύσεως ἕνεκα τοῖς ὕμνοις ὑμνήσαντες, ἄλλης αὐτῶν παιδευτικῆς θαυματουργίας ἁψώμεθα.

λη. ΠΕΡΙ ΣΤΕΦΑΝΟΥ ΩΣΑΥΤΩΣ ΕΝ ΤΟΙΣ ΟΦΘΑΛΜΟΙΣ ΕΣΧΗΚΟΤΟΣ ΛΕΥΚΩΜΑΤΑ.

Ἡκέτω μετὰ τοῦτον τὸν Ἰωάννην ὁ Στέφα-

dent, ilico visum resumpsit antea fide illuminatus secundum animam, et prius illuminatis huius possessis optutibus. Verumtamen numquam perfectam sicut ante sanitatem recepit, sed manet in oculis portans huiusmodi ruptae fidei utilem correptionem, ut hunc alii videntes se se cautiores efficerent. Porro nos etiam propter hanc utilem per omnia correptionem, sanctos laudibus honorantes, aliam ipsorum disciplinalem miraculi operationem tangamus.

38. DE STEPHANO SIMILITER IN OCULIS HABENTE ALBUGINES.

Veniat post hunc Stephanus, et succedat cy-

τος, καὶ διαδεχέσθω τὸν κυνοπολίτην ὁ νικιώτης τῷ γράμματι, προσαύξων τῶν ἁγίων τὸν ἔπαινον, καὶ προσθήκη τῆς αὐτῶν εὐφημίας γιγνόμενος· ἐνόσει μὲν καὶ αὐτὸς, κατὰ τοὺς ὀφθαλμοὺς ἔχων λευκώματα, καὶ τῆς τοῦ προλαβόντος ὑπῆρχεν αἱρέσεως· ὧν πολλὴν ποιούμενος πρόνοιαν ὡς φωτὸς γλυκυτάτου παθόντων τὴν στέρησιν, τῇδε κἀκεῖσε διέθεεν, εὑρεῖν ἐπιποθῶν ὃ πρώην ἀπώλεσεν· πῶς δὲ τοῦτον οἱ θεσπέσιοι καὶ φιλάνθρωποι μάρτυρες θεραπεύουσιν ἀκουσώμεθα· ἔτι δὲ τούτων τὸν ζῆλον τὸν ὑπὲρ τῆς ὀρθῆς θαυμάσωμεν πίστεως, καὶ τὴν δεδομένην αὐτοῖς τῶν ἰαμάτων ὑμνήσωμεν δύναμιν· πρῶτον μὲν γὰρ ἐπὶ μῆνας τέσσαρας ἐλ-

nopolitae in hoc scripto niciotes, sanctorum laudationem augmentans, et quaedam bonae ipsorum famae additio factus. Languebat enim et ipse, in oculis habens albugines, et illius qui praecessit erat haereseos; quorum, quia dulcissimi luminis fuerant passi privationem, multam iure fecit provisionem; et ideo hac illacque discurrebat, invenire desiderans quod ante perdiderat. Qualiter autem hunc egregii martyres et amatores hominum curent, audiamus; quin immo zelum horum miremur, quo pro fide orthodoxa flagrant, datamque illis sanitatum laudemus virtutem. Denique primo quidem per menses quatuor venientem Stephanum

θόντα τὸν Στήφανον ἀνεπίσκεπτον εἴασαν, διὰ τούτου τὴν δυσκατάθετον αὐτοῦ γνώμην μαλάσσοντες, καὶ πραότερόν πως πρὸς παραδοχὴν τοῦ βελτίονος ἐργαζόμενοι· εἶτα μετὰ τὸν ῥηθέντα καιρὸν ἐπισκέπτονται, καὶ ἀξιοῦσι τῆς ῥώσεως, ἐπισκέψει μιᾷ πρὸς τὴν τηλικαύτην νόσον ἀρκέσαντες.

Τοιούτῳ δὲ τρόπῳ καθεύδοντι φαίνονται· ἐν τῷ ἱερατείῳ τοῦ τεμένους ἑστήκεσαν, σχῆμα μοναστοῦ περικείμενοι, καὶ τὸν Στέφανον ἔξω τυγχάνοντα ὡς εἰς αὐτοὺς ἐλθεῖν ἐκάλουν τοῖς νεύμασιν· καὶ εἰς τὴν ἱερατικὴν αὐλὴν εἰσπηδήσαντι, εὐλογίαν αὐτῷ, ἄρτος ἦν καθαρὸς σταυρὸν ἐντετυπωμένον ἔχων, παρείχοντο· ὁ δὲ τὴν δο-

sine visitatione deseruerunt, per hoc immutabilem eius mentem mollificantes, et mitiorem quodammodo ad receptionem meliorationis operantes. Dein post praedictum tempus visitant, et dignum faciunt sanitate, una visitatione ad tantum languorem contenti.

Tali autem modo dormienti manifestantur. In sacrario templi stabant, habitu induti monastico, et Stephanum, qui foris erat, ad se venire nutibus invitabant, et in hieraticam aulam insilienti benedictionem praebebant, quae mundus panis erat crucem habens expressam. At ille datam benedictionem suscipiens, sine voluntate in pavi-

θείσαν εὐλογίαν δεξάμενος, ἄκων εἰς τοὔδαφος εἴασε φέρεσθαι, ἣν αὖθις Κῦρος ὁ δεδωκὼς ἀνελόμενος εἰς χεῖρας ἐδίδου τοῦ νέου, οὗ τῆς παλάμης ἐξέπεσεν· καὶ πάλιν πεσοῦσαν τὸ δεύτερον, πάλιν ὁ Κῦρος ἐπεδέδωκεν ἀνελόμενος· ὡς δὲ πάλιν τὸ τρίτον παρέπεσεν, πάλιν ἐκ τρίτου λαβὼν ἐπιδέδωκεν, οἰμώξας τρόπόν τινα, καὶ τοιαύτην φωνὴν πρὸς τὸν ἀσθενοῦντα φθεγξάμενος· ὄντως ἀδελφὲ πάνυ πολὺ προσεπόθησα τῷ νεῷ σοῦ προσπελάσαντος, τοῦ ἀκοῦσαί σου τὸ ἀμὴν ἀμὴν κύριε λέγοντος· ὁ δὲ συνεὶς ὡς τῆς τῶν μυστηρίων Χριστοῦ μεταλήψεως ἕνεκεν εἴρηκεν, τότε γὰρ τοῦτο τοῖς ἱερεῦσιν τὸ ζωοποιὸν καὶ σωτήριον σῶμα καὶ αἷμα Χριστοῦ τοῦ Θεοῦ διανέμουσι πρόσφθεγμα λέγομεν, μαρτυροῦντες οἰκείᾳ φωνῇ καὶ συντιθέμενοι, ὡς ἀλη-

mentum ferri permisit, quam iterum Cyrus auferens tradidit. Cum vero iterum et tertio cecidisset, receptam iterum tertio tradidit, gemens quodammodo et huiusmodi voce ad infirmum effatus: vere, frater, valde multum desideravi templo te adhaerentem, et audire amen amen Domine dicentem. At ille intelligens quod de mysteriorum Christi perceptione diceret; tunc enim hanc sacerdotibus, dum vivificum et salutare corpus et sanguinem Dei distribuunt, allocutionem respondentes edicimus, testimonium voce propria perhi-

θὲς καὶ ἔστι τε καὶ λέγεται, τὸ πρὸς ἐκείνων εἰς τροφὴν ἡμῖν πνευματικὴν καὶ ἔφεσιν ἁμαρτιῶν παρεχόμενον, καθ' ἑκάστην κυριακὴν ταύτης μεταλαμβάνειν τῆς ἀθανάτου τροφῆς ἀπεκρίνατο· ἀλλ' ὁ ἅγιος φανερώτερον ποιῶν τῷ ἀκούοντι τὸ λεγόμενον, ὄντως φησὶν οὐδ' ἅπαξ ἐνθάδε μολὼν ἐκοινώνησας· ὅπερ εἰ μὴ δράσῃς, τί τῶν ἀναγκαίων ὀνῆσαι οὐ δυνάμεθα.

Ἀναστὰς δὲ τῶν ὕπνων ὁ Στέφανος, τῇ τῆς καθολικῆς ἐκκλησίας κοινωνίᾳ προσέδραμεν, καὶ τοῖς ταύτης μυστηρίοις ἑπομένην τὴν ἀνάβλεψιν εὕρισκεν· ἐντεῦθεν καὶ ὁ τούτῳ διακονούμενος, τῶν ἐκκλησιαστικῶν τοῦ σωτῆρος προβάτων ἐγίνετο, μανίαν εἶναι σαφῆ, καίτοι βάρβα-

bentes ac profitentes quod verum sit, et vere dicatur quod ab illis nobis in spiritualem escam, et in remissionem peccatorum tribuitur; per singulos dominicos dies hanc se immortalem escam sumere promittebat. Sed sanctus manifestius faciens audienti, vere inquit nec semel huc veniens communicasti, quod nisi gesseris, nec nos tibi quid necessariorum conferre poterimus.

Surgens autem a somno Stephanus, ad communionem confugit ecclesiae, huiusque mysteria sequentem repperit visum. Hinc et his qui huic ministrabant de ecclesiasticis Salvatoris ovibus factus est, insaniam esse manifestam, quamquam

ρος ὤν, λογισάμενος, τὸ πρὸς θεὸν καὶ ἁγίους ἐκκλησίαν τε καθολικὴν καὶ πίστιν ὀρθόδοξον μάχεσθαι· ἀλλ᾽ ὁ πᾶσιν ἀεὶ τοῖς χρηστοῖς διαφθονούμενος, καὶ τούτους σωζομένους ἐβάσκανεν, καὶ τὸ δῶρον ἐξ ἡμισείας ἀφείλετο· εἰ καὶ τὸ πᾶν ἀφελέσθαι βουληθεὶς οὐ δεδύνηται, τοὺς μάρτυρας εὑρὼν ὑπασπιστὰς τοῦ δωρήματος· μετὰ γὰρ τὴν ῥῶσιν τῆς ψυχῆς καὶ τοῦ σώματος, καὶ τῶν ἑκατέρων ὀφθαλμῶν τὴν ἀνάβλεψιν, ἔτι κατὰ τὸν σηκὸν διατρίβοντες, ὁ διακονούμενος ἠρώτα τὸν Στέφανον· ἰδοὺ φησὶν ἐνθάδε, ὦ κύριε, ταῖς τῶν ἁγίων πεισθέντες κελεύσεσιν, κοινωνικοὶ τῆς καθολικῆς ἐκκλησίας γεγόναμεν· τὴν ἐνεγκαμένην δὲ σὺν θεῷ καταλαμβάνοντες ἐμμένωμεν ἄρα ταῖς τούτων κελεύ-

barbarus esset, cogitans, contra Deum et sanctos ecclesiamque catholicam et orthodoxam fidem pugnare. Sed ille qui omnibus invidet bonis, et in hos qui salvantur livoris facibus inardescit, donum dimidium abstulit, licet totum auferre volens minime potuisset. Post sanitatem quippe animae ac corporis, receptumque utriusque oculi visum, cum adhuc in sanctorum basilica moraretur, minister interrogabat Stephanum: ecce ait o domine, hic sanctorum obedientes iussis, communicatores catholicae facti sumus ecclesiae; cum autem ad civitatem nostram auxiliante Deo perve-

σεσιν; ἢ πρὸς τὸ πρώην πάλιν χωρήσωμεν; ὁ δὲ πρὸς αὐτὸν ἀπεκρίνατο· ὡς ἐνταῦθα μὲν ὄντες τὰ δοκοῦντα δρῶμεν τοῖς μάρτυσιν, ἀπιόντες δὲ τῶν ἐντεῦθεν, τῶν οἰκείων πάλιν δογμάτων ὡς τὸ πρὶν ἀνθεξώμεθα, καὶ πίστεως ἧς ἡμῖν οἱ πατέρες ἡμῶν ἐνεχείρησαν.

Καὶ ταῦτα μὲν ἐν μόναις τέως ἐλέγετο ταῖς ἐντεύξεσιν· ἔργον δὲ τοῖς λόγοις οὔπω τοιόνδε συνήπτετο· καὶ δίκη τῶν λόγων ὥσπερ ἔργων ἀκούσασα, ὡς πεπραχότα τὸν εἰρηκότα μετήρχετο· νὺξ γὰρ μετὰ τὰς ἡλίου δυσμὰς κἀκείνης τῆς ἡμέρας ἐλθοῦσα τὸ πέρας τοῖς ἐπὶ γῆς ἐβράβευσε τὴν ἀνάπαυσιν ἀνθρώποις δηλονότι ὕπνον

nerimus in horum putas iussionibus permanebimus? an iterum ad pristina repedabimus? Ille vero ad eum respondit: dum sumus inquiens hic, quae videntur martyribus peragamus; cum autem hinc abierimus, propria dogmata sicut antea retinebimus, et fidem quam nobis patres nostri tradiderunt.

Et haec quidem solis interim intentionibus dicebantur; opus autem verbis nondum tale copulabatur; iudiciumque * sermonibus aeque ut operibus auditis, quasi agentem, dicentem insectabatur. Nox enim post solis occasum et illius diei veniens terminus, his qui supra terram erant requiem concedebat, hominibus scilicet, aliis quo-

* *immo* ultio divina.

αὐτὴ ταῖς πτέρυξι φέρουσα, καὶ βοῶσα σαφῶς φῶς οὐ μάτην οὐδ' αὐτὴ τῷ πάντων ποιητῇ πεπλαστούργηται· καθ' ἣν καὶ οἱ μάρτυρες Στεφάνῳ ὡς ἀγνώμονι φαίνονται, καὶ τῆς ἀχαριστείας αὐτὸν τὰς δίκας εἰσπράττοντα, λουτροῖς αὐτὸν ἐπιτρέψαντες χρήσασθαι· οἷς ὡς ἐκελεύσθη χρησάμενος, οὕτω διετέθη κακῶς, ὡς πολλὰ γρηγορῆσαι νυχθήμερα, καὶ τὴν πολλὴν ἀϋπνίαν σὺν ταῖς ὀδύναις ὀδύρεσθαι, εἰς πάθος φρενῶν φέρειν ἰδυῖαν τοὺς πάσχοντας· ἀλλ' αὐτὴ μὲν μαστίξασα ὡς δέον ἦν τὸν ἀγνώμονα, φιλανθρωπίᾳ μαρτύρων ἐπαύσατο· ἡ τύφλωσις δὲ πάλιν αὐτὸν ἡ παλαιὰ διεδέξατο, γλώττης ὄλισθον καὶ δυσσεβὲς διανοίας κολάζουσα γέν-

dammodo ferens somnum, et clamore vocitans lumen, cum nec ipsa profecto vane ab omnium factore sit facta: qua et Stephano tamquam ingrato martyres apparent, et ingratitudinis eum poenas luere cogunt, balneis hunc uti praecipientes, quibus sicut iussus est utens, ita male tractatus est, ut nocte ac die plurimum vigilaret, et cum multis doloribus, quia insomnem ducebat vitam ploraret, quod in passione sensuum eos qui patiuntur adducere novit. Sed ipsa quidem misericordiâ martyrum, quae sicut conveniens erat verberabat ingratum, quievit; caecitas autem ei vetus surrogata est, linguae lubricum, et impium

νημα· καὶ ταῦτα πάσχων ἀξίως ὁ ἄθλιος, ἠγνόει κακῶς τῆς βασάνου τὸ αἴτιον.

Ἀλλ' οἱ χριστομίμητοι μάρτυρες ὑπερβαλλόντως ὄντες φιλάνθρωποι, καὶ σωθῆναι πάντας ἀνθρώπους ἐθέλοντες, καὶ ἐλθεῖν εἰς ἀληθείας ἐπίγνωσιν ὡς ἂν ἐπιγνοίη, καὶ ἐπιγνοὺς μεταγνώσει, καὶ μεταγνοὺς σωθείη, τούτῳ δεικνύουσι δι' ὁράματος, καὶ φανέντες ἐν ἄρχοντος εἴδει τε καὶ τάξει τοῦ τὴν Νικίου πόλιν ἰθύνοντος, τῆς πρὸς Κῦρον φησὶν καὶ Ἰωάννην περὶ κοινωνίας γενομένης αὐτῷ συγκαταθέσεως ὠνείδιζον τὴν παράβασιν, καὶ στέργειν αὐτὸν τὰς πρὸς αὐτοὺς συνθήκας ἐκέλευον· καὶ τοῦτον ἠπείλουν εἰ πρὸς ἄλλην ἴδοι παράτρωσιν· ὁ δὲ ὡς

mentis puniens genimen. Et dum haec pateretur, infelix, ignorabat mali causam tormenti.

Sed martyres cum excellenter sint Dei aemulatores, et hominum amatores, salvarique omnes homines, et venire ad veritatis cognitionem velint, ut agnosceret, et agnoscens paeniteret, et paenitens salvaretur, hoc ostendunt per somnium. Apparent enim in specie ac ordine principis Nicipolim moderantis, exprobrantes quasi ad Cyrum et Iohannem de communione factae conventionis praevaricationi *, et stabilire illum factas ad se sponsiones iubebant, et minabantur, si ad alium ultra declinasset errorem. At ille cum laesionis cog-

* ita cod.

ἔγνω τῆς βλάβης τὸ αἴτιον, ἀναστὰς ἐπωμόσατο μηκέτι μὴ λόγῳ μὴ ἔργῳ τοιοῦτό τι διαπράξασθαι, καὶ τῶν προλαβόντων συγγνώμην ἠξίωσε.

Οἱ δὲ θεσπέσιοι μάρτυρες ὡς ἴδον ἀραρότως συνθέμενον, καὶ σθένει παντὶ τὰς πρὸς αὐτοὺς περὶ πίστεως συνθήκας φυλάττειν σπουδάζοντα, πάλιν αὐτῷ κατὰ τοὺς ὕπνους ἐφάνησαν τῷ θυσιαστηρίῳ Χριστοῦ παριστάμενοι, καὶ τὴν ἀναίμακτον θυσίαν προσφέροντες, ἧς αὐτῷ καὶ μετέδωκαν προσενέγκαντες· καὶ μεταλαβόντι πάλιν αὐτῷ τὴν τοῦ σωτῆρος νύμφην τὴν ἐκκλησίαν ὑπέδειξαν ἐν λαμπροῖς ἐσθήμασιν ἀπαστράπτουσαν, καὶ κόσμον ἔχουσαν ἔνθεον καὶ κάλλος ἀνήκαστον ἀνθρωπίνῃ φωνῇ μὴ λεχθῆ-

novisset causam, surgens iureiurando iuravit, ulterius se non verbo, non opere huiusmodi quid acturum, et praecedentium veniam postulavit. Cum autem egregii martyres hunc vidissent firmiter pollicentem, et virtute omni factas ad se de fide sponsiones custodire festinantem, iterum illi in somnis apparuerunt altari Christi assistentes, et incruentum sacrificium offerentes, de quo ei et impertiti sunt dum offerrent. Cuique communicanti rursus Salvatoris sponsam, ecclesiam scilicet ostenderunt, claris vestibus rutilantem, divinumque ornatum habentem atque inaestima-

ναι δυνάμενον· ἥτις ἐλθοῦσα πρὸς τὸ σεπτὸν θυσιαστήριον, πάλιν καὶ αὐτὴ τῶν ἐπικειμένων Χριστοῦ μυστηρίων τῷ Στεφάνῳ λαβοῦσα μετέδωκεν· καὶ τοῖς ἁγίοις εἰρηκόσιν, ἀρκεῖ αὐτὸ δοθὲν πρὸς τελείωσιν, τοιούτοις ἀπεκρίνατο ῥήμασιν· βούλομαι περιττεύειν αὐτὸν τοῖς θείοις δωρήμασιν, καὶ τοῦτο πλεῖον τῶν δεδομένων κομίσασθαι· ἐγὼ γὰρ αὐτὸν ἐδεξάμην νῦν φωτιζόμενον, καὶ υἱὸς ἐμὸς ἀπὸ τοῦ παρόντος κεκλήσεται.

Καὶ ταῦτα πρὸς τοὺς μάρτυρας λέξασα, σταυρὸν χρυσέον λίθοις διαυγέσιν καὶ τιμίοις λάμποντα ἀπὸ τοῦ τραχήλου τοῦ νέου περὶ τὸ στῆθος ἐώρησεν, τοῦτον φύλακα τοῦ δοθέντος αὐ-

bilem pulchritudinem, quae humana voce dici non poterat; quae ad venerabile veniens altare, iterum et ipsa proposita Christi sumpta mysteria Stephano praebuit; et dicentibus sanctis sufficere illi quod ad perfectionem fuerat attributum, huiuscemodi verbum respondit: volo eum divinis muneribus abundare, et hoc plus his quae data sunt asportare. Ego enim nunc eum dum illuminaretur suscepi, et filius meus a tempore praesenti vocabitur.

Et his ad martyres dictis, crucem auream fulgidis pretiosisque lapidibus corruscantem a collo iuvenis circa pectus suspendit, hanc observatricem illuminationis quae illi data fuerat prae-

τῷ παρασχοῦσα φωτίσματος· ὅτι ἔξω προελθόντα τοῦ ἱεροῦ τόπου τὸν Στέφανον, μετὰ τὴν τῆς μυσταγωγίας ἐκείνης ἀπόλυσιν, αἰγύπτιος τίς δυσειδὴς ἅμα καὶ βέβηλος, ἐκδύειν ἠβούλετο τῆς ἐκκλησίας ἔξω γενόμενον, καὶ πολὺ μαχησάμενος οὐ δεδύνηται· ἀλλὰ καὶ νικηθεὶς, εἰς βόθυνον τινὰ δυσκατάληπτον πέπτωκε, σταυροῦ δηλονότι τοῦ τῆς νίκης δωτῆρος καὶ φύλακος τὸν οἰκεῖον προσκυνητὴν πάλιν ῥωννύοντος, καὶ νίκην κατὰ τοῦ σκότους παρέχοντος· μετ' οὐ πολὺ δὲ τῆς νίκης ὁ Στέφανος καὶ τῶν ὀφθαλμῶν τὸ σκότος ἀπέθετο, καὶ τῆς ὑγείας ἀπήλαυσε, καὶ τὸ φῶς ὡς τὸ πρὶν ἐθεάσατο, σερίων ὀπῷ πρὸς θεραπείαν χρησάμενος· τούτων

stans; quia cum a sacro loco post illam mysticae celebrationis solutionem Stephanus processisset, aegyptius quidam foedus, atque pollutus volebat eum exuere, cum extra ecclesiam foret inventus, et multum causatus, nihil praevaluit, sed et victus in foveam quamdam vix comprehensibilem cecidit, cruce videlicet victoriae datrice et observatrice, proprium adoratorem ad luctationem roborante, et victoriam contra tenebras tribuente. Post pauxillum vero victoriae *, Stephanus et tenebras oculorum abiecit, et sanitate potitus est, et lumen sicut antea vidit, intybarum suco ad curationem usus; ex his enim elicere su-

* immo paulo post victoriam.

γὰρ ἐκχυματίζεσθαι τὸν ὀπὸν οἱ μάρτυρες δι' ὁραμάτων ἐκέλευσαν· καὶ ἐπὶ τοῦτο δὲ πάλιν τοὺς σωμάτων καὶ ψυχῶν ἰατροὺς ἀνυμνήσαντες, καὶ πρό γε τούτων Χριστὸν τὸν δι' αὐτῶν ἐνεργοῦντα τὴν ἴασιν, πρὸς ἄλλην ἴασιν καὶ ἑτέρου διήγησιν θαύματος ἴωμεν.

λθ. ΠΕΡΙ ΠΕΤΡΟΥ ΤΟΥ ΠΑΡΑΙΤΟΥ.

Ἐπειδήπερ ἐν ἄμφω τοῖς προλαβοῦσι θαύμασί τε καὶ τέρασι καὶ τοῖς πρὸ τούτων λεχθεῖσιν ἡμῖν διηγήμασιν ἡ περὶ πίστεως γνώμη Κύρου καὶ Ἰωάννου τῶν ἁγίων μαρτύρων δεδήλωται, καὶ ὡς τῆς καθολικῆς ἐκκλησίας τὸ κήρυγμα σέβουσιν, καὶ τὴν ταύτης κοινωνίαν ἀσπάζονται, διὰ τῆς ἰάσεως τῶν μνημονευθέντων

cum martyres in somnis iusserunt. Et in hoc iterum corporum et animarum medicis collaudatis, et super hos Christo, qui per eos operatus est sanitatem, ad aliam sanitatem et alterius relationem miraculi gradiamur.

39. DE PETRO PARALYTICO.

Quoniam in utrisque miraculis et prodigiis quae praecesserunt, et enarrationibus quae a nobis antea dictae sunt, Cyri atque Iohannis sanctorum martyrum de fide sententia claruit, et quod catholicae praedicationem ecclesiae colant, huiusque

ἀρτίως γιγνώσκονται, ἄξιον οἶμαι καθέστηκε καὶ Πέτρου μνήμην ποιήσασθαι, ὃν οἱ θεσπέσιοι μάρτυρες τῆς τῶν πρὸ αὐτοῦ δόξης ὑπάρχοντα πρὸς τὴν τῆς ἁγιωτάτης ἐκκλησίας ἐλθεῖν κοινωνίαν ἠνάγκασαν· καὶ εἰ μὴ σκοπὸν τοῦτο ποιούμεθα, ἀλλὰ διὰ τὴν τῶν ἀποστατούντων τῆς ἐκκλησίας ὠφέλειαν, ἵν' οὗτοι κατὰ τὸ λόγιον ἐπὶ στόματος δύο ἢ τριῶν μαρτύρων παντὸς ῥήματος τὴν στάσιν γινώσκοντες, καὶ νῦν μεταμάθωσιν τὴν ἀλήθειαν, καὶ τὰς οἰκείας ῥεύσεις ἐάσαντες, τῇ τοῦ σωτῆρος ἐκκλησίᾳ προσέλθωσιν, τῷ σκοπῷ τῶν ἁγίων ἑπόμενοι, καὶ πρὸς αὐτῶν τὸ χρηστὸν διδασκόμενοι· διὰ τοῦτο γὰρ καὶ τοὺς ἔτι κατὰ τὸν βίον ὑπάρχοντας

communionem amplectantur, per sanitatem eorum qui modo commemorati sunt patet, dignum arbitror esse Petri quoque memoriam facere, quem egregii martyres cum sectae priorum esset, ad sanctissimae venire communionem ecclesiae coëgerunt; quamvis hoc non in exemplum tribuatur, sed ob utilitatem praevaricatorum ecclesiae concedatur, ut isti secundum illud eloquium in ore duorum vel trium testium omnis verbi statum cognoscentes, nunc quoque veritatem ediscant, et propriis dimissis haeresibus, ad Salvatoris accedant ecclesiam, typum sanctorum sequentes, et ab eis Christum discentes. Propterea enim et eos qui adhuc

καὶ τὸν ἀέρα τοῦτον τὸν ὁρώμενον πνέοντας φέρομεν, ἵνα εἴπερ ἡμῖν ἀπιστήσωσιν λέγουσιν, ἐκείνους αὐτοὺς ἐρωτήσωσιν, καὶ παρ' αὐτῶν τὴν ἀλήθειαν μάθωσιν· ἀρκήσουσι γὰρ ἡμῖν πρὸς πᾶσαν ὀρθότητος πίστωσιν συνηγοροῦντες οἱ μάρτυρες, καὶ τοὺς σκάζοντας πρὸς τὴν τῆς εὐσεβείας ἐπίγνωσιν ἐν κημῷ καὶ χαλινῷ μεταφέροντες· ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν, καὶ τοῦτο πάλιν δι' ἔργων καὶ νῦν αὐτῶν ἐπιδείξωμεν· τὴν ἀρχὴν δὲ τῆς τούτου διηγήσεως ἐνθένδε ποιήσωμεν.

Ἡρακλείου τοῦ κτήματος ὁ Πέτρος ἐτύγχανεν, ὃ σταδίοις δέκα καὶ τέτρασι τῷ νεῷ τῶν ἁγίων διέστηκεν· καὶ πάρεσιν εἶχε τὸ νόσημα

superstites sunt, et aërem istum visibilem spirant adducimus, ut si nobis non credunt dicentibus, illos interrogent, et ab eis veritatem ediscant. Sufficient quippe nobis ad omnem rectitudinis certitudinem, praestantes favorem martyres, et vacillantes circa pietatis cognitionem in camo et freno circumferentes. Sed ad propositum veniamus, et hoc iterum operibus ipsis etiam nunc ostendamus. Porro principium huius narrationis istinc faciamus.

Heraclide praedio Petrus erat, quod stadiis quatuordecim a sanctorum templo distabat, et dissolutionis habebat languorem ex magna infirmi-

εἶχε τὸ νόσημα ἐκ μεγάλης ἀσθενείας γενόμενον* εἰ μὴ Πέτρου θεάσοιτο θάνατον, καὶ σὺν αὐτῷ πελάσει τῷ μνήματι· ἀλλ' εἰς Κῦρον ἐλθὼν καὶ Ἰωάννην τοὺς μάρτυρας, καὶ δι' αὐτῶν εἰς ἐκκλησίαν καθολικὴν καὶ πίστιν ὀρθόδοξον πρὸ θανάτου τὴν νόσον ἀπέβαλεν, καὶ πρὸ μνήματος τὴν ὀλέθριον πάρεσιν· ἀληθείας γὰρ οὐδὲν ἰσχυρότερον, ὡς ἡ τοῦ Ζωροβάβελ δείκνυσι φρόνησις, τῆς τοῖς οὐρανίοις κρατυνομένης κηρύγμασι, καὶ τὴν ἐκκλησίαν ἀεὶ τηρούσης ἀήττητον, καὶ πύλαις ᾅδου μηδαμῶς ὑποκλίνουσαν, αἵτινες αἱρέσεις εἰσὶν αἱ μισόχριστοι, τῷ τοῦ ᾅδου διακονούμεναι φάρυγγι, καὶ πάντως εὐμαρῶς τοὺς ἐμπίπτοντας τῇ τούτου γαστρὶ παραπέμπουσαι.

tate generatum, nolentem recipere terminum nisi Petri mortem vidisset, et una cum eo monumentum appropinquasset. Verum ad Cyrum et Iohannem martyras, ac per eos ad ecclesiam catholicam, et fidem orthodoxam veniens, ante mortem languorem deposuit, et ante monumentum exitiosam paralysin; veritate namque nihil est fortius sicut Zorobabel ostendit prudentia, quae caelestibus confirmatur praedicationibus, et ecclesiam servat semper insuperabilem, portis scilicet nequaquam inclinatam inferni, quae sunt haereses odio Christum habentes, et inferni faucibus

Τούτῳ γὰρ οἱ τῇ πίστει θερμότατοι μάρτυρες παραστάντες καθεύδοντι, πράως ὁμοῦ καὶ προσηνῶς διαλέγονται· βούλει γὰρ, ἔφασκον, τῆς ὑγείας ἀπολαῦσαι καὶ ῥώσεως, καὶ ταύτην φυγεῖν τὴν χειρίστην πάντων ἀσθένειαν; ὁ δὲ προθύμως προσηκάμενος τὴν ἐρώτησιν, ναὶ τοῖς χείλεσιν εἴρηκεν, καὶ τῇ κεφαλῇ τοῦτο νεύσας ἐμήνυσεν· χεῖρας δὲ κινῶν ὡς ἠδύνατο, τὸν τῆς ἱκετείας τρόπον ἐδείκνυεν· οἱ δὲ μάρτυρες ὡς ἴδον

ministrantes, cunctosque lapsos huius utero facile transmittentes.

Huic enim dormienti fide ferventissimi martyres assistentes, mansuete simul et leniter disputant. Vis enim, asserebant, sanitate perfrui et incolumitate, et hanc pessimam omnium infirmitatem effugere? At ille prompte interrogatione accepta labiis dixit, et capite hoc innuens indicavit, manibus vero motis sicut poterat modum supplicationis monstrabat. Martyres autem cum vidissent eum ad sanitatem anhelare, huiusmodi ei optionem praetendentes, si vis aiunt a languore liberari, surgens pretiosum Iordanem ingredere (hoc enim nomine Alexandrini sacri baptismatis piscinam significant (1), eo quod Christus dominus noster ad purgationem nostri sit in Iorda-

(1) Reapse et in priscis ecclesiarum rom. musivis spectatur fluvius cum inscriptione IORDANES, quo lustralem baptismi aquam significari, nemo antiquarius non dicit.

αὐτὸν πρὸς τὴν ῥῶσιν φλεγόμενον, τοιαύτην αὐτῷ προτείνουσι * (1) λητὴν * λεὼν οἱ τούτων γο- * immo ἰσραελιτικόν. νεῖς καὶ προπάτορες· ὅθεν ὁ Πέτρος μηδὲ τυχεῖν ἔφησε βούλεσθαι ῥώσεως, μηδὲ τῆς συνόδου γενέσθαι τῆς ἐν Χαλκηδόνι συναχθείσης ὁμόδοξος· οἱ δὲ θεσπέσιοι ταῦτα λέγοντι προσηπείλησαν, καὶ ὡς οὐκ ἄλλως σωθήσεται φήσαντες ἀνεχώρησαν, τὰς ἀλγηδόνας αὐτῷ διυπνήσαντες, ἃς ἦσαν αὐτοὶ κατευνάσαντες· ὁ δὲ ταύταις δεινῶς αἰκιζόμενος πάλιν ἀρωγοὺς ἐκάλει τοὺς μάρτυρας· ἀλλὰ πάλιν ἐλθόντες, καὶ τὰ πρῶ-

ne flumine baptizatus) manibusque ibidem lotis, mysteria Christi quae illic sunt accipe, manuum ostendentes figura, corporis Christi ac sanguinis vivificam ac beatam perceptionem. Qui hoc audito, malam propositionem esse ait, synodoque maledixit chalcedonensi, quamvis liquido sciret huius auctores. Odium quippe multum Aegyptii ex irrationabilitate ac barbarico sensu contra sanctum hoc feruntur concilium (2), quemadmodum quondam adversus Israëliticum populum, horum parentes ac genitores. Unde Petrus neque sanitatem velle se impetrare dixit, neque synodi quae

(1) Quid in codicis graeci lacuna sit perditum, demonstrat latinus textus.

(2) Aegyptii quippe sunt Dioscori et Severi adseclae, quorum hominum contra concilium chalcedonense notae sunt ira et impietas.

τα προτείναντες, ἀπράκτους ἀπέλυσεν· οὐ μόνον δὲ δὶς καὶ τρὶς ἢ τετράκις τοῦτο πεποίηκεν, ἀλλὰ πολλάκις αὐτοὺς καλῶν εἰς βοήθειαν, καὶ δι' οἶκτον αὐτῷ πολὺν ὑπακούοντας, καὶ τὰ αὐτὰ ποιεῖν ἐπιτρέποντας, ὡς οὐκ ἐλθόντας ἀπέλυεν, μὴ βουλόμενος αὐτοῖς ὑπείκειν καὶ πείθεσθαι· δυσμετάθετον γὰρ ἔθνος αἰγύπτιοι (1), καὶ ὃ ποιεῖν ἅπαξ θεσπίσουσιν, εἴτε καλὸν εἴτε χηρεύοι τοῦ κρείττονος, οὐ ῥαδίως μεθείασιν· καὶ οὗτοι μὲν τοιοῦτοι τυγχάνουσιν ἅπαντες.

Chalcedone collecta est, fieri consentaneum. Illi autem egregii martyres haec dicenti minati sunt; et quod non aliter esset salvandus asseverantes, recesserunt, dolores ei excitantes quos pridem sedaverant; qui atrociter his verberatus, iterum adiutores asciscere martyras procurabat, sed iterum venientes et prima praetendentes, inefficaces dimisit; non autem bis et ter aut quater hoc fecit, sed multotiens eos vocans in adiutorium, qui cum propter multam miserationem exaudirent, et eadem facere praeciperent, quasi non venissent, nihil veritus dimittebat, nolens eis subdi vel obedire; natio enim Aegyptiorum vix mutatur, et quod facere semel decreverit, sive sit bonum, sive sit meliori deterius, difficilius immutatur; et isti quidem tales sunt universi.

(1) Gens Aegyptiorum propositi tenax.

Πέτρος δὲ τῆς ὀδύνης ὑπερβολῇ τιμωρούμενος, καὶ φέρειν ἔτι τῶν βασάνων οὐχ οἷός τε ὢν τὴν δριμύτητα, μόλις δὲ καὶ οὕτω πεισθεὶς τοῖς τῶν ἁγίων κελεύσμασι, τούτους τὸ τελευταῖον ἐκάλεσεν, ἵνα πάλιν οἰκτείραντες ἔλθωσι, καὶ τὰς ὀδύνας διώξωσιν, καὶ τὴν ῥῶσιν χαρίσωνται· καὶ παντὸς οὗ δ' ἂν ἐθέλωσί τε καὶ λέξωσιν, τούτου πληρωτὴν ἑαυτὸν ὁρίζων ἑκούσιον· οἱ δὲ συμπαθεῖς ὄντες καὶ φιλάνθρωποι μάρτυρες καὶ τότε καλοῦντος ἀφίκοντο, καὶ τὰ αὐτὰ ποιεῖν διετάττοντο, καὶ κοινωνὸν αὐτὸν ἔχειν τῆς πίστεως, εἰ πεισθείη καὶ ποιήσει, διώμνυντο· τούτῳ γὰρ ἔτι διστάζοντι περὶ τὴν τῶν μυστηρίων μετάληψιν, οὐκ ἀρκεῖ πιστεύειν

Petrus autem doloribus nimium cruciatus, et sufferre ultra tormentorum non valens acredinem, sicque tandem sanctorum iussionibus parens, hos novissime invitavit, quo rursus miserti venirent, et dolores pellerent, et sanitatem donarent, et pro certo definiens se quicquid vellent et dicerent, voluntarie completurum. Ast compatientissimi revera et amatores hominum martyres, etiam tunc illo vocante veniebant, et eadem facere praecipiebant, communicatoremque se fidei hunc iurabant, si acquiesceret, et iussa perficeret, habituros. Hunc ergo cum adhuc circa sacramentorum perceptionem dubitaret, non tibi sufficit cre-

ἐφθέγξαντο ὡς ἡμεῖς, ὦ Πέτρε, πιστεύομεν, καὶ ἡμῖν ἐν τῷ περὶ πίστεως λόγῳ συντάττεσθαι; ὁ δὲ πρὸς αὐτοὺς πάλιν λέγειν ἐτόλμησεν· τί γὰρ καὶ ὑμεῖς, ὦ τοῦ Χριστοῦ μεγάλοι θεράποντες, ὡς ἡ ἐν Χαλκηδόνι πιστεύετε σύνοδος; οἱ δὲ κατὰ ταύτην φρονεῖν τὴν τῶν ἱερῶν ὁσίαν πληθὺν ὡμολόγησαν· καὶ οὕτω πιστεύειν ὡς ἡ ἐν Χαλκηδόνι πεπίστευκε σύνοδος· καὶ ταύτην ἔλεγον πίστιν ὀρθὴν καὶ θεόπνευστον κήρυγμα, ἣν ἡ λεχθεῖσα σύνοδος ὥρισε.

Ταῦτα λέξαντες οἱ θεσπέσιοι, καὶ δι' ὅρκων αὐτὰ βεβαιώσαντες, καὶ τὸν Πέτρον ἤδη προπεισθέντα τοῖς βασάνοις δράσαντες τὸ δοκεῖν, ἀνεχώρησαν τοῦ τεμένους αὐτῶν οὐκ εἰργόμε-

dere percontabantur, sicut nos credimus o Petre, et nobiscum in ratione fidei computari? Ille vero ad eos iterum dicere praesumebat, numquidnam et vos o magni famuli Christi sicut chalcedonensis creditis synodus? At illi secundum hanc sapere sanctam multitudinem sacerdotum confessi sunt, et ita credere sicut chalcedonense concilium credidit astruebant, et hanc esse fidem rectam et praedicationem divinitus inspiratam, quam praedicta synodus definierit, asserebant.

Haec cum egregii dixissent, et iureiurando ea firmassent, Petrumque iam credulum tormentis patrassent, ut putatum est, recesserunt a templo

νοι· ὁ δὲ πρωΐας τὸ μακάριον ἐπλήρωσε πρόσταγμα, καὶ μισθὸν εὐσεβείας τὴν ῥῶσιν ἐδρέψατο, καὶ φυλάττων τὴν πίστιν διέμεινεν, ἣν οἱ μάρτυρες αὐτῷ δέδωκαν, καὶ τὸν μισθὸν ἀναφέρετον ἔσχηκε τῆς ὀρθῆς οὐ τεμνόμενον πίστεως, ἀλλὰ ταύτῃ συνόντα καὶ μένοντα, καὶ τὸν χωρισμὸν αὐτῆς οὐ δεχόμενον· οὐδὲ πάσχει τοῖς προλαβοῦσι τὰ ὅμοια, οὐδὲ πίστεως στερεῖται καὶ ῥώσεως, καὶ πάλιν ὡς ἀγνώμων παιδεύεται, καὶ μαστιζούμενος, μεταποιεῖται τὰ κρείττονα, ἀλλ' ἔστι πιστὸς ἀμετάθετος, ἀδιαλείπτως τρυγῶν τῆς ὑγείας τοὺς βότρυας· καὶ Πέτρος μὲν οὕτω κοινωνικὸς τῆς ἐκκλησίας ἐγένετο, καὶ τέκνον φωτός.

suo exclusi nullatenus. At ille, beato completo mane praecepto, mercede pietatis incolumitate potitus est, et permansit fidem custodiens, quam sibi martyres tradiderunt, et mercedem quae auferri non posset habuit a recta fide minime recidendam, sed cum hac existentem et manentem, atque separationem illius nullatenus admittentem: sed neque praecedentibus similia patitur, neque fide vel sospitate privatur, ut iterum sicut ingratus corripiatur, et flagellatus meliora sectetur, sed est fidelis, immutabilis, indeficientis sanitatis vindemians botryones. Et Petrus quidem taliter communicator ecclesiae factus est, et filius lucis appellatus est.

Μηνᾶς δὲ ὁ Χριστοδώρου τοῦ τῶν ἁγίων οἰκονόμου νοτάριος, ἀλεξανδρεὺς ὢν καὶ τῆς αὐτῆς ὑπάρχων αἱρέσεως, φανερῶς μαστιχθεὶς ἐκοινώνησεν· οὗτος γὰρ τοὺς ἁγίους κοιμώμενος, ἐπὶ τὸ τίμιον ἱερατεῖον, καὶ τὴν μυστικὴν καὶ οὐράνιον τράπεζαν, ὡς εἰς μυστηρίων ἁγίων ἀπιόντας μετάληψιν ἔβλεπεν· οἳ στραφέντες καὶ μὴ ἑπόμενον αὐτὸν θεωρήσαντες, πρὸς αὐτὸν ὑποστρέφουσι, καὶ ῥάβδους αὐτῶν ταῖς παλάμαις κατέχοντες, ἐντόνως αὐτὸν καὶ γενναίως ἐμάστιζον, τὴν αἰτίαν τῶν βασάνων ἐμφαίνοντες· τινὸς γὰρ ἕνεκεν, ἔλεγον, ἀπιόντας ἡμᾶς ἐπὶ κοινωνίας βλέπων μετάληψιν οὐ συνέδραμες; εἰ τοίνυν εἰς οἶκον βούλει παραμένειν ἡμέτερον,

Mennas autem Christodori sanctorum dispensatoris notarius, cum alexandrinus existeret, et eiusdem haereseos, manifeste flagellatus communicavit. Hic enim sanctos dormiens ad honorabile sacrarium et mysticam caelestemque mensam pergentes, quasi ad sancta percepturos sacramenta, videbat; qui conversi et sequentem minime contemplantes, ad eum se vertunt, et retentis prae manibus virgis, indefesse hunc et fortiter flagellabant, causam tormentorum manifestantes. Dicebant enim: quamobrem pergentes nos ad communionis perceptionem intuens, non pariter cucurristi? Igitur si in domo vis perma-

τοῖς ἡμῶν ἀκολούθει θεσπίσμασιν· καὶ ὅθεν ἡμεῖς δεσποτικῆς τροφῆς ἀπολαύομεν, ἐκεῖσε καὶ αὐτὸς μεταλάμβανε, ταῖς τῶν δακτύλων ἐκτάσεσιν τὴν ἱερὰν δεικνύοντες τράπεζαν.

Ἀλλ' οὔτε μετὰ πλείστας αὐτοὺς συνθέσθαι μάστιγας ἔπεισαν, ἐμβριθῶς ἀπειλήσαντες εἴασαν, πάντως ποιεῖν τὸ κελευσθὲν συνταξάμενον· ὁ δὲ στραφεὶς ταῖς ἀλγηδόσιν ἐστύφετο, καὶ ὡς ὕπαρ πληχθεὶς εἶχε τοὺς μώλωπας, τῷ τῶν ἁγίων μαρτυροῦντας βουλήματι· ὅθεν ἀναστὰς εὐθὺς ἐκοινώνησεν, καὶ τὰς τῶν βασάνων εὐθὺς ὀδύνας ἀπέβαλε· καὶ φωτισθεὶς τὴν ψυχὴν τῇ τῆς ἀληθοῦς πίστεως χάριτι, εὐμενεῖς τὸ λοιπὸν τοὺς ἁγίους ἐκτήσατο· βουλόμενοι δὲ

nere nostra, nostras sequere sanctiones; et unde nos dominica esca fruimur, illinc et ipse communica, digitorum extensionibus sacram mensam monstrantes.

Sed cum neque multa spondentes flagella ei persuasissent, verissime minitantes dimiserunt, facturum penitus se quod iussum fuerat pollicentem. Qui conversus doloribus astringebatur, tamquam vere percussus livorem habebat, voluntati martyrum testimonium perhibentem; unde surgens statim communicavit, doloresque tormentorum deposuit, et verae fidei gratia illuminatus anima, benignos de cetero sanctos possedit. Porro volen-

καὶ πλειόνων ἄλλων μνήμην ποιήσασθαι μαρτυτυρικοῖς κεκοινωνηκότων προστάγμασιν, καὶ μαθόντων τῆς πίστεως τὴν ἀλήθειαν, τοῖς λεχθεῖσιν μόνοις ἀρκούμεθα· ἵνα μηδεὶς ἡμᾶς ὑποπτεύσειεν πίστεως ἕνεκα γεγραφῆναι τῶν ἁγίων τὰ θαύματα· ἐνταῦθα γὰρ καὶ τὴν περὶ Πέτρου καὶ Μηνᾶ τοῦ νοταρίου διήγησιν συμπεράσαντες, καὶ τοὺς ἁγίους ὑμνήσαντες, πρὸς ἄλλην διήγησιν ἔνθεον ἔλθωμεν.

μ. ΠΕΡΙ ΙΩΑΝΝΟΥ ΤΟΥ ΜΝΗΜΑΤΙΤΟΥ ΤΩΝ ΑΓΙΩΝ ΤΟΥΣ ΝΕΦΡΟΥΣ ΠΑΣΧΟΝΤΟΣ.

Οὐκ ἄτοπον ὡς οἶμαι καθέστηκε καὶ Ἰωάννην παραθέσθαι τῷ γράμματι τὸν μνηματίτην

tes aliorum quoque mentionem plurimorum facere, qui martyricis communicavere praeceptis, fideique didicere veritatem, solis quae dicta sunt sumus contenti, ut nemo nos suspicetur fidei tantum causa, sanctorum scripsisse miracula. Hic ergo et de Petro ac Menna notario, narrationem terminantes, et sanctos hymnis solitis efferentes, ad aliam divinitus inspiratam relationem veniamus.

40. DE IOHANNE MNEMATITA SANCTORUM QUI RENUM PATIEBATUR DOLOREM.

Non inconveniens, ut arbitror, est Iohannem etiam huic commendare scripturae, qui mnema-

ἐπιλεγόμενον, ὡς τῆς θεραπείας τοῦ τῶν ἁγίων προϊστάμενον μνήματος, ἐπειδὴ τὰ κατὰ Πέτρον διηγούμενοι τὸν αἰγύπτιον, καὶ Μηνᾶν παρεθέμεθα τὸν νοτάριον, τὸν Χριστοδώρῳ καὶ τῇ τῶν ἁγίων οἰκονομίᾳ διακονούμενον, εἰ καὶ τὰ τῶν ὑπηρετούντων τοῖς μάρτυσι πρόσωπα, αἱ πίστεις καὶ τὰ γένη, καὶ τῶν εἰς αὐτοὺς πραχθέντων θαυμάτων διελεῖν ἡμᾶς ἀπ' ἀλλήλων ἠνάγκασε, καίτοι συνάπτειν αὐτὰ βουλομένους καὶ σπεύδοντας.

Λιβὺς ὁ Ἰωάννης ἐτύγχανεν, καὶ Μαραιώτην ᾤκει τὸ πρότερον· ἀλλ' εἰς τὸ τῶν ἁγίων γενόμενος τέμενος, τρόπον τινὰ γένος ἠλλάξατο· Αἰγύπτου γὰρ τοῦτο μᾶλλον ἐστι πλησιέ-

tites nuncupabatur, eo quod monumento praeesset curationis sanctorum; mnema quippe monumentum interpretatur; qui tam Christodoro quam dispensationi ministrabat sanctorum, quoniam cum de Petro aegyptio referebamus Mennam etiam notarium apposuimus, licet martyribus ministrantium personas fides et genera miraculorum in eos patratorum nos ab invicem separare coëgerint, dum colligere illas vellemus et studeremus.

Libyus Iohannes erat, et apud Maraeoten primitus habitaverat, sed cum ad sanctorum venisset basilicam, genus modo quodam mutavit, haec enim est Aegypto propinquius. Porro transmigra-

στερος· τὸ δὲ τῆς μετοικήσεως αἴτιον, δαίμων ἦν ὡς λέγουσιν ἄγριος, ὃς ἐν αὐτῷ τὴν κατοικίαν ποιούμενος, ἀφόρητος ἦν διὰ πολλὴν ἀγριότητα· τούτου χάριν ὁ Ἰωάννης δεδεμένος ἁλύσεσιν πρὸς τοὺς μάρτυρας ἤγετο, ὅπως αὐτὸν ἐλεήσαντες τοῦ συνοικοῦντος λυτρώσωνται δαίμονος· ὃ καὶ θᾶττον πεπράχασιν· ἐκβαλόντες γὰρ εὐθὺς τὸ δαιμόνιον, τῆς τούτου μανίας διηνεκῆ δωροῦται τὴν λύτρωσιν.

Ὁ δὲ ταύτης τυχὼν τῆς λυτρώσεως, τῶν σεσωκότων ἁγίων δοῦλον ἑαυτὸν ἀπεγράψατο, τῆς θεραπείας ἀξίαν ἐνδεικνύμενος εὔνοιαν, δι' ἣν καὶ μετανάστης ἐγένετο, καὶ τὴν πατρίδα λειπὼν, τὸ τῶν ἁγίων μαρτύριον ᾤκησεν· καὶ τοῦτο μὲν τῆς μετοικεσίας τὸ αἴτιον· μετὰ χρόνον

tionis auctor daemon erat ut ferunt agrestis, qui habitationem faciebat in ipso, et erat ob multam feritatem intolerabilis. Huius rei gratia Iohannes vinctus catenis ad martyras agebatur, siquo modo sui miserti, a daemone qui se tenebat, eriperent; quod et velociter peregerunt; eiecto enim confestim daemonio, ab huius insania continuam donant redemptionem.

At ille hanc adeptus, sanctorum qui se salvaverant semet servum ascripsit, curatione dignam ostendens benivolentiam, per quam et transmigrator effectus est, et patria derelicta, penes san-

δὲ πάνυ συχνὸν τοὺς νεφροὺς βαρέως ἐνόσησεν, καὶ ἡ νόσος ἦν ἀνυπόστατος· ποτὲ μὲν γὰρ πίπτων εἰς γῆν ἐκυλίετο, ποτὲ δὲ τῆς γῆς ἀνιστάμενος ἀνὰ τὸ τέμενος ἔθει, καὶ βαρυφώνοις στεναγμασι πάντας τοὺς σὺν αὐτῷ διατρίβοντας ἐστέρει τῆς προσφιλοῦς ἀναπαύσεως, ἥτις αὐτοῖς ἠρεμίᾳ προσγινέσθαι πέφυκεν, καὶ τάχα συγγνώμης ἐτύγχανεν ἄξιος, οὕτως σφοδρῶς ὀδυνώμενος· τῶν μὲν γὰρ ἄλλων παθῶν ἴσως τὶς τῆς ὀδύνης στοχάσαιτο, νεφρῶν δὲ πόνον εἰπεῖν καὶ ἄλγος ἀνήκαστον τῶν οὐ πεπονθόνων οὐδεὶς, μόνοι δὲ γιγνώσκουσιν οἱ νοσήσαντες· κινδυνεύων οὖν οὕτως ὡς ἔφημεν Ἰωάννης σφοδρότατα, τά-

ctorum habitavit martyrium. Et haec quidem fuit huius causa transmigrationis. Post tempus autem admodum breve, renum languorem graviter incidit, et languor erat intolerabilis: etenim aliquando cadens in terram volutabatur, aliquando vero a terra erectus per basilicam discurrebat, gravibusque vocibus et gemitibus omnes qui in ea morabantur requie privabat amata, quae illis ad quietem proficere solet. Et forte venia dignus erat tam valide dolens: nam aliarum quidem passionum dolor fortasse quis quam sit vehemens advertit; renum autem dolorem et cruciatum, fateor, nemo qui passus non est conicere potest, cum hoc solummodo qui horum languorem passi sunt, sciant.

χα ἂν συντονωτέρας ἔτυχε τῆς ἰάσεως, εἰ σὺν μακροθυμίᾳ τοὺς ἁγίους ἱκέτευε.

Καλὸν δὲ εἰπεῖν ὅπως καὶ τοῦτο διαφύγῃ τὸ νόσημα· ἔστι γὰρ ὁ τρόπος χάριτος ἔμπλεος· ἰατρίσκός τις τοῦτον ἰδὼν χαλεπῶς ὀδυνώμενον, καὶ τῆς ὑγείας διακαῶς ὀρεγόμενον, τρία δός μοι, πρὸς αὐτὸν ἔφη, νομίσματα, κἀγώ σοι δι' ἀντιδότου παρέχω τὴν ἴασιν· ὁ δὲ φυγεῖν σπουδάζων τὴν βάσανον, τὸ χρυσίον προθύμως ἐπέδωκεν, καὶ λαβὼν ἐτήρει τὸ φάρμακον, ἵνα πρὸς ὄρθρον αὐτὸ διὰ στόματος δέξηται· καὶ κατ' ἐκείνην τὴν νύκτα κοιμώμενος, παρεστῶτας αὐτῷ βλέπει τοὺς μάρτυρας, καὶ τὴν ἀπιστίαν τὴν πρὸς αὐτοὺς ὀνειδίζοντας, καὶ τῶν εἰς αὐ-

Cum ergo Iohannes tam, ut diximus, valide periclitaretur, fortasse sanitatem magis concitam impetrasset, si sanctos longanimiter flagitasset.

Bonum autem est ut dicatur quo et hunc modo languorem effugerit, est enim modus gratia plenus. Mediculus quidam hunc saevo videns dolore fatigatum, et sanitatem ardentissime desiderantem, tres, dixit ad eum, da mihi nummos, et ego tibi per antidotum sanitatem praestabo. At ille fugere volens supplicium, aurum alacriter tradidit, et accepto medicamine, observabat quatinus illud per os diluculo sumeret. Et eadem nocte dormiens sibi martyras videt astantes, et in-

τὸν διαφόρως γενομένων ἰάσεων ἀναμιμνήσκοντας· οὐ μόνον γὰρ αὐτὸν δαίμονος ἦσαν λυτρωσάμενοι, ἀλλὰ καὶ τοῦ τῆς ποδάγρας ἀνιάτου νοσήματος, καὶ μυρίων ἄλλων παθῶν ἰδικοῦ δεομένων συντάγματος, εἰ γράφειν αὐτά τίς τὸ καθ' ἓν ἐθελήσειεν· περὶ ὧν ὑπομνήσαντες πάντων αὐτὸν οἱ καλλίνικοι, καὶ μάλα κομψῶς ἐγκαλέσαντες τὸ ἄπιστον, τὸ ἀμνημόνευτον, τὸ ἀχάριστον, καὶ εἴ τι τούτοις ἐστὶ παραπλήσιον· τέλος ἐν εἰρωνείᾳ τὸν λόγον ποιούμενοι, τί φασιν ἡμῖν εἰ παρέσχες τὰ τρία νομίσματα, οὐκ εἴχομεν παρασχεῖν σοι τὴν ἴασιν; τοὺς αὐτοὺς λόγους ἀπαραλλάκτως φθεγξάμενοι, οἷς πρὸς αὐτὸν ὁ καλὸς ἐκεῖνος ἰατρίσκος ἐχρήσατο· πλὴν

fidelitati quam in illos ostenderat exprobrantes, et sanitatum quas in eum diverso modo gesserant recordantes. Non enim hunc tantum a daemonio liberaverant, sed et ab insanabili languore podagrae, milleque aliis passionibus quae proprio egerent commento, si per singulas quisquam has vellet describere. Quae omnia boni victores ad eius memoriam reducentes, et incredulitatem comptissime accusantes, et quod bonorum fuerit immemor et ingratus, et si quid est istis simile; postremo per ironiam sermonem facientes, nonne si nobis, inquiunt, tres illos nummos tribuisses, haberemus tibi tribuere sanitatem? eisdem im-

ἄπελθε λέγουσι, καὶ ὅσα τῷ ἰατρῷ προσεκόμισας τῷ δεδωκότι σοι τὴν ἀντίδοτον, καὶ τῷ ἡμετέρῳ γαζοφυλακίῳ προσένεγκε, καὶ ἡμεῖς σοι μᾶλλον τὴν θεραπείαν ὀρέγομεν· αὐτοὶ μὲν οὖν ταῦτα λέξαντες ᾤχοντο· ὁ δὲ ταχύτερον ἀναστὰς τὰ τρία προσφέρει νομίσματα, καὶ οὕτω τὴν ῥῶσιν κομίζεται, ἣν πρὸς τῶν ἁγίων δεξάμενος, οὐκέτι τῶν νεφρῶν ἀῤῥωστίαν ὑπέμεινεν· ἡμεῖς δὲ τὸν περὶ αὐτὸν λόγον ἐνταῦθα πληρώσαντες, καὶ τῶν ἁγίων τὸ κλέος δοξάσαντες, πρὸς ἰαθείσης γλώττης διήγησιν τὴν ἡμετέραν γλῶτταν ὀτρύνωμεν.

mutabiliter verbis affati, quibus ille bonus mediculus usus est. Verumtamen vade, dicunt, et quotquot medico qui dedit tibi antidotum attulisti, nostro etiam gazophylacio affer, et nos potius tibi porrigimus sanitatem. Itaque ipsi cum haec dixissent, recesserunt. Ille vero velocius surgens, tria illa offert numismata, et sic incolumitatem consequitur. Quam cum a sanctis accepisset, ulterius renum nequaquam infirmitatem sustinuit. Nos autem sermonem hîc de illo consummantes, sanctorumque claritatem glorificantes, ad sanatae linguae linguam nostram incitemus narrationem.

μα. ΠΕΡΙ ΤΟΥ ΠΑΙΔΙΟΥ ΜΗΝΑ ΤΟΥ ΕΞΩ ΤΗΝ ΓΛΩΤΤΑΝ ΚΡΕΜΑΜΕΝΗΝ ΤΟΥ ΣΤΟΜΑΤΟΣ ΕΧΟΝΤΟΣ.

Τὸ παρὸν τοῦτο τεράστιον μέγιστον ὂν ἐν τοῖς θαύμασι, καὶ γλώττης ἐδέετο μείζονος, οὐ πλήθει σαρκὸς ἐχούσης μέγεθος, ἀλλ' εὐποιΐᾳ καὶ λόγων εὐρύτητι, ὧν ἡμεῖς οὐ μετρίως χηρεύομεν, ὡς ἐκ τῶν προλαβόντων δεδήλωται· ἐπειδὴ δὲ καὶ τοῦτο λέγειν ἡμᾶς οἱ μάρτυρες ἔκριναν, λέξωμεν καὶ αὐτὸ, ὡς αὐτοὶ τὸ λέγειν ὀρέξωσιν· γύναιον οὐ πρὸ πολλοῦ καιροῦ τὸν νεὼν τῶν ἁγίων κατείληφε· Μαρία μὲν τοὔνομα, τῆς Αἰγύπτου δὲ Βαβυλῶνος ὁρμώμενον· καὶ μειράκιον ἔχουσα ἐτῶν ὀκτὼ πλεῖον ἢ ἔλατ-

41. DE PUERO MENNA QUI LINGUAM EXTRA OS PENDENTEM HABEBAT.

Praesens hoc prodigium cum sit inter miracula maximum, et lingua quoque opus haberet maiori, non carnis multitudine, sed loquentia latitudineque sermonum; quibus nos non mediocriter destituimur, quemadmodum ex his quae praecesserunt datur intelligi. Quia vero et hoc nos dicere martyres iudicaverunt, dicemus et ipsum, sicut dicere ipsi porrexerint. Mulier ante non multum temporis ad sanctorum venit basilicam, Maria nomine, ex Aegypti Babylone oriunda, et puerum habens quasi annorum plus minus octo, et

τον καὶ τοῦτον Μηνᾶν προσηγόρευε, πρὸς τιμὴν δηλονότι τοῦ μάρτυρος οὕτω τὸ παιδίον καλέσασα.

Μηνᾶς οὖν τὸ μειράκιον τὴν γλῶτταν εἶχεν ἔξω κρεμαμένην τοῦ στόματος, εἴδει καὶ μεγέθει τῶν ἀνθρωπίνων γλωττῶν πολὺ διαφέρουσαν· ἐπὶ στιθαμὴν γὰρ μίαν ἔξω χειλέων αἰώρητο, καὶ πάντα τὸν πώγωνα καὶ τὸν γάργαρον ἔσκεπε, ὑπήνης δίκην βαθείας ὑπάρχουσα· τὸ δὲ χρῶμα τὸ ἐρυθρὸν μεταλλάξασα, μετὰ μελάνσεώς τινος ἐπορφύριζε, ξένον προκειμένη καὶ δυσειδέστατον θέαμα, καὶ πάντας κινοῦσα τοὺς βλέποντας πρὸς ναυτίαν ὁμοῦ καὶ συμπάθειαν καὶ πρὸς ἀφόρητον ἔμετον· ἀεὶ γὰρ λιβάδος δίκην τοῖς σιαλοῖς καταστάζουσα, καὶ

hunc Mennam appellabat, ad honorem scilicet martyris ita puerum vocans.

Mennas ergo puer linguam habebat exterius ab ore pendentem, humanarumque linguarum, specie multum et magnitudine differentem; palmo enim extra labia porrigebatur, et totam barbam et guttur operiebat, et istar alti et pilosi superioris labii facta, colorem rubrum cum quodam atro, alterna vice commutans purpurizabat. Extraneum et nimis deforme spectaculum posita, cunctosque monens qui videbant ad nausiam simul et compassionem, atque intolerabilem vomi-

τὸν πτυελὸν ἀεννάως προχέουσα τὸ θ' ἱμάτιον ἔβρεχε καὶ τὸν θώρακα, καὶ τοῦτο τῆς οἰκείας μετεδίδου μελάνσεως, κοινωνὸν αὐτὸ ποιουμένη τοῦ χρώματος· ὡς πολλοὺς μὲν ἐντεῦθεν μηδὲ ὁρᾷν τὸ παιδίον δύνασθαι· ἀλλ' εἰ καὶ συνέβη γενέσθαι συνάντησιν, σκέπειν αὐτοὺς τὰ τοῦ σώματος ὄμματα, καὶ στρέφειν αὐτῶν εἰς τοὐπίσω τὰ πρόσωπα, ἵνα μὴ παρὰ γνώμην τὸν στόμαχον διαστραφέντες ἐμέσωσιν· πολλοὺς δὲ τοὺς βλέπειν αὐτὸ καὶ πρὸς βραχὺ γοῦν ἰσχύοντας, τὸ τοῦ πάθους ἐνορῶντας ὑπέρογκον τὴν παρὰ τοῦ σωτῆρος ἐπὶ τῷ προδότῃ λεχθεῖσαν ἀφιέναι φωνὴν, καὶ ἐπὶ τοῦτο βοᾷν, ὅτι καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος· τι-

tum; semper enim fontis more salivas distillans, et sputum iugiter fundens, vestimentum rigabat et pectus, et huic ex propria impertiebatur nigredine, communicatorem eum coloris efficiens; ita ut hinc multi nec videre puerulum possent, sed et si accurrere contigisset, sui operirent corporis oculos, et facies suas converterent, ne praeter voluntatem viso illo, praeter voluntatem perverso stomacho vomuissent. Multi autem ex his qui videre hunc saltem ad modicum poterant, cum aspicerent magnitudinem passionis, vocem super hoc emittebant, quae a Salvatore super proditore dicta est, huiuscemodi clamans, quia bonum erat

νὰς δὲ ταύτῃ προστιθέναι καὶ τὴν περὶ τοῦ τυφλοῦ γεννηθέντος ἀποστολικὴν ἐπερώτησιν, τὸ, τίς ἄρα ἥμαρτεν, οὗτος ἢ οἱ γονεῖς αὐτοῦ, ἵν' οὕτως γένηται;

Καὶ εἰ μὴ τὸ παιδίον τυφλὸν ἐτύγχανεν, μηδ' οὕτως μητρῴας νηδῦον ἐξέθωρεν· ἀλλὰ νυκτὸς ὡς ἐκάθευδεν, δαίμων τίς ἀλιτήριος πολὺ νοσῶν τὸ μισάνθρωπον, τῆς τούτου γλώττης δραξάμενος τῆς οἰκείας ἑστίας ἐξέσπασεν· καὶ πλήξας ἀφειδῶς ὁ παμμίαρος, καὶ μείζονα ταύτης ταῖς πληγαῖς ἐργασάμενος, ἔξω κρέμασθαι καὶ μὴ χωρεῖσθαι τοῖς ἔνδον πεποίηκε· οὐ μόνον γὰρ αὐτῷ τὸ δυσειδὲς ἐπεφαίνετο, ἀλλὰ καὶ τὸ τῆς ζωῆς ἤνθει τῆς παρούσης ἐπόδυ-

ei si natus non fuisset homo iste. Quidam autem huic et interrogationem addebant, quae de caeco nato ab apostolis facta est: quis, putas, peccavit, hic an parentes eius, ut sic caecus nasceretur?

Et nisi filius caecus esset, non sic materna prodiisset ex vulva. Sed noctu cum dormiret, daemon quidam noxius multa circa homines languens invidia, cum huius linguam comprehendisset, a propria habitatione abstraxit, et perstringens sine parcitate ille foedissimus, maiorem hanc plagis operatus est, forisque pendere et non separari ab interioribus fecit. Non solum enim super eum deformitas apparebat, sed et dolor vitae praesentis

νον· τροφῆς μὲν γὰρ στερεᾶς παντοίως ἐστέρητο, μὴ δυναμένων ἔτι τῶν ὀδόντων ταύτην λεαίνειν ὥσπερ εἰώθησαν, διὰ τὴν τῆς γλώττης ἐξοχὴν καὶ παραύξησιν, ὑγρᾶς δὲ μόλις καὶ ῥοώδους ἐγεύετο βρώσεως, μηχανῇ τινὶ τῆς μητρὸς τὴν γλῶτταν εἰργούσης, καὶ ταύτην ἐκχεούσης τῷ στόματι· καὶ τοῦτο μὲν ἦν τοῦ παιδὸς τὸ ἀῤῥώστημα, ὃ μηδεὶς ὡς οἶμαι τῶν ἀνθρώπων ὑπέμεινεν, μηδὲ παθόντος ἄλλου τεθέαται, εἰ καὶ τὰ μάλιστα μηδὲν ὑπὸ τὸν ἥλιον εἶναι καινόν τε καὶ πρόσφατον ὁ σοφὸς ἐκκλησιαστὴς ἀπεφήνατο.

Πολλοὶ γοῦν παῖδες αὐτὸ τῶν ἰατρῶν ἐθεάσαντο, καὶ τούτων ἴδον οἱ προὔχοντες, καὶ

florebat: solido quippe cibo prorsus carebat, non valentibus hunc ullo modo dentibus more solito comminuere, propter linguae supereminentiam et improbum incrementum. Humidam vero et sorbibilem tanntummodo gustabat escam, ingenio quodam matre linguam arcente, et escam ipsam in os effundente. Et hic quidem pueri languor erat, quem nullus ut reor hominum sustinuit, sed nec pati alium contemplatus est, quamvis nihil sub sole novum esse vel recens, ecclesiastes sapiens perhibuerit.

Multi igitur hunc discipuli medicorum viderunt, et horum intuiti sunt praeceptores, et pro tanta

πρὸς τὸ πάθος εὐθὺς ἐκπληττόμενοι, μόνον ἅπαντες τὰς ὄψεις στύπτοντες ἔφυγον, μηκέτι δρᾶσαι γιγνώσκοντες, μήτε εὑρεῖν ἐν τοῖς τῶν ἀρχαίων ἀσκληπιάδων συγγράμμασι· Κῦρος δὲ καὶ Ἰωάννης οἱ μάρτυρες οἱ θεόθεν τὰς ἰάσεις προφέροντες, τὴν παροῦσαν ἰδόντες ἀσθένειαν, οὐδὲν τοιοῦτο δεδράκασιν, οὐδὲ πρὸς τὴν θέαν αὐτὴν ἐξεπλάγησαν, οὐδὲ ὡς δυσχερῆ παρῃτήσαντο, οὐδὲ μὴ γεγράφθαι ταύτης τὸ φάρμακον παρὰ Θεῷ τῷ πάντων ἰατρῷ διεκήρυξαν· ἀκριβῶς γὰρ ἠπίσταντο, ὡς πάντα ὅσα ἠθέλησεν ὁ κύριος ἐποίησεν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, ἐν ταῖς θαλάσσαις καὶ ἐν πάσαις ταῖς ἀβύσσοις, καὶ ὡς τὰ παρὰ ἀνθρώποις ἀδύνατα, δυ-

passione stupefacti omnes, tantum percutientes facies, fugiebant; neque quid huiusmodi factum scientes, neque audisse se numquam tale iurantes, sed nec invenisse se in antiquorum conscriptionibus medicorum. Cyrus autem et Iohannes martyres sanitates divinitus proferentes, praesenti visa infirmitate, nihil tale gesserunt, neque ad visionem ipsam obstupuerunt, neque ut quid difficile recusarunt, sed neque huius medelam scriptam non esse apud Deum cunctorum medicum praedicarunt. Certissime namque noverant, quod omnia quaecumque voluit Dominus fecit in caelo et in terra, in mari et in omnibus abyssis; et

νατὰ παρὰ Θεῷ καθεστήκασιν, καὶ ὡς πάντα ἐλεεῖ, ὅτι πάντα καθὰ ὁ Ἰὼβ ἔφησε δύναται· καὶ ὡς ὁ μελῳδὸς Δαβὶδ ἐν ψαλμοῖς ἐμελῴδησεν, οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ πλουσίως ἐκχύνονται· ὅθεν τὸν ἀσθενοῦντα δεξάμενοι, φιλοφροσύνης μὲν πρῶτον ἠξίωσαν, εἶτα καὶ θαρσεῖν τὴν τούτου τροφὸν παρεσκεύασαν, σκοπουμένην αὐτῶν τὰ παράδοξα· χρόνον δὲ βραχὺν ἀναμείναντες οὐ τὴν θεραπείαν σκεπτόμενοι, ἀλλ' ἵνα μὴ τὸ τοιοῦτο πρᾶγμα θαυμάσιον εἰς ὀλίγους κομιδῆ καὶ λίαν ἀριθμουμένους ἀφίκοιτο, ἐμφανέστερον δὲ μᾶλλον τοῖς πλείοσι καὶ γνωριμώτερον γένοιτο· καὶ τοῦτο δῆλον ἀπὸ τοῦ τῆς ἰάσεως τρόπου καθέστη-

quod impossibilia apud homines, possibilia sunt apud Deum; et quod omnium miseratur, quia omnia, ut Iob asserit, potest. Et sicut modulator David in psalmis est modulatus, miserationes eius opime funduntur. Unde infirmum primo quidem liberaliter susceperunt, deinde vero etiam nutrici fiduciam praestiterunt, eorum contemplanti miracula. Cumque brevi tempore praestolati fuissent, non super curatione ambigentes, sed ne tam mirandum negotium ad valde paucos, et qui possent facile numerari pertingeret, immo ut manifestius pluribus et magis cognitum fieret. Et hoc perspicuum a sanationis modo consistit. Non enim

κεν· οὐ γὰρ τόδε ποιεῖν δι' ὁράματος, ἢ τόδε προσέταξαν ὡς ἔθος αὐτοῖς διαπράττεσθαι, ἀλλ' ὅτε ῥωσθῆναι τὸ παιδίον ἐθέσπισαν, οὕτως ἐπράχθη φανερῶς τὰ τῆς ῥώσεως.

Μεσούσης τῆς ἡμέρας μεθ' ἡλίκων τινῶν τὸ μειράκιον πρὸ τοῦ τῶν ἁγίων ἔπαιζε μνήματος· καὶ ὅπερ φιλεῖ συμβαίνειν ἐν τοῖς παίδων ἀθύρμασιν, ποτὲ μὲν αὐτὸς ἑτέρους πρὸς ἔδαφος ἔφερεν, ποτὲ δὲ τοῦτον ἄλλοι κατέβαλλον· πεσόντος γοῦν αὐτοῦ, καὶ τοῖς μαρμάροις προσεγγισάσης τῆς ὄψεως, τούτων ἡ γλῶττα προσήψατο· καὶ μόνον ὡς ἔθηξεν, ὡς ἔκ τινος διωκομένη καὶ φεύγουσα, πρὸς ὅπερ ἦν ἐν ἀρχαῖς συνεστέλλετο, καὶ τὰ ἴδια μέτρα τὰ πρὸ τοῦ πά-

hoc facere per somnium vel hoc, ut moris erat eis agendi, iusserunt; sed quando incolumem reddere puerum decreverunt, sic gesta sunt quae ad sanitatem pertinere liquido claruerunt.

Mediante die, cum quibusdam coaetaneis puer ante sanctorum monumentum ludebat; et quod contigere inter ludos puerorum assolet, aliquando quidem ipse alios in terram sternebat, aliquando vero hunc alii deiciebant. Ergo eo cadente et marmoribus facie illius allisa, haec eius attigit lingua. Et ut solummodo tacta est, quasi a quoquam persecutionem passa, et fuga lapsa, ad id quod in principiis erat subterfugit, et mensuram suam

θους ἐδέχετο, καὶ τὴν εὔχροιον εὐθὺς ἀναλάμβανεν, τὸ δυσειδὲς ἐκεῖνο χρῶμα καὶ σχῆμα καὶ μέγεθος τὸ πολυσαρκίᾳ βριθόμενον ῥίψασα· καὶ ἡ τῶν ὀδόντων ἀκουσίως ἔξω προκύπτουσα, τὴν τοιαύτην ἀθρῶον λαθοῦσα συνήθειαν, οὐδ' ἑκουσίως προκύπτειν ἠνίσχετο, ἀλλ' εἴσω χειλέων ὡς ἐν οἰκείᾳ παστάδι καθίσασα, καὶ κόσμον ἀναλαβοῦσα τὸν πρότερον, καὶ ποιουμένη κατὰ φύσιν ἑαυτῆς τὴν ἐνέργειαν, ἀγνώριστον ἐδείκνυ τοῖς πρὸ βραχέως ὁρῶσι σχεδὸν τὸ μειράκιον· τούτου γὰρ γεγονότος τοῦ θαύματος, βοὴ διαπρύσιος πρὸς τῶν ἀθυρόντων παιδίων ἐγένετο, καὶ τοὺς ἐν τῷ ναῷ πάντας ἐπὶ τὴν θέαν συνήθροιζεν, οἱ πρὸς τὸ πραχθὲν ἐκπλαγέντες τε-

quam ante passionem habuerat, extemplo recepit, et bonum colorem confestim resumpsit, deformi illo exploso, ac forma seu magnitudine quae multis carnibus gravabatur abiecta. Et quae sine voluntate foras extra dentes eminebat, huiusmodi repente oblitterata consuetudine, nec voluntarie prominere patiebatur, sed intra labia sicut in proprio locata thalamo, priorem ornatum resumpsit. Et cum faceret secundum naturam operationem suam, incognitus ostendebatur propemodum puer his qui hunc ante paululum viderant. Hoc autem miraculo facto, clamor ingens ab his qui simul iocabantur pueris exsurgebat, et omnes qui in

ῥάστιον, καὶ τοὺς ἁγίους ἀνύμνησαν, κἀκείνην τὴν φωνὴν τὴν ἐν εὐαγγελίοις κειμένην περὶ τῶν τοῦ σωτῆρος πράξεων μεγαλοφώνως ἀνέπεμπον, εἴδομεν λέγοντες παράδοξα σήμερον· καὶ Χριστὸν αὐτὸν τὸν δι' αὐτῶν πεπραχότα τὸ θαῦμα εὐχαριστοῦντες ἐδόξαζον· καὶ περὶ τῆς ῥώσεως πάντες ἐγένοντο τῶν οἰκείων παθημάτων εὐέλπιδες· ἡμεῖς δὲ παραδόξων ἀκροαταὶ γενόμενοι σήμερον, καὶ τοὺς τούτων ἐργάτας ἀξίως ὑμνήσαντες, παραδόξων ἄλλων γενώμεθα κήρυκες.

μβ. ΠΕΡΙ ΕΥΓΕΝΙΟΥ ΤΟΥ ΓΕΩΜΕΤΡΟΥ ΥΔΡΟΠΙΑΣΑΝΤΟΣ.

Ἐξ ἀρούρας ἡμῖν ὁ γεωμέτρης ἦλθεν Εὐγέ-

templo erant ad visionem conveniebant, qui ad patratum consternati prodigium, et sanctos laudibus extulerunt, et positam in evangeliis de Salvatoris actibus vocem, magna vociferatione miserunt: vidimus, dicentes, mirabilia hodie; Christumque ipsum, qui per eosdem sanctos miraculum gesserat, glorificabant, et bene de sanitate propriarum passionum sperabant. Porro nos mirabilium hodie auditores effecti, horumque operariis dignis hymnis elatis, aliorum mirabilium efficiamur praecones.

42. DE EUGENIO GEOMETRA HYDROPICO.

De rure nobis geometra venit Eugenius, qui

νιος, πᾶσαν μὲν μετρησάμενος ἄρουραν, ἑαυτοῦ δὲ τὴν γαστέρα μετρεῖν οὐ δυνάμενος, ἔκ τινος ὑγρᾶς οὐσίας εἰς αὐτὴν ἀθροιζομένης αὐξήσασαν, καὶ μιμουμένην οὐκ ἀρουραῖον εὐμέτρητον μέγεθος, ἀλλ' ὄρεσιν ἐοικὸς δυσέφικτον ὕψωμα, ταῖς ὑπερόγκοις καὶ μεγίσταις οἰδήσεσι· μεμετρημέναις δὲ χρῆται δεήσεσιν, συμμετρεῖσθαι τοῖς θαύμασι τῶν ἁγίων βουλόμενος· μεγάλην γὰρ εἶναι τὴν ἀξίαν ἡγούμενος, διὰ τοῦτο ταύτης ἀξιοῦσθαι προείρηται· ἐν ταυτῷ δὲ καὶ ὅπως ἔχει παιδεύσεως ἐνδεικνύμενος, ἕκτον ἑαυτὸν ἐν ταῖς αἰγυπτίων καὶ λιβύων ἤγαγε διηγήσεσιν, τοῦ λεχθέντος ἀριθμοῦ θαυμάζων τὸ τέλειον· καὶ διὰ τοῦτο τοῦτον σπουδήσας κλη-

omne quidem mensus est arvum, ventrem autem suum metiri non potuit, qui ex quadam humida in se collecta substantia creverat, non imitatus ruralem et numerabilem magnitudinem, sed incomprehensibilem, et mole maximoque tumore factam montibus similem celsitudinem. Demensis autem precibus utitur, inter sanctorum volens numerari miracula; magnam quippe hoc esse dignitatem existimans, idcirco ut hac fieret dignus proposuit. In hoç ipso autem et qualiter se haberet correptio demonstrans, sextum se se inter Aegyptiorum adduxit et Libyorum narrationes, praedicti numeri perfectionem admirans, et hunc

ρώσασθαι· ὅθεν ἡμεῖς τοῦ τε πόθου καὶ τῆς παιδείας αὐτὸν ἀγασάμενοι, τὴν αἴτησιν δράσωμεν.

Γεωμέτρης ἦν ὡς ἔφην Εὐγένιος, τὸ γένος αἰγύπτιος· οὕτως ὑδροποσίᾳ πολλῇ διὰ τὴν τῶν θερμῶν αέρων ἐπάχθειαν χρώμενος, εἰς νόσον βαρυτάτην εἰσπέπτωκεν, ἥτις πολὺ τῆς οἰκείας ἐνδοῦσα σφοδρότητος, εἰς ὕδερον μέγιστον τὸ σμικρὸν ἐκεῖνο μετέβαλεν ἔλειμμα· καὶ τοῦτο γὰρ ἔχων Εὐγένιος, τῆς τῶν ὑδάτων οὐκ ἔληγε πόσεως· ἕως οὗ κατ' ὀλίγον ὀγκούμενος, ἀκίνητος ἔμεινεν, καὶ μᾶλλον κατέκειτο, τὰ μεγάλα κήτη καὶ τοὺς μεγάλους μιμούμενος δράκοντας, οἳ σωμάτων ὄγκῳ καὶ μεγέθει βαρούμενοι, εἰς τὰ πρόσω χωρεῖν οὐκ ἰσχύουσιν· ἀλλ'

propterea suscipere sorte festinans; unde nos tam desiderii quam disciplinae hunc admirantes, preces agamus.

Geometra, ut diximus, erat Eugenius, aegyptius genere. Hic aquarum potatione multarum ob calidorum aërum molestiam usus, languorem gravissimum incidit, qui valde suam expandens virtutem, in hydropem maximam minimum illud residuum transtulit. Nam et hoc habens Eugenius, nec sic ab aquarum potatione cessabat; quousque ventre tumescente paulatim iaceret inmobilis, cete grandia et magnos imitatus dracones, qui corporum mole magnitudineque gravati, in-

οὐδὲ τότε τῆς τῶν ὑδάτων ἐπαύετο πόσεως· ὅθεν πάσης αὐξήσεως ἀρχὴν ἐχούσης τὴν κίνησιν, ὡς οἱ ταῦτα δεινοὶ δογματίζουσιν, αὐτὸς ηὖξε, καὶ μηδ' ὅλως κινούμενος τὴν φύσιν αὐτὴν, καὶ τὸ τούτων παραλογιζόμενος θέσπισμα· λέγειν δὲ πάλιν καὶ ἐπὶ τούτου τοῦ νοσήματος τῶν ἰατρῶν τὴν ἀσθένειαν ὡς πᾶσιν οὖσαν εὐσύνοπτον παραιτήσομαι· δήλη γὰρ αὕτη καθέστηκεν, κἂν ἡμεῖς σιωπήσωμεν· οὐκοῦν ταύτην σιγῇ παρελάσαντες, τὴν Ἰωάννου καὶ Κύρου τῶν ἀληθινῶν ἰατρῶν λέξωμεν δύναμιν· ὅσον γὰρ ἡ τῶν προλαβόντων ἀσθένεια σιγῆς ἀξία γεγένηται, τοσαύτη τούτων ἡ δύναμις μεγαλοφώνως κηρύττεται· ἐπεὶ κἀκείνους Εὐγένιος μετὰ πεῖραν πολ-

cedere in anteriora non valent. Verum non tunc ab aquarum potu quiescebat: unde cum omne incrementum motum habeat principium, sicut horum periti dogmatizant, ipse crescebat nullatenus motus, natura etiam ipsa horum fallente sententiam. Porro dicere iterum et in hoc languore medicorum infirmitatem, cum omnibus sit perspicua, recusabo; haec enim certa est, licet nos taceamus. Ergo hanc silentio praetereuntes, Iohannis et Cyri verorum medicorum virtutem fatebimur: quantum enim praecedentium infirmitas facta est silentio digna, tantum horum virtus magnisone praedicatur. Nam et illis Eugenius post

λὴν ὡς ἀσθενεῖς παρωσάμενος, τούτους ὡς δυνατοὺς ἐκ μόνης ἀκοῆς ἐπελέξατο.

Ἐλθὼν οὖν ἐπὶ τὸ τῶν ἁγίων ἰατρεῖον, τὸ πάσης ἀκηδίας καὶ παντοίων παθῶν ἀλεξίκακον, καὶ πείρᾳ μεμάθηκεν ὃ δι᾽ ἀκοῆς πρὸ τοῦ πάθους ἐγίγνωσκε· καὶ καθάπερ ἠκούσαμεν, οὕτως καὶ ἴδομεν, σὺν τῷ μελῳδῷ διαπρυσίως ἐκήρυττεν· κατ᾽ αὐτὴν γὰρ εὐθέως τὴν νύκτα, τὴν μεθ᾽ ἡμέραν ἐν ᾗ παρεγένετο, πρὸ τοῦ τάφου τῶν ἁγίων κοιμώμενος, τούτους βλέπει προϊόντας τοὺς μάρτυρας, καὶ πρὸς αὐτὸν ἤκουε λέγοντας· ἀναστὰς ἐντεῦθεν Εὐγένιε πρὸς τὴν σὴν ἑστίαν ἀπόδραμε· ἰδοὺ γάρ σε δι᾽ ἡμῶν ὁ Χριστὸς ἐθεράπευσεν, καὶ τὴν νόσον ἧς ἕνεκα πρὸς

multam experientiam tamquam infirmis depulsis, hos ex solo auditu veluti potentes elegit.

Itaque cum venisset ad sanctorum remedium capessendum, quod omne taedium et diversas passiones abigebat, experimento didicit, quod auditu ante passionem cognoverat. Et sicut audivimus, ita et vidimus, cum modulatore altisone praedicabat. Eadem quippe continuo nocte, post diem qua venerat, cum ante sepulchrum sanctorum dormiret, hos videt procedere martyras, et dicere sibi audivit: surge hinc, Eugeni, ad tuamque domum regredere: ecce enim te per nos Christus curavit, et languorem, propter quem ad nos

ἡμᾶς ἦλθες ἰάσατο· ἐγερθεὶς οὖν πορεύου πρὸς ἀφεδρῶνας ὡς τάχιστα, καὶ πᾶσαν τὴν ἐν σοὶ συναχθεῖσαν ὕλην ἀπόβαλε· καὶ ταῦτα λέγοντες, τῆς τοῦ νοσοῦντος κοιλίας προσέψαυον, ὡς δῆθεν αὐτὸν καταψήχοντες, τῷ δ' ἀληθεῖ τὴν ἐκβολὴν δημιουργοῦντες τοῖς ὕδασιν.

Τοῦτο δρώντων αὐτῶν ὡς μεθ' ὕπνον, ταυτὸν δὲ καὶ μετὰ νόσον εἰπεῖν, Εὐγένιος ἔλεγεν, μέχρι γὰρ ὕπνου τὰ τῆς νόσου κεκράτηκε, γύναια τρία τῶν μαρτύρων ὄπισθεν ἔκραζεν· τίνος ἕνεκεν, ἅγιοι, ἡμεῖς μὲν χρόνον ἔχομεν ἐνθάδε καθήμεναι, καὶ ταῖς πληγαῖς ὀδυνώμεναι; τῶν γὰρ ἐκεῖσε κειμένων ἐτύγχανον, ὡς ταύτας ἐπέγνω μετ' ὄναρ ὁ ἄῤῥωστος, καὶ νοσημάτων οὔπω πε-

venisti, sanavit. Surgens ergo ad secessum quantocius propera; et faecem omnem quae in te collecta est, abice. Et cum haec dicerent, ventrem tetigerunt languentis, hunc quasi fricantes, sed in veritate morbum aegritudinis insequentes, et aquarum abiectionem salubriter operantes.

Cum autem hoc gererent, ut post somnium (id ipsum est si dicamus post languorem, usque ad somnum quippe se languor optinuit), ut Eugenius asserebat, mulieres tres clamabant post martyras: quamobrem, sancti, nos annum hic habemus sedentes, plagasque dolentes (ex illis enim erant quae illic iacebant, ut has post somnium recogno-

ταύμεθα, οὗτος δὲ χθὲς ἀφικόμενος, καὶ πάθει τηλικούτῳ κρατούμενος, σήμερον ἠξίωται ῥώσεως, καὶ χωρεῖν οἴκοι κελεύεται; πρὸς ἃς στραφέντες οἱ μάρτυρες, φησὶν, μετὰ πάσης ἀπελογοῦντο πρᾳότητος· οὐχ ἡμεῖς, ὦ γύναια, τῆς ὑγείας τυγχάνομεν κύριοι, ἀλλὰ Χριστὸς ὁ προβολεύς τε καὶ πρύτανις· ἀφικνοῦνταί τινες μακροτέρας παιδείας δεόμενοι, καὶ πάλιν ἕτεροι θεραπευθῆναι θᾶττον ὀφείλοντες· ἡμεῖς γὰρ ὑπὲρ πάντων ὁμοίως τὰς ἱκετείας προσφέρομεν· καὶ ὃν ἂν πρὸς τοῦ δεσπότου θεοῦ καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ κελευσθείημεν, τοῦτον θεραπεύσαντες εὐθὺς ἀπολύομεν· τοῦτον οὖν καὶ ὑμεῖς σὺν ἡμῖν ἱκετεύσαντες, ἵνα τὴν χάριν παράσχοι τῶν

vit infirmus) et prae languoribus requiem non habemus, et iste qui heri venit, et passione tanta tenebatur, hodie sanitate dignus efficitur, et domum abire praecipitur? Ad quas martyres quasi conversi cum omni mansuetudine respondebant: non nos, o mulieres, sanitatis domini sumus, sed Christus qui est provisor et custos. Veniunt igitur hic quidam prolixioris castigationis egentes, et rursus alii curari cito debentes; nos enim similiter pro omnibus supplicationes offerimus, et quemcumque a dominatore Deo ac Salvatore nostro Iesu Christo iussi fuerimus curare, hunc sanatum confestim dimittimus. Hunc ergo et vos una no-

ὑμετέρων αἰτήσεων· καὶ εἰ σπλαγχνισθείη, καὶ μόνον κελεῦσαι καταξιώσειεν, ταχέως ἡμεῖς πληρωταὶ τῶν θείων αὐτοῦ θεσπισμάτων γιγνώμεθα· οὗ χωρὶς ἐπινεύσεως, οὔτε κρατεῖν οὔτε ἀπολύειν τοὺς πρὸς ἡμᾶς ἐρχομένους δυνάμεθα· καὶ ταῦτα μὲν οἱ θεσπέσιοι μάρτυρες πρὸς τὰς γυναῖκας ἐφθέγξαντο.

Ὕπνου δὲ καὶ στρωμάτων ἀναστὰς ὁ Εὐγένιος, πρὸς ἀφαιδρῶνας ἐσπούδαζε, σπεύδειν αὐτὸν τῆς γαστρὸς πρὸς τὸ μαρτυρικὸν ἀναγκαζούσης ἐπίταγμα· καὶ ἐν τούτοις γενόμενος, ἅπασαν εὐθὺς τὴν ὕλην τὴν ἐν μιᾷ χρόνου στιγμῇ προσεκένωσε· καὶ ταύτην κενωθεὶς, ὡς εἰρήκαμεν, ὁ πάντων εἰσελθὼν ὅσον πρὸς εἶδος παχύ-

biscum exorate, ut gratiam vestrarum tribuat sanitatum; et si misericordia motus tantum fuerit iubere dignatus, celeres nos completores divinorum eius decretorum efficiemur, sine cuius nutu neque tenere neque dimittere ad nos venientes valemus. Et haec quidem egregii martyres ad mulieres illas affati sunt.

Cum autem a somno et stramentis surrexisset Eugenius, ad latrinas accelerabat, hunc accelerare ventre ad martyricum cogente praeceptum. Et cum ad has pervenisset, omnem continuo limum, qui in eo diutius fuerat, uno puncto temporis exinanivit. Et hoc, ut diximus, exinanito, qui omni-

τερος, πολὺ πολλῶν ἐξῆλθε τῶν ἀφαιδρώνων ἰσχνότερος· μᾶλλον δὲ κἀνταῦθα σύμμετρος ὁ γεωμέτρης ἐξέθορε· μόνον γὰρ τῆς γασΊρὸς τὸν ὄγκον ἔσχεν ἀμέτρηΊον, καὶ τὸν καιρὸν τῆς ἰάσεως, τὸν μὲν διὰ πολλὴν πάνυ βραχύτηΊα, τὸν δὲ διὰ τὸ πολὺ καὶ ἀνήκαστον μέγεθος· οὕτω μὲν οὖν καὶ Εὐγένιος τὸν μόρον φυγὼν τοῦ νοσήματος, καὶ σύντομον τὴν ὑγείαν δρεψάμενος, τὴν χάριν εὐρύθμως μελῳδήσας τοῖς μάρτυσι καὶ Χριστῷ τῷ δι' αὐτῶν δεδωκότι τὸ δρέψασθαι, τοῦ νεῶ σκιρΊῶν ἀνεχώρησεν· ἡμεῖς δὲ πάλιν ὡς πεπονθότες τὴν ἴασιν, τῇ διηγήσει τερπόμενοι, ΧρισΊὸν καὶ τοὺς ἁγίους ὑμνήσανΊες, ἐπ' ἄλλο τερπνὸν ὁρμήσωμεν ἄκουσμα.

bus intravit quantum ad speciem grassior, multis exivit, evacuante se secessu, gracilior. Immo et sic geometra iste pristinae mensurae redditus exilivit; solum namque ventris habuit tumorem, et tempus sanitatis inmensum; hoc quidem ob multam oppido brevitatem, illum vero propter vastam et inaestimabilem magnitudinem. Itaque taliter et Eugenius necem fugiens aegritudinis, et concite sanitate percepta, gratias moderate martyribus, et Christo qui per eos perceptionem contulit modulatus, exultans a templo secessit. Porro nos iterum quasi sanitatem ipsi adepti fuissemus in relatione iocundati, Christum sanctosque hym-

μγ. ΠΕΡΙ ΤΑΥΡΙΝΟΥ ΛΟΥΡΩΠΟΔΟΣ.

Πάρεστι καὶ Ταυρῖνος ἐκ τοῦ πέλας ἐρχόμενος· μόλις δέ ποτε πρὸς ἡμᾶς ἀφικόμενος ὡς τὴν πορείαν μακρόθεν ποιούμενος, διὰ τὴν τῶν ποδῶν βραδυτέραν ἐνέργειαν· καὶ οὐ μόνης ταύτης χάριν ὡς ἔοικεν, ἀλλὰ καὶ τοῦ χαλκευτικοῦ κρούσματος ἕνεκα, δι' ὃ κελαδούντων ἡμῶν τῶν ἁγίων τὰ θαύματα, πύθεσθαι θᾶττον οὐκ ἴσχυσεν· ἐλθὼν οὖν ὅμως τὰς αἰτίας τοῦ βράδους ἀπήγγειλε, καὶ μὴ παρελθεῖν αὐτὸν ἄγραφον ᾔτησεν· ὃν ὡς ἀναξίαν τῆς μέμψεως τὴν ἀπολογίαν ποιήσαντα, ἵνα τῶν αὐχούντων μαρτυρικαῖς ἐπισκέψεσι καὶ αὐτὸν ποιησώμεθα.

nis canentes, ad aliam delectabilem proficiscamur auditionem.

43. DE TAURINO LORDO.

Adest et Taurinus e proximo veniens, et vix anno tandem perveniens, dum iter eminus agit, ob breviorem pedum et tardiorem effectum; et non tantum huius rei gratia, ut apparet, sed et percussurae causa fabrilis, propter quam canentes nos sanctorum miracula, citius audire non valuit. Verumtamen veniens rationem tarditatis reddidit, et ne praeteriremus eum non scriptum poposcit, quem dignam pro culpa rationem facien-

Ἡρακλείου τοῦ κτήματος τοῦ τῷ σηκῷ τῶν ἁγίων εὐαγγελίζοντος, καὶ σαββάτου ὁδὸν τούτου μόνον ἀπέχοντος, τουτέστιν τεττάρων καὶ δέκα σταδίων διάστημα, κωμήτης ὁ Ταυρῖνος ἐτύγχανεν, καὶ τὴν ἡλουργικὴν τέχνην μετήρχετο; τῶν ποδῶν τὴν ἀσθένειαν οὐ τυχοῦσαν ἐκέκτητο, ἀλλὰ μεγάλην καὶ λόγον ἀκοῆς ὑπεραίρουσαν· οὗτοι γὰρ τὸ τῶν ποδῶν εἶδος εἰ ἔστιν εἰπεῖν ἀρνησάμενοι, λώρων ἐμιμοῦντο νεκρῶν ἰδιότητα· δι' ὃ καὶ τὸν ἔχοντα κτήτορα, τῇ τούτων ἐπωνυμίᾳ πεποιήκασιν ὀνομάζεσθαι, τὸ ἡλουργὸν γὰρ ἐπονομάζειν ἀπὸ τῆς τέχνης ἐάσαντες, ἀπὸ τῶν ποδῶν ἐκάλουν λουρώποδα·

tem, unum ex his illum qui in martyricis gloriantur visitationibus faciemus.

Heraclii possessionis, quae templo sanctorum proxima erat, et sabbati ab hoc itinere tantum distabat, idest quatuor stadiorum et decem intercapedine, villanus Taurinus erat, et clavariam sectabatur artem; pedum autem non levem possidebat infirmitatem sed magnam, et quae auditionis excedebat sermonem. Hi enim specie pedum, si dicendum est, abnegata, lororum imitabantur speciem mortuorum; propter quod et eum quem habebant possessorem, tali cognomine nominari fecerunt; clavarium enim ab arte cognominare omittentes, a pedibus vocabant loripeda;

καὶ τάχα καλῶς τοιούτῳ αὐτὸν ἐκάλουν ὀνόματι, ἐπείπερ οἱ πόδες οὐ μόνον τὸ τῶν λώρων ἔσχον ἰδίωμα, ἀλλ᾽ ὅτι καὶ κατὰ ταῦτα ἦσαν λοιπὸν ἀνενέργητοι· καὶ ὅτι φησὶν τῆς ἡλουργικῆς τέχνης διὰ τοὺς πόδας παυσάμενος, ἀπὸ τοῦ τῶν ποδῶν ἐκαλεῖτο νοσήματος· ταύτην ὁ Ταυρῖνος τὴν κακίστην ἔχων ἀσθένειαν, μετὰ τὴν τῶν ἰατρῶν τελευταίαν ἀπόφασιν, ὡς οὐκ ἄν ποτε πόδας ὁ τοιοῦτος κινήσειεν, αὕτη γὰρ ἦν αὐτῶν ἐκ τῆς τέχνης ἀπόφασις, πρὸς τὸν Κῦρον αἰρόμενος ἔρχεται καὶ Ἰωάννην τὸν Κύρου τοῦ θείου συμμάρτυρα, τοὺς θείας ἰατρικῆς ἐπιστήμονας, καὶ οὐ τῆς Ἱπποκράτην καὶ Γαληνὸν καὶ Δημόκριτον, τοὺς ἀπὸ γῆς φθεγγομένους ποιουμένης

et forte iam bene tali eum nomine vocitabant, quoniam pedes non solum lororum habebant idioma, sed quia et secundum haec erant deinceps inefficaces, et quia quasi a clavaria propter pedes arte quiescens, a pedum vocabatur languore. Hanc Taurinus pessimam infirmitatem habens, post extremam medicorum repulsionem, quod numquam aliquando pedes esset moturus huiusmodi perhibentium; haec enim erat ipsorum ex arte sententia; ad Cyrum sublevatus venit, et Iohannem Cyri commartyrem, divinae medicinae praeceptores, et non eius quae Hippocratem, Galenum, et Democritum, qui de terra loquuntur, facit docto-

γεννήτορας· ὃν οἱ θαυμάσιοι μάρτυρες ἐλθόντα δεξάμενοι, ῥώσεως τῆς παρ' ἐκείνων ἀπογνωσθείσης ἠξίωσαν· φανέντες γὰρ αὐτῷ καθ' ὕπνους καὶ στρωμνὰς ὡς εἰώθασιν παστὸν ὄρτυγα λαβεῖν ἐπιτάττουσι, καὶ τοῦτον τρίψαι καὶ χρῖσαι τοὺς πόδας θεσπίσαντες, πάλιν ὡς ὄναρ ἀπέπτησαν· ὁ δὲ μετὰ τὸν ὕπνον ποιήσας τὸ θέσπισμα, παραδόξως ἐρώννυτο, καὶ πᾶν ἀποβαλὼν τῶν ποδῶν τὸ ἀῤῥώστημα, καὶ τὸ κατεσκληκὸς ἐκεῖνο καὶ τῶν λώρων δυσειδέστατον ἴνδαλμα, ἄρτιος καὶ καλλίπους ἐγίνετο, καὶ τάχα ὄρτυγας κρατεῖν τῇ τῶν ποδῶν ταχύτητι ἱκανώτατος· καὶ Ταυρῖνος μὲν οὕτω ῥώσεως ἐν εὐπορίᾳ γενόμενος, εὐχαριστήσας Θεῷ καὶ τοῖς

res; quo admirandi martyres veniente suscepto, hunc sanitate dignum, quam illi desperaverant, reddiderunt. Apparentes enim ei secundum morem in stramentis et lectis, salitam coturnicem et exsiccatam praecipiunt sumere, et hanc terere et pedes ungere sancientes, iterum veluti somnium avolaverunt. At ille post somnium quod imperaverant faciens, mirabiliter sanabatur, et omni pedum infirmitate et duritia illa, lororumque deformi prorsus imaginatione deposita, integer et pedibus bonis factus est, et forte optinere coturnices pedum crassitudine valens. Et Taurinus quidem sospitatis copia fretus, gratiarum actio-

μάρτυσιν ἀπελήλυθεν· ἡμεῖς δὲ ὑμνήσαντες, καὶ λόγων εὐπορίαν πρὸς τὴν τῶν λοιπῶν θαυμάτων ἀπαγγελίαν αἰτήσαντες, σὺν προθυμίᾳ ταύτης ἐχώμεθα.

μδ. ΠΕΡΙ ΑΝΝΗΣ ΤΗΣ ΜΟΝΑΣΤΡΙΑΣ ΤΡΙΑ ΚΑΤΑΠΙΟΥΣΗΣ ΣΑΜΑΜΙΘΙΑ.

Πρὸ τοῦδε πρὸς χώραν ἄλλην καὶ πόλιν εἰσέλθωμεν ἢ κώμην ἑτέραν μετέλθωμεν, λέγειν ἔστιν ἀκόλουθον καὶ θαῦμα ἕτερον, καὶ τάχα τοῦ προαγέντος ὑπέρτερον· ὃ παρ' αὐτῶν πάλιν τῶν ἁγίων προελθεῖν ἐπὶ μοναστρίᾳ τινὶ τὴν αὐτὴν οἰκούσῃ κώμην ἐμάθομεν· καὶ λέξωμεν Θεοῦ τὸ λέγειν παρέχοντος, καὶ τοὺς τῆς αὐ-

nibus Deo martyribusque oblatis, recessit: nos autem hymnos cantantes, et sermonum opulentiam ad reliquorum recitationem miraculorum efflagitantes, hanc cum alacritate continuabimus.

44. DE ANNA ANCILLA DEI QUAE TRIA DEGLUTTIVERAT SAMAMITHIA.

Antequam ad regionem aliam, vel civitatem aut castellum transitum faciamus, consequens est ut et aliud dicamus miraculum, et forte praecedenti sublimius, quod ab ipsis iterum sanctis gestum fuisse in quadam ancilla Dei eiusdem habitatrice villae, didicimus. Et dicemus, Deo largiente di-

τῆς κώμης οἰκήτορας ἀλλήλων παντελῶς οὐ χωρίσωμεν· εἰ καὶ Πέτρον τούτους διαστῆσαι, ὃν πρὸ μικροῦ παρεθέμεθα τῆς ῥηθείσης κώμης ὑπάρχοντα, ἑτέρα τίς ἡμᾶς κατηνάγκασε πρόφασις.

Τὸ Ἡράκλειον τοῦτο κτημάτιον ᾤκει μονάστρια, Ἄννα μὲν τοὔνομα, μετ' ἄλλων δὲ παρθένων ἐποιεῖτο τὴν οἴκησιν· ἐτῶν γὰρ ἦν ὡσεὶ δώδεκα, ἢ καὶ τοῦτον ἔσχε τὸν χρόνον ἐλάττονα· ἥτις ἡλικία μένειν ἐφ' ἑαυτῇ δι' ἀπειρίαν οὐ δύναται, καὶ νοῦ καὶ φρενῶν ὀλιγότητι· πῶς γὰρ ὁ τοιοῦτος οὐ πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας καὶ τοὺς κοσμοκράτορας τοῦ αἰῶνος τούτου, καὶ τὰ πνευματικὰ τῆς πονηρίας παλαίσειεν, τὴν πάλην τὴν

cendi effectum, et habitatores eiusdem villae non separabimus prorsus ab invicem; licet Petrum quem ante paulo commendavimus, a iam dicta villa secernere, alia nos coëgit quaedam occasio.

Heracliense hoc praedium ancilla Dei Anna nomine habitabat, et habitationem cum aliis virginibus faciebat; annorum enim erat quasi duodecim, vel certe brevius illis habuit tempus; quae aetas manere super se tam propter imperitiam quam ob intellectus et sensuum paucitatem, non potest. Quomodo enim huiusmodi non adversus sanguinem et carnem, sed adversus principatus et potestates, et rectores saeculi huius, et spiritua-

πρὸς αὐτοὺς ἀναδεξάμενος, εἰ τοῦ παιδοτριβοῦντος χηρεύσειεν; ἢ πῶς δαίμονος γνοίη ποικίλα νοσήματα, εἰ μὴ σχοίη τὸν εἰδότα διδάσκαλον; ἢ πῶς ἀπάτην ὄφεως καὶ πανουργίαν φιλάξαιτο, ἣν οὐδ' Εὔα χωρισθεῖσα μικρὸν τοῦ Ἀδὰμ ἐφυλάξατο; διὰ ταῦτα γὰρ τὴν παιδικὴν ἡλικίαν καθ' αὑτὴν οἰκεῖν οὐκ ἀκίνδυνον, καὶ μάλιστα τὴν πρὸς δαίμονας τὸν πόλεμον ἔχουσαν, καὶ μὴ δυναμένην ὅλως τηρῆσαι γινώσκουσαν κεφαλὴν ὄφεως ἠρέμα πῶς εἰσελαύνουσαν, ἢ πτέρναν τὴν οἰκείαν αὐτῷ τηρουμένην σκεπάσασθαι.

Ὅθεν ἡ παροῦσα μονάστρια νηπιώδους ἡλι-

lia nequitiae luctabitur, colluctatione adversus illos assumpta, si puerorum institutore destituatur? aut quomodo diaboli varia sciet molimina, nisi habeat gnarum magistrum? aut quomodo deceptionem serpentis et astutiam observabit, quam nec Eva separata pauxillum ab Adam observavit? Propter haec enim puerilis aetas apud se habitare sine periculo non potest, et maxime illa quae bellum adversus daemonas habet, et non valet, aut certe penitus nesciens observare caput serpentis sensim quodammodo insequens; vel proprium operire calcaneum, ne illi monstretur modis omnibus observandum.

Unde praesens ancilla Dei cum puerilis esset

κίας τυγχάνουσα, καὶ πρὸς ὥραν τῶν ἄγειν δυναμένων οἷα συμβαίνει χηρεύσασα, καινῷ δεινῷ περιπέπτωκεν, ᾧ διάβολος αὐτῇ προευτρέπισε, καὶ μόνην εὑρὼν, τούτῳ τῷ τρόπῳ πρὸς θάνατον ἤλασε· μονωθεῖσα γὰρ αὕτη τῶν ἄλλων οἷα μειράκιον τὰ μειρακίων διήνυε παίγνια, καλάμοις τισὶ τὴν περὶ τὸ παίζειν πληροῦσα διάθεσιν· καὶ ποτὲ μὲν τὸν κάλαμον αἴρουσα προσήπτε τῷ στόματι, ποτὲ δὲ πάλιν ἀποκινοῦσα τοῦ στόματος καὶ πρὸς ἔδαφος ῥίπτουσα, πάλιν ἐλάμβανεν ἕτερον, καὶ πάλιν ἐν αὐτῷ τὰ αὐτὰ διεπράττετο· ἀλλ' ἐν ὅσῳ τοὺς δόνακας ἤμειβε, τὸν μὲν ἀπὸ τοῦ στόματος ῥίπτουσα, τὸν δὲ λαμβάνουσα, καὶ τοῦτον τοῖς ὀδοῦσι προσ-

aetatis, ad horam custodia valentium eam circumducere, sicuti solet saepe contingere destituta, novitatem diram incurrit, quam ei diabolus praeparavit, et solam inventam hoc modo ad mortem impulit. Cum enim solam se ab aliis haec, utpote puella, videret, puellarum exsequebatur ludibria, calamis quibusdam iocandi replens affectum. Et aliquando calamum tollens ori applicabat, aliquando vero hoc ab ore remoto, et in terram proiecto, sumebat iterum alium, et rursus in ipso eadem peragebat. Verum dum arundines alternantibus vicibus manderet, aliam ab ore proiciens, aliam vero accipiens, et hanc dentibus

φέρουσα, τινὶ καλάμῳ συνέτυχε ἰσχύῳ θανάτου τυγχάνοντι, καὶ θησαυρὸν ἔχοντι χαλεπὸν καὶ ἐπόλεθρον.

Τρία γὰρ ἑρπετὰ τὰ καλούμενα σαμαμίθια τοῦτον ᾤκουν τὸν κάλαμον, φωλαιὸν αὐτὸν καὶ κοίτην ποιούμενα, ὃν ἀκάκως ἁρπάσασα τῷ οἰκείῳ προσήνεγκε στόματι· τὰ δὲ τοῦ κινήματος ἐπαισθόμενα, καὶ πρὸς φυγὴν θορυβούμενα, διὰ τῆς ἀρχῆς ἐκπηδήσαντα τῆς ἐγγισούσης τῷ στόματι, εἰς τὴν γαστέρα τῆς παιδὸς φέρονται, ἀκούσιον ὄλισθον ὑπομείναντα· εἰς τὴν κοιλίαν δὲ κατενεχθέντα τῆς μείρακος, καὶ τὸ ξένον τῆς ἑστίας μὴ φέροντα, φεύγειν κἀκεῖθεν ὑπήγοντο· ἀλλὰ τὴν ἔξοδον οὐκ ἐγίγνωσκον· οὕτω δὲ

afferens, ad quamdam devenit arundinem, quae mortem in utero baiulabat, secumque ac perniciosum introrsus thesaurum habebat.

Tria enim reptilia, quae vocantur samamithia, hunc calamum habitabant, quem sibi latibulum fecerant et cubile, quem simpliciter arreptum proprio attulit ori. Illa vero cum motum sensissent, ad fugam turbata, et per initium eius calami quod ori proximum erat insilientia, in uterum puellae allata sunt, non voluntarium sustinentia lapsum. In ventrem autem puellae inducta, et insolitam habitationem nequaquam ferentia, fugere inde satagebant. Taliter autem discurrentia, et miserae

διατρέχοντα, καὶ τῆς τέως ἀθλίας τὰ σπλάγχνα ταράττοντα, καὶ συστροφὰς τῶν ἐγκάτων ποιούμενα, δυσοίστους αὐτῇ τὰς ἀλγηδόνας εἰργάζοντο· ἃς οὐκ ἄν τις γραφῇ παραστήσειεν, οὐδ' εἰ πεῖραν σχοίη πολλὴν τοῦ νοσήματος· ὅθεν ἡ παῖς ἀπαύστως ἐκόπτετο καὶ ὠλόλυζεν καὶ δάκρυα τῶν ὀμμάτων ἐξέχεεν, καὶ παντελῶς ἠρεμεῖν οὐκ ἠδύνατο· ὅτε γὰρ τὸ ἓν τῶν καταποθέντων ἑρπετῶν ὀλίγον ἡσύχαζεν, εἴπερ ποτε καὶ ἡσύχαζεν, τὰ λοιπὰ δύο τὴν κόρην ἐδάμαζον· ἢ καὶ τὰ δύο πολλάκις, ἵνα καὶ τοῦτο δῶμεν, ἐκάθευδον, τὸ ἕτερον οὐκ ἐπαύετο· ἀλλ' ἀκοίμητον αὐτῇ τὴν ὀδύνην ἐβράβευον, ποτὲ

illius interim praecordia conturbantia, contortionesque viscerum facientia, intolerabiles illi dolores operabantur, quos profecto nemo scripturae commendaverit, etiamsi multum habeat experimentum languoris. Unde puella incessanter plangebat et eiulabat, oculorumque lacrimas effundebat, et quiescere penitus non valebat. Quando autem unum ex reptilibus, quae absorta fuerant, paululum quiescebat, si tamen aliquando quiescebat, reliqua duo puellam domabant. Quod si etiam duo ex his nonnumquam, ut et hoc demus, forte dormiebant, tertium nullo modo quiescebat, sed ei non dormientem conferebat dolorem. Itaque modo quidem unum, modo vero duo,

μὲν τὸ ἓν, ποτὲ δὲ τὰ δύο, πολλάκις δὲ καὶ τὰ τρία σπαράσσοντα.

Ἐν ἀπαύστοις οὖν καὶ δριμείαις ἀλγηδόσιν ὑπάρχουσα πρὸς τοὺς ἁγίους ἐφέρετο, ἰατρὸν οὐχ εὕρισκεν ἕτερον πρὸς συμφορὰν τοσαύτην ἀρκῆσαι δυνάμενον· ἐλθοῦσα τοίνυν ὡς εἴρηται, καὶ συμπαθεῖς εὑροῦσα τοὺς μάρτυρας, θᾶττον τῆς τριπλῆς ἐκείνης ἐλυτροῦτο κολάσεως· εἴπωμεν δὲ καὶ τὸ λύτρον ὡς γέγονεν, ἔστιν γὰρ τῆς τῶν λυτρωσαμένων χάριτος ἔμπλεον· ἑτέρῳ τινὶ τῶν ἀσθενούντων ἀδελφῶν ὄναρ ἐλθόντες οἱ ἅγιοι, εἰπὲ φασὶ τῇ βοώσῃ ταύτῃ μοναστρίᾳ, ἐβόα γὰρ διηνεκῶς καὶ τὸ σύνολον οὐκ ἐκάθευδεν, ἵνα πρωΐας ὀρθρίσασα, εἰς ἓν τῶν καπη-

multotiens autem et ipsa tria, eandem discerpere noscebantur.

Cum ergo inter indesinentes et acerrimos esset dolores, ferebatur ad sanctos; medicum enim non inveniebat alium, qui contra tantam sufficere posset aerumpnam. Igitur, ut dictum est, veniens et martyras compatientes inveniens, maturius a triplici redimebatur supplicio. Dicamus autem ut facta est ipsa redemptio; est enim redemptorum gratia plena. Alii cuidam infirmantium fratrum in visu sancti venientes dic, inquiunt, monachae isti quae clamat, clamabat enim assidue et prorsus non dormiebat, ut mane vigilans ad unam

λείων ἐξέλθοι πρὶν ἢ βρώματος ἢ πόματος γεύσηται· καὶ κάννια τρία, εἶδος τοῦτο καθέστηκε κύλικος οὕτω παρ' ἀλεξανδρεῦσι λεγόμενον, πιεῖν νήστις ἀνάσχοιτο, καὶ τάχος τὴν ἴασιν διὰ τῆς τῶν καννίων δέξηται πόσεως.

Ὁ δὲ θεωρήσας τὸν ὄνειρον, τῇ νοσούσῃ τοῦτον μεθ' ὕπνον ἀπήγγελλεν, ὡς οἱ μάρτυρες αὐτῷ διετάξαντο· ἡ δὲ τῆς τούτων πυθομένη κελεύσεως, πρωΐας εἰς καπηλεῖον ἐξέρχεται, καὶ τὰς τρεῖς εὐθέως ἔπιε κύλικας, οἴνου γεμούσας μὴ μιγέντος τοῖς ὕδασιν, ἄκραντα γὰρ πιεῖν τὰ τρία κεκέλευστο κάννια· ἅπερ ὡς εἶπον ῥοφήσασα, κινεῖται θᾶττον πρὸς ἔμετον, καὶ τὸν οἶνον ἐμέσασα, ἐμεῖ προφανῶς καὶ τὰ τρία σὺν αὐτῷ

ex tabernis egrediatur; prius quam escam gustet vel potum, et cadia tria, species haec calicis est, sic apud Alexandrinos vocata, bibere ieiuna patiatur, et velociter sanitatem per cadiorum potionem recipiet.

At ille somnio viso, post somnium monastriae retulit, ut sibi martyres iusserant; quae horum audita iussione, mane ad cauponium exiit, et tres situlas vino plenas protinus bibit aquis non mixto; non mixta quippe bibere tria illa iussum fuerat cadia; quibus ut dixerunt * absorptis, movetur statim ad vomitum, et cum vinum evomuisset, una cum eo evidenter etiam tria illa evomuit

* corr. dixi.

σαμαμίθια διὰ στόματος ῥίψασα, πάσης εὐθὺς ἀπηλλάγη κακώσεως καὶ δυσχεροῦς ὀδύνης καὶ μάστιγος, ἃς ὁ φόρτος ἐκεῖνος ὁ τρίδυμος ἐπικυοφορούμενος ὤδινεν· καὶ Ἄννα μὲν ἡ μονάστρια οὕτω τὸν ἐκ δαιμόνων αὐτῇ σκευασθέντα διέφυγε θάνατον, ἰσχυροτέρας ἰατρῶν ἀρωγῆς τῆς ἐκείνων ἐπιβουλῆς εὐπορήσασα· καὶ πάντας τοὺς ὁρῶντας τὴν ἴασιν πρὸς ὕμνους τῶν ἁγίων ὀτρύνασα, καὶ σὺν τούτοις αὐτοὺς ἀνυμνήσασα, τοῦ τεμένους ἀπέρχεται· ἡμεῖς δὲ νῦν οἱ ἀκούοντες, ὡς οἱ τότε παρόντες πιστεύοντες, τοὺς ἁγίους ἀξίως ὑμνήσαντες, πρὸς ἑτέρους ὕμνους καὶ θαύματα τὰς ἀκοὰς εὐτρεπίσωμεν καὶ τὰ στόματα.

samamithia, quibus per os abiectis ab omni mox afflictione difficilique dolore, ac verbere liberata est, quae onus illud tridymum adhuc parturiebat in utero deportatum. Itaque Anna quidem monastria, sic mortem quae sibi a daemonibus praeparata fuerat exilivit, fortius medicorum auxilium, quam illorum essent insidiae, consecuta; et ad hymnos sanctorum omnes, qui illam sanitatem viderant concitans, atque cum his eos laudibus efferens, cum his etiam a templo discedit. Nos autem, qui nunc audimus, quasi tunc praesentes essemus credentes, sanctis hymnorum laudibus cumulatis, ad alios hymnos atque miracula auditus praeparemus et ora.

με. ΠΕΡΙ ΚΟΒΙΩΤΟΥ ΤΟΥ ΚΩΦΟΥ ΚΑΜΗΛΑΡΙΟΥ.

Ἀπ' Αἰγύπτου πάλιν εἰς Λιβύην μετέλθωμεν· καὶ ἐν τῷ Μαρεώτῃ γενόμενοι, Κοβιώτην τὸν κωφὸν ἀνιχνεύσωμεν, τοῦ Μαρεώτου γὰρ οὗτος ἐτύγχανεν, καὶ εὑρόντες τοῖς προλαβοῦσιν συνάψωμεν· καὶ τὰ κατ' αὐτὸν τοῖς ἀκούουσιν ἀπαγγείλωμεν· γραφῆς γὰρ ἄξια τὰ εἰς αὐτὸν δραθέντα τοῖς μάρτυσιν· κωφὸς ὁ Κοβιώτης γεγένητο, οὐχ οὕτως ἐκ μήτρας γενόμενος, ἀλλ' ἄφνω κωφωθεὶς ὡς ταῖς καμήλοις παρέβαλλεν· τούτων γὰρ ἀεὶ τῶν ζώων ἐφρόντιζε, καὶ πρὸ κωφώσεως, καὶ μετ' αἰφνίδιον κώφωσιν, βαρυτάτην δὲ τὴν νόσον ὑπάρχουσαν, οὔτε γὰρ τὸ

45. DE COBIOTE SURDO CAMELARIO.

Ab Aegypto rursus in Libyam transeamus, et cum apud Maretoen fuerimus inventi, Cobioten surdum investigemus. Hic enim Mareotensis erat; et inventum virum prioribus annectamus, et quae circa eum gesta sunt, audientibus referamus; scriptura quippe digna sunt quae in eo sunt a martyribus acta. Surdus Cobiotes fuit, non ex vulva factus, sed subito surdus, cum camelis haereret, effectus: horum namque semper animalium curam, et ante et postquam repente surdus factus est, peragebat. Cum autem languor esset gravissimus, neque enim ullo modo audiebat, neque

σύνολον ἤκουεν, οὔτε τῶν πάνυ μεγάλων τῆς φωνῆς προσησθάνετο, οἷον δήμου βοῆς ἢ θαλάττης ἦχον ὑψούμενον, ἢ μεγάλων ἀνέμων ῥοιζήματα· ὃν πάντες οἱ θεώμενοι, δαίμονος ἐνέργειαν τὴν κώφωσιν ἔλεγον, καὶ οὐ πάθος ἢ σύμπτωμα σώματος· καὶ τάχα τἀληθοῦς ἐστοχάσαντο, ἔκ τε τοῦ ἀθρόον συμβῆναι τὸ νόσημα, ἔκ τε τοῦ μηδένα τῶν ἰατρῶν ὠφέλειαν τούτῳ τινὰ δυνηθῆναι χαρίσασθαι· πολλοὺς γὰρ περιελθὼν καὶ πληρώσας πολλῶν ἐπιτάγματος, αὐτὸς ἐν τῷ πάθει διέμενεν, διαφορὰν εὑρεῖν οὐ δυνάμεος· ὅθεν ἰατροῖς πολλὰ χαίρειν φθεγξάμενος, τῶν καμήλων ἐφρόντιζε, ἀπαλλαγὴν τοῦ λοιποῦ μὴ προσδοκῶν τοῦ νοσήματος.

saltem grandes strepitus sentiebat, ut puta vulgi clamorem, aut sonitus maris elatos, aut ingentium ventorum impetum magnum: quem omnes inspicientes, daemonis operationem esse huiusmodi aegritudinem astruebant, et non corporis vitium sive casum. Et forte veraciter aestimabant, tam ex eo quod languor subito contigisset, quam ex eo quod nullus medicorum profectum huic quemlibet conferre potuisset; multos enim circumiens, et multorum complens praeceptum, ipse in passione perseverarat, meliorationem aliquam reperire non valens. Unde medicis vale dicens, camelorum curam gerebat, libertatem de cetero languoris non praestolans.

Καὶ τάχα ἂν οὕτω μέχρι θανάτου διέμεινεν, εἰ μὴ πρὸς τῶν συντέχνων ὡς κωφὸς κατετρέχετο, καὶ πολλὴν τὴν ἀδικίαν ὑπέμενεν· ὧν οὐ βαστάσας τὴν δυσχερῆ παραπόνησιν, ἅπαντα λιπὼν, τὴν ἑστίαν, τὰς καμήλους, τὰ ὑπάρχοντα, καὶ μηδενὶ μηδὲν περὶ μηδενὸς ἐντειλάμενος, ζήλου πλησθεὶς, καὶ θείου πρὸς τοὺς μάρτυρας ἔρωτος, αὐτῶν ὡς οἶμαι τοιαύτην αὐτῷ προσπνευσάντων διάνοιαν, δρομαίως ἐπὶ τὸ τούτων μαρτύριον ἔτρεχεν, τοιαύτην μόνον φωνὴν πρὸς τοὺς ἑταίρους φθεγξάμενος· ζῇ γὰρ φησὶν Χριστὸς ὁ Θεὸς ἡμῶν, ὡς εἰ μὴ πρὸς Κῦρον καὶ Ἰωάννην τοὺς ἁγίους οὐκ ἄπειμι, καὶ τούτους ἐκβιβαστὰς τῆς ἐμῆς ἐπηρείας ποιήσομαι· καὶ τοῦτο εἰπὼν γυμνὸς ἐπενδυμάτων πρὸς τοὺς μάρτυρας ἔδραμεν.

Et forte sic usque ad mortem procul dubio permansisset, nisi a collegis tamquam surdus illuderetur, multamque iniuriam pateretur; quorum difficilem afflictionem non ferens, omnibusque derelictis, domo videlicet camelis et patrimoniis, nemini quicquam de quoquam praecipiens, zelo repletus et divino erga martyras desiderio, ipsis ei, ut reor, talem inspirantibus animam, cursim ad horum martyrium festinabat; huiusmodi ad socios voce tantum affatus, vivit enim Christus inquit Deus, si ad Cyrum et Iohannem sanctos non iero,

Τότε γίνεταί τι παράδοξον, καὶ τῆς τῶν ἁγίων χάριτος ἄξιον, καὶ τῆς αὐτοῦ πολλῆς καὶ μεγάλης θερμότητος· ἢ μόνον γὰρ ἐξῆλθε τὴν πύλην τῆς πόλεως ἥτις ἡλιακὴ προσηγόρευται, εὐθέως αὐτοῦ τὰ ὦτα ἤρξαντο διανοίγεσθαι, καὶ φωνὰς αὐτὸς ἀνθρώπων πυνθάνεσθαι· ὅσῳ δὲ τῇ πορείᾳ προέκοπτε, τοσοῦτον φωνῆς πλεῖον ἀντελαμβάνετο· καὶ οὕτω τὸ δῶρον πρὸς τὴν τῆς ὁδοῦ προκοπὴν κομιζόμενος, ἐν ὅσῳ τῶν ἁγίων εἰσείη τὸ τέμενος, τὸ τέλειον τῆς ἀκοῆς ἀπελάμβανε, πᾶν ἴχνος καὶ γνώρισμα τῆς πολλῆς ἐκείνης ἀπολείψας κωφώσεως· καὶ δὴ τὴν ῥῶσιν κατὰ τὴν πορείαν δρεψάμενος, ὡς ὑγιὴς τοῖς ἁγίοις καὶ οὐχ ὡς ἔχων προσήρχετο νόση-

et hos executores molestiae meae non fecero. Et hoc dicto, indumentis exutus cucurrit ad martyras.

Tunc etiam fit quiddam mirabile, sanctorumque gratia, et ipsius multo et magno fervore dignissimum. Ut enim tantum portam civitatis exivit, quae heliace appellata est, mox aures eius coepère patescere, et hominum ipse voces audire; et quantum in itinere proficiebat, tantum voces recipiebat, et sic donum secundum viae profectum paulatim percipiens, dum sanctorum ingrederetur basilicam, perfectionem resumebat auditus, omni vestigio et signo multae suae absurdae infirmitatis deleto. Cumque incolumitatem itinere

μα· καὶ προσενέγκας εὐθὺς τὰ χαριστήρια, ᾠδαὶ δ' ἦσαν τοὺς σεσωκότας γεραίρουσαι, τὴν αὐτὴν εὐθέως ὑπέστρεφε· μὴ δὲ καθῆσαι κατὰ τὸν τῶν μαρτύρων σηκὸν ἀνασχόμενος· καὶ ἡμεῖς δὲ τὴν περὶ τούτου διήγησιν ἐκπληρώσαντες, καὶ τὰ ὑπὲρ αὐτῆς χαριστήρια τοῖς ἁγίοις προσάξαντες, διήγησιν ἄλλου ποιώμεθα θαύματος.

μϛ. ΠΕΡΙ ΤΡΙΒΟΥΝΟΥ ΤΟΥ ΤΥΦΛΟΥ.

Τὸ Μηνᾶ τοῦ μάρτυρος τέμενος, καὶ τὸ πρὸ τοῦ τεμένους δομάτιον, πάσης Λιβύης καθέστηκε φρύαγμα, ἧς οἰκήτωρ ὁ ἅγιος καὶ φύλαξ, καὶ πρὸ τῆς ὑπὲρ Χριστοῦ μαρτυρίας ἐτύγχα-

percepisset, tamquam sanus et non sicut aegrotus procedebat ad sanctos; et gratiarum actionibus confestim oblatis, cantibus scilicet honorantibus salvatores, eadem die continuo remeavit, nec sedere quidem in martyrum basilica passus. Porro nos de hoc narratione completa, et gratiarum sanctis officiis persolutis, relationem alterius faciemus miraculi.

46. DE TRIBUNO CAECO.

Mennae martyris templum, et quod est templum, ante habitaculum, totius est Libyae gloriatio, cuius habitator sanctus et custos etiam ante quam pro Christo pateretur, erat, et posthac fuis-

νεν, καὶ μετὰ ταύτην γνωρίζεται, καὶ ἄξιον ὄντως εὐκλείας τὸ κτῆμα καὶ φρυάγματος μείζονος· δι' αὐτοῦ γὰρ ὅ τε Μαρεώτης, καὶ ἡ Λιβύη πᾶσα μέχρι τῆς τήμερον ἕστηκεν· καὶ τὸ δὴ μέγιστον, Ἀλεξάνδρεια ἡ μεγάλη καὶ λαμπρὰ καὶ φιλόχριστος· ὅσοι γοῦν τὸ τοῦ μάρτυρος ἴστε μαρτύριον, καὶ τὸ περὶ τούτῳ κτημάτιον, πάντες γινώσκετε ὅθεν ὁ παρὼν τριβοῦνος εἰς διήγησιν ὥρμητο, ἐκεῖσε γεννηθεὶς καὶ τραφεὶς καὶ εἰς ἄνδρα τέλειον ἀφικόμενος.

Οὗτος πάνυ δεινῶς ἀσθενήσας τὴν ὅρασιν, καὶ μὴ τυχὼν ἰατροῦ δυναμένου τὸ πάθος ἰάσασθαι, πρὸς τελείαν ἐλαύνεται τύφλωσιν, ὡς μηδὲ νυκτὸς ἀπουσίαν μηδὲ παρουσίαν ἡμέρας

se dinoscitur. Et certe gloria et excellentia dignum est aedificium, et sublimitate maiori: per ipsum enim tam Mareotes quam Libya tota usque in hodiernum diem consistit, et quod est maximum Alexandria magna et clara Christique semper amica. Quotquot ergo martyris nostis martyrium, etiam quod est circa hoc aedificium utique nostis; ubi et tribunus, qui praesens ad relationem prolatus est, ibidem natus atque nutritus, in virum perfectum occurrit.

Hic valde crudeliter visibus infirmatus, cum non invenisset medicum, qui passionem sanare posset, ad perfectam impellitur caecitatem. Ita ut

ἐπίστασθαι εἴ τινος λίποι τοῦ διαγγέλλοντος· μεμυκῶτα γὰρ ἔσχε τὰ ὄμματα, καὶ μηδαμῶς ἀνοιγόμενα· μηδὲ χωρίζειν ἀλλήλων δυνάμενος ὡς ἀπὸ κολλῆς τινος προσηλωμένα τὰ βλέφαρα· καὶ τοιαύτην ὁ τριβοῦνος ἔχων ἀσθένειαν, οὐκ ἠπίστει Κύρου καὶ Ἰωάννου τῇ χάριτι, ἀλλ᾽ εὐσεβῶς καὶ δικαίως ἐπίστευεν, ὡς εἰ πρόσφυξ αὐτῶν ἀφικόμενος γένοιτο, πάντως τὸ βλέπειν κομίσηται, ὃ καὶ πράξει πεπλήρωται· ὁ γὰρ πίστει βεβαιωθεὶς, καὶ ταύτης τὸν θεμέλιον ἔχων ἀσάλευτον, εἴωθεν τυγχάνειν καὶ τοῖς ἐν ἔργοις πρὸς φίλους τελειότητος· ἐπεὶ μηδεὶς πιστεύσας παρὰ θεοῦ καταλέλειπται, ἀλλ᾽ ὡς ἐπίστευε γέγονε, καὶ μισθὸν ἔσχε τῆς πίστεως τὴν τῶν ποθουμένων ἀπόλαυσιν.

neque noctis absentiam neque diei praesentiam nosset; compressos enim habebat oculos et nequaquam apertos, cum videlicet ab invicem separari palpebrae nullo modo possent, ac si gluttino quodam annexae. Verum et tali tribunus infirmitate habita, non incredulus gratiae Cyri fuit sive Iohannis, sed pie et iuste credebat, quod si profugus eorum profectus efficeretur, visum profecto reciperet, quod et actu completum est; qui enim fide confirmatus est, et huius habet immobile fundamentum, amandam consuevit quae in operibus est adipisci perfectionem. Nam nemo qui Deo

Ἐν τῷ μαρτυρίῳ γοῦν τῶν ἁγίων γενόμενος, καὶ τῷ ἐκ γεννητῆς τυφλῷ τὴν πίστιν ἔχων ἐφάμιλλον, κατ' ἐκεῖνον κοιμώμενος, πρὸς τῆς τῶν ἁγίων ἤκουε χάριτος, ὕπαγε νίψαι εἰς τὸν Σιλωάμ, καὶ ἀναβλέπεις· μιμηταὶ γὰρ οὗτοι τοῦ σωτῆρος ὑπάρχοντες, τοῖς αὐτοῦ κέχρηνται ῥήμασιν, διὰ πάντων δεῖξαι σπουδάζοντες τῶν ἰαμάτων, ὅθεν τὴν χάριν ἀρύονται· ὁ νοσῶν δὲ τοῦ τῶν μαρτύρων ἀκούσας προστάγματος, τὴν ἁγίαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλιν κατείληφε, καὶ κατελθὼν εἰς τὸν Σιλωάμ, τοῖς τούτου νιψάμενος ὕδασιν, εὐθέως ἀνέβλεψεν· ἐκεῖθεν δὲ πάλιν ὁρῶν ἀφικόμενος, εἰδὼς τοῦ τῶν ὄψεων δώρου τὸ μέγεθος, τοῖς ἁγίοις αὖθις προσέδρα-

credidit, derelictus est; sed prout credidit, factum est; et pro mercede fidei, desiderata optinuit.

Ad martyrium ergo sanctorum veniens, et nato caeco fidem habens consimilem, et secundum illum dormiens a sanctorum audiebat gratia, vade lava in Siloa, et vides. Imitatores enim hi Salvatoris cum sint, eisdem ipsius verbis utuntur, festinantes semper ostendere, unde sanitatum gratiam fundant. Cum autem langueret, martyrum audito praecepto, ad sanctam Christi Dei nostri civitatem venit, et cum descendisset in Siloam, huius aquis lotus, protinus vidit. Inde vero cum incedens videret, sciens muneris visuum magnitudi-

μεν, καὶ παρ᾽ αὐτοῖς τὸν ἐπίλοιπον τοῦ βίου χρόνον κατῴκησεν, μέχρις οὗ κοιμηθεὶς ἀνεπαύσατο, τὴν εὔνοιαν ἡμῖν ἐνδεικνύμενος, ἣν πρὸς εὐεργέτας ἔχειν ὀφείλομεν.

Καὶ τριβοῦνος μὲν οὕτως ἀπώνατο, πίστεως καὶ ῥώσεως τῆς λεχθείσης ἐπέτυχεν· ἄλλος δέ τις μοναστὴς ταβεννησιώτης τὸν πατέρων πατέρα καὶ ζωῆς ἀρίστης διδάσκαλον τὸν μέγαν αὐχούντων Παχόμιον, ὡς τῆς αὐτῶν πολιτείας ἀρχηγέτην γενόμενον, καὶ κλίμαξ αὐτοῖς γεγονὼς πρὸς οὐρανὸν ἀπὸ γῆς ἀναφέρουσα, τὸ τοῦ τριβούνου φέρων ἀῤῥώστημα, πρὸς τοὺς μάρτυρας ἔρχεται, καὶ τῆς αὐτῆς πρὸς αὐτῶν ἀκούσας κελεύσεως, ὕπαγε λεγόντων νίψαι εἰς τὸν

nem, ad sanctos rursus occurrit, et apud eos residuo vitae tempore habitavit, donec dormiens in pace requiesceret, bonitate nobis ostensa quam erga benefactores habere debemus.

Et tribunus quidem taliter ope percepta, fide ac incolumitate iam dicta potitus est. Alius autem quidam tabennensis monachus, ex his qui patrem et optimae vitae magistrum magnum se gloriantur habuisse Pachomium, tamquam eum qui conversationis eorum fuerit auctor, factusque sit eis scala a terra ducens ad caelum, tribuni languorem ferens ad martyras venit. Et eadem ab eis audita iussione, vade dicentibus, lava in Siloa,

Σιλωαμ καὶ ἀναβλέπεις, χαριέντως αὐτοῖς ἀπεκρίνατο· ἐκεῖνος μὲν ὁ τυφλὸς, ὦ μακάριοι, ὁ τοῦ παρόντος προστάγματος πρὸς τοῦ δεσπότου τῶν ὅλων πυθόμενος, ἐν Ἱεροσολύμοις ἐτύγχανεν, καὶ τὸν Σιλωὰμ ἐκέκτητο γείτονα, καὶ εἰ πτωχὸς ἐγνωρίζετο, δαπανημάτων οὐκ ἔχρηζεν πρὸς τὸ πληρῶσαι τοῦ σωτῆρος τὴν σωτήριον ἔνταλσιν· ἐγὼ δὲ πτωχὸς ὑπάρχων καὶ πρότερον, νυνὶ δὲ πολὺ τοῦ τότε πτωχότερος, καὶ αὐτὸ γὰρ ὅπερ ἐκεκτήμην πρὸ τοῦ τῶν ὀμμάτων νοσήματος, εἰς ἰατροὺς ἐδαπάνησα· καὶ τοσούτοις ἀφεστὼς τοῦ Σιλωὰμ διαστήμασι, ποίοις κελεύετε χρήσομαι χρημάσιν πρὸς τελείωσιν τοῦ ὑμετέρου θεσπίσματος;

Οἱ δὲ πάνυ σεμνῶς μειδιάσαντες, καὶ τερ-

et vides; gratulatorio eis affectu respondit: ille quidem caecus, o beati, qui praesens praeceptum a Domino cunctorum audivit, Hierosolymis erat, et Siloam fontem vicinum habebat, et licet pauper esse nosceretur, sumptuum tamen non indigebat ad implendúm Salvatoris salutare praeceptum. Ego autem qui pauper etiam primitus eram, et nunc multo pauperior, et ipsum enim quod ante oculorum languorem habebam, in medicos consumpsi, quique tot a Siloa spatiis absum, quibus ad consummandum praeceptum vestrum iubetis pecuniis utar?

φθέντες αὐτοῦ ταῖς καλαῖς ἀποκρίσεσιν, καὶ τῶν ἀναλωμάτων ἀγαθοὶ δωτῆρες ἐγίνοντο· ἄπελθε γάρ, φασὶν, εἰς τὴν Φρόντωνος καλουμένην ἀπόστασιν, ἀποθήκην δὲ λέγουσι τὴν ἀπόστασιν ἐν ἄλλαις χώραις καὶ τόποις καὶ πόλεσιν, κἀκεῖσε Θωμᾶν τὸν τοῦ Κυμινᾶ τοῦ αἰγυπτίου πιστικὸν ἐπιζήτησον, καὶ τοῦτον εὑρὼν, Ἀββάκυρος ἐρεῖς καὶ Ἰωάννης οἱ μάρτυρες πρός σέ με πεπόμφασι, καὶ χρυσὸν ἕνα μοι δοῦναι θεσπίζουσιν, ἵν' εὕρω δαπάνας ποιήσασθαι, ἐπειδήπερ εἰς τὴν ἁγίαν με πόλιν ἀπέστειλαν· καὶ ταῦτα μὲν εἰρηκότες ἀπῆλθον οἱ ἅγιοι· ὡς δὲ μεθ' ὕπνον τὴν πόλιν κατέλαβεν, καὶ τὴν ἀπόστασιν εὑρὼν καὶ τὸν ἄνθρωπον, τῶν ἁγίων εἰ-

At illi valde honeste subridentes, et in illius bonis delectati responsionibus, etiam expensarum benigni datores effecti sunt; etenim perge, inquiunt, ad apostasin quae Phrontonis vocatur, horreum autem dicunt apostasin in aliis regionibus locis et urbibus, et illic Thomam Cyminae aegyptii proretam inquire; et hoc invento, Abbacyrus, dices, et Iohannes martyres ad te me miserunt, et aureum unum mihi dari praecipiunt, ut inveniam expensas facere, quoniam ad sanctam me civitatem miserunt. Et his quidem dictis sancti abierunt. Ille vero post somnium, ad civitatem veniens, cum apostasin et hominem in-

ϖεν τὴν κέλευσιν· καὶ λαβὼν εὐθέως τὸ νόμισμα, προθύμως γὰρ καὶ Θωμᾶς τὸ μαρτυρικὸν προσήκατο θέσπισμα, εἰς τοὺς τοῦ Χριστοῦ τόπους ἀπέρχεται, καὶ ἐν τῷ Σιλωὰμ σπουδαίως γενόμενος, τοῖς τούτου ῥείθροις τὰς ὄψεις ἀποματτόμενος, σὺν ταῖς ῥανίσι τοῦ νάματος καὶ τῶν ὀφθαλμῶν τὴν ἀχλὺν ἀπεμάξατο· ἐγνώρισε γὰρ τὸ ὕδωρ τὸ πρόσταγμα καὶ τοὺς πέμψαντας μάρτυρας, δούλους ὄντας Χριστοῦ καὶ θεράποντας τοῦ πρὸ αὐτῶν τὸν τυφλὸν ἀποστείλαντος· διὸ καὶ θᾶττον αὐτῶν ϖληρῶν τὰ κελεύσματα, σὺν τῷ τριβούνῳ καὶ τοῦτον ἀντέπεμψεν βλέποντα, ὥσπερ καὶ τότε τυφλὸν πρὸς τὸν αὐτὸν δεσπότην ἀπέστειλεν· ἡμεῖς δὲ τούτοις

venisset, sanctorum iussionem edixit, et accepto statim numismate, alacriter enim et Thomas martyricam sanctionem accepit, ad sancta Christi loca progreditur, et ad Siloam veniens, huius rivulis facies lavit. Et post illam lavationem mox lotis faciebus, una cum guttis fluentibus, oculorum etiam caecitatem detersit: agnovit enim aqua praeceptum, et quod martyres, qui ad se destinaverant, servi Christi essent et famuli eius, qui ante illos caecum direxerat. Et idcirco maturius eorum praeceptis completis, una cum tribuno, et hunc quoque remisit videntem, sicut etiam tunc caecum ad ipsorum remisit dominatorem. Porro

τοῖς περὶ τῶν ἰαθέντων δύο τυφλῶν λεχθεῖσιν ἀρκούμενοι, τοὺς ἁγίους καὶ νῦν εὐφημήσαντες, ἄλλα κηρύττειν αὐτῶν σπουδάσωμεν θαύματα.

μζ. ΠΕΡΙ ΠΑΤΡΙΚΙΟΥ ΕΝ ΤΟΙΣ ΟΦΘΑΛΜΟΙΣ ΕΣΧΗΚΟΤΟΣ ΛΕΥΚΩΜΑΤΑ.

Τὸν πηλουσιώτην Πατρίκιον συνάψαι τοῖς προλαβοῦσιν ἀκόλουθον· εἰ γὰρ τῶν ὀμμάτων ἄλλο τὸ νόσημα, καὶ τῆς ἰάσεως ὁ τρόπος καθέστηκεν ἕτερος, ἀλλ᾽ ἓν ἀμφοτέρων τὸ τέλος γεγένηται, καὶ τῶν νοσημάτων ἡ τύφλωσις, καὶ τῶν θεραπειῶν ἡ ἀνάβλεψις· οὐκοῦν εἴπωμεν καὶ αὐτοῦ τὸ ἀῤῥώστημα, καὶ τοῦ ἀῤῥωστήματος τὴν ἴασιν μὴ χωρίσωμεν· πηλουσιώτης ἦν ὁ Πατρίκιος, καὶ δοῦλος ἐτύγχανεν τοῦ τὴν ἐκκλησίαν

nos his, quae de duobus dicta sunt caecis sanatis, contenti, sanctis nunc etiam collaudatis, alia ipsorum praedicare satagemus miracula.

47. DE PATRICIO ALBUGINES IN OCULIS HABENTE.

Consequens est ut pelusioten Patricium cum praecedentibus annectamus. Nam et si alius est oculorum languor et sanitatis modus, unus tamen est in utroque finis effectus, oculorum scilicet caecitas et recepti visus curatio. Ergo et languorem dicamus, et languoris sanitatem non dividamus. Pelusiotes erat Patricius, et servus eius,

τὴν ἐκεῖσε ποιμαίνοντος· καὶ πεσὼν εἰς ὀμμάτων ἀσθένειαν, ἐν ταύτῃ τὸ καθ' ἡμέραν προέκοπτε, οὐ τοῖς ἔμπροσθεν ἐπεκτεινόμενος, καὶ τῶν ὄπισθεν ἐπιλανθανόμενος· ἢ γὰρ ἂν ζηλωτὸς ἦν τῷ περιττῷ τῆς ὁράσεως· ἀλλὰ τῶν μὲν ἔμπροσθεν ἐπιλανθανόμενος, τοῖς δὲ ὄπισθεν ἐπεκτεινόμενος· οὕτω γὰρ αὐτὸν εὐφυὴς ἰατρὸς ἐθεράπευσεν· ταῖς δὲ κατ' ὀλίγον προκοπαῖς ἐλθὼν πρὸς τὸ τέλειον, πολλὰ βλέπων ἐλέγετο· οὕτω γὰρ εὐφήμως τοὺς τυφλοὺς ὀνομάζουσιν, μηκέτι κόπόν τινα παρεχόμενος τῷ τὸ πρὶν αὐτὸν ἰατρεύοντι· ἐσχηκὼς γὰρ ἐν ὄμμασιν ἀμφοτέροις λευκώματα, καχίστην ἐλευθερίαν ἐδέξατο, δι' ἧς οὐκέτι τοῖς ἀσκληπιάδαις ὑπέκειτο, ἀλλ' ἔσχε τὴν

qui ibidem constitutam regebat ecclesiam, et infirmitatem incidens oculorum, in hac de die in diem proficiebat, non in ea quae ante sunt se extendens, et eorum quae retro sunt obliviscens; quod si gessisset, laudabilis procul dubio esset habundantia visus; sed eorum quae ante oblitus, et in ea quae retro consistunt extensus, sicut quidam ingeniosus medicus medebatur. Porro cum ad perfectionem pervenisset paulatim proficiens, multividens dicebatur; sic enim laudabiliter caecos nominare solent; iam non laborem quemlibet praestans ei qui antea medebatur: etenim albugines in ambobus oculis habens, pessimam liber-

τύφλωσιν ἄμαχον δέσποιναν, δοριάλωτον αὐτὸν τῶν ἰατρῶν ἀφαρπάσασαν, ἣν τὸ λοιπὸν καταγωνίσασθαι καὶ λαβεῖν ἀπ' αὐτῆς τὸν αἰχμάλωτον, πᾶσιν ἀνθρώποις ὑπῆρχεν ἀδύνατον, μόνῳ δὲ θεῷ ῥᾷον ἐτύγχανεν, καὶ τοῖς ἀπ' αὐτοῦ δωρουμένοις ἰάματα· ἀπόστολοι δ' οὗτοι καὶ δίκαιοι καὶ προφῆται καὶ μάρτυρες ἀμέμπτως βιώσαντες, καὶ θεὸν θεραπεύσαντες· καὶ διὰ τοῦτο πειθόμενον ἐν ἅπασιν αὐτὸν οἷς ἐθέλουσιν ἔχοντα.

Δύο δὲ ταύτης τῆς μακαρίας καὶ λαμπρᾶς ὁμηγύρεως καὶ Κῦρον καὶ Ἰωάννην εἰδὼς ὁ Πατρίκιος, καὶ δυναμένους αὐτὸν τῆς πικρᾶς ἐκεί-

tatem accepit, ob quam ulterius asclepiadis minime subdebatur; sed habebat caecitatem inexpugnabilem dominam, quae se quasi mucrone captum a medicis subripuerat: contra quam iam repugnare, et ab ea captivum recipere, omnibus erat hominibus impossibile, soli autem Deo possibile, et his quibus ab eo gratia sanitatum tribuitur, apostolis videlicet, iustis, prophetis, et martyribus, qui inreprehensibiliter vixerunt, Deumque bonis operibus placaverunt; et idcirco illum omnibus quae, voluerint, habent exauditorem.

Duos autem ex hac beata et gloriosa caterva, Cyrum etiam et Iohannem, Patricius esse sciens, et posse se ab amara illa domina liberare, et li-

νης δεσποίνης λυτρώσασθαι, καὶ τὴν ἐλευθερίαν χαρίσασθαι, ἣν ἰατρῶν ἀρωγὴ προσαπώλεσεν, μετὰ πίστεως πρὸς αὐτοὺς ἔρχεται, ταύτην σαφῶς ἐπιστάμενος πείσαι δυναμένην τοὺς μάρτυρας· οἱ δὲ τούτῳ κατ᾽ ὄναρ παρίστανται, καὶ τὸν τρόπον τῆς ὑγείας μηνύουσιν· εἰς τὸ λουτρὸν γὰρ τοῦτον ἰέναι κελεύουσιν, καὶ λαβνείῳ τὰς ὄψεις ἐγχρίεσθαι, καὶ διὰ τούτου τὸ βλέπειν κομίζεσθαι· οὗ τὸ πλεῖστον ὡς λέγουσιν ἄσβεστός ἐστιν ὡς βραχεῖσα πρῶτον ἐν ὕδατι· καυστικὴ δ᾽ αὕτη λίαν καθέστηκεν, καὶ ὀλίγα πάνυ παραχωροῦσα πυρὶ πρὸς τὸ μᾶλλον καίειν ἀνθρώπινα σώματα· ὁ δὲ μηδὲν εἰς τὰ τῶν ἁγίων ἐνδυάσας προστάγματα, εἰς τὸ λουτρὸν μετὰ τὸν ὄνειρον ἔξεισι, καὶ δρομαῖος τοῦ

bertatem donare quam medicorum amittere fecit opitulatio, ad illos cum fide venit, qua liquido sciebat posse flectere martyras. At illi huic per somnium astant, et modum sanitatis annunciant: in balneum quippe ingredi iubent, et facies colore * linire, et per hunc visum recipere, cuius maxima pars ut aiunt calx est, priusquam laticibus irrigaretur: incensoria vero est haec oppido, et parum valde concedit igni, ut humana corpora magis exurat. Ille vero nihil ad sanctorum praecepta cunctatus, ad balneum proficiscitur, et cursim specie iam dicta linitur, et cum mansisset post

* ita cod.

32

λειχθέντος εἴδους ἐγχρίεται· καὶ μείνας βραχὺ μετὰ τὴν ἐγχείρησιν, ὥσπερ εἰώθασιν ποιεῖν οἱ κολλουρίοις παρὰ ἰατροῖς ἐγχριόμενοι· ἀνοίξας δὲ πάλιν τὰ ὄμματα, μεμυκότα γὰρ ἔχων ταῦτα ἐκάθητο, ἀθρῶον ἀνέβλεψεν, δακρύων δίκην καταγαγὼν τὰ λευκώματα, καὶ ταυτὶ τὸ φῶς ὡς ἐστὶν ἐθεάσατο, ὅπερ ἰατρῶν κολλουρίοις ἀπώλεσεν· ἦν δὲ τὸ θαῦμα παράδοξον· καὶ βλέπων γὰρ τὸ λουτρὸν ἐξελθεῖν οὐκ ἐγίνωσκεν, ἐπεὶ μηδ' οἵας εἰσῆλθεν ἠπίστατο, ἀλλ' ἐδέετο καὶ τότε τοῦ ποδηγήσαντος πλέον αὐτὸς τοῦτο διηγοῦντος θεώμενος· ἐκ τούτου δὲ δραμὼν πρὸς τὸ τέμενος, τοὺς ὁρῶντας ἐξέπληττε, καὶ πρὸς τὰς τῶν ἁγίων εὐφημίας διήγειρε· ῥωσθεὶς δὲ

unctionem parumper, ut consueverunt facere qui collyriis a medicis inunguntur, apertis oculis, compressos enim hos habebat, sedit, et repente visum adeptus est, more lacrimarum deponens albugines; et hoc modo lumen sicuti prius contemplatus est, quodque profecto collyriis medicorum amiserat. Erat autem inopinatum miraculum, quippe cum etiam videns, balneum exire non posset; nam et qua intraverat, nesciebat; sed egebat etiam tunc ductore, cum ipse acutius ductore videret. Ex hoc enim ad templum currens, eos qui videbant in admirationem vertebat, et ad sanctorum bonae famae praeconia erigebat. Sanus au-

καὶ αὐτὸς εὐφημήσας τοὺς μάρτυρας, εἰς τὸ Πηλούσιον ᾤχετο· καὶ ἡμεῖς δὲ τοῖς ὕμνοις αὐτοὺς στεφανώσαντες, ἑτέρων αὐτοῖς ὕμνων ἀφορμὴν τὴν ἑτέρου θαύματος γραφὴν εἰσενέγκωμεν.

μη. ΠΕΡΙ ΑΝΤΩΝΙΟΥ ΤΟΥ ΘΗΒΑΙΟΥ ΤΑ ΣΠΛΑΓΧΝΑ ΠΑΣΧΟΝΤΟΣ.

Ἔτι βοῶντος Ἀντωνίου πυνθάνομαι, ἔτι φωνὰς μεγάλας ἐκπέμποντος, ἔτι τὰ μέγιστα κράζοντος, οὐχ ἕνεκα τοῦ φυγόντος νοσήματος, ἀλλὰ τῆς δοθείσης χάριν ἰάσεως· ἣν σιωπᾶσθαι διὰ πολλὴν οὐκ ἀφίησιν εὔνοιαν, ἀλλὰ ταῖς λοιπαῖς αἰτεῖται συντάττεσθαι, αἷς ἤδη γεγράφαμεν, καὶ μίαν γενέσθαι ταῖς τούτων γραφαῖς

tem et ipse factus, martyribus qui sanaverant collaudatis, Pelusium repedavit. Et nos quoque hymnis eos coronantes, aliorum illis hymnorum fomitem, alterius miraculi scriptum inferimus.

48. DE ANTONIO THEBAEO QUI VISCERUM PATIEBATUR DOLOREM.

Adhuc clamantem audimus Antonium, adhuc magnas emittentem voces, adhuc eximie vociferantem, non propter languorem qui fugit, sed ob gratiam quae attributa est, quam taceri propter multam non sinit benivolentiam, sed cum reliquis poscit narrationibus dinumerari quas iam de-

ἐναρίθμιον· οὗ τὴν βόησιν ἐπαινέσαντες, τὴν αἴτησιν θᾶττον πληρώσωμεν.

Θηβαῖος ἦν ὁ Ἀντώνιος, καὶ πολίτης Ἀντωνίου * τῆς πόλεως· οὗτος βαρυτάτην ἔσχεν ἀσθένειαν, ἥτις οὐ παισὶν ἰατρῶν, οὐκ ἄλλοις ἀνθρώποις, οὐκ αὐτῷ τῷ νοσοῦντι καὶ πάσχοντι δήλη μέχρι σήμερον γέγονε, ἀλλ' ἄγνωστος ἀνθρώποις ἐγένετο, καὶ παυσαμένη καὶ πρὸ τούτοις ὑπάρξασα· ἐβόα γὰρ μόνον ὁ ἄῤῥωστος τὰ σπλάγχνα δεινῶς καταπρώγεσθαι, καὶ ὥσπερ ὑπὸ σκωλήκων βιβρώσκεσθαι, μήτε τὴν αἰτίαν εἰδὼς, μήτε τὸ πάθος παντελῶς ἐπιστάμενος· ἀλλὰ καὶ τῶν ἰατρῶν οἱ σοφώτεροι, καὶ δόξαν

* ita cod.

scripsimus, et unam fieri cum horum scripturis connumerandam; cuius voluntatem laudantes, petitionem citius impleamus.

Thebaeus erat Antonius, et civis Thebaidis Antonius * urbis. Hic gravissimam habebat infirmitatem, quae non discipulis medicorum, non aliis hominibus, non ipsi languenti usque hodie claruit, sed ignota erat hominibus, et primitus dum existeret, et postmodum cum cessasset. Clamabat enim tantum infirmus se atrociter visceribus comedi, neque causam sciens, neque passionem prorsus agnoscens. Sed et medicorum sapientissimi, et opinionem scientiae habentes, hunc saepissime intuentes per circuitum, alium et alium opina-

* ita cod.

εἰδήσεως ἔχοντες, τοῦτον συχνότατα βλέποντες κατὰ κάθοδον, ἄλλην καὶ ἄλλην τὴν νόσον ἐδόξαζον· καὶ νῦν μὲν ταύτην, νῦν δ' ἐκείνην ἐφήμιζον· καὶ ποτὲ μὲν τοῦτο, ποτὲ δ' ἐκεῖνο τὸ αἴτιον ἔλεγον· καὶ τὸ σήμερον ἀρέσαν μετὰ σοβαρᾶς ὀφρῦος τοῖς ἅπασιν, αὔριον σοβαρωτέρῳ φρονήματι διεπτύετο, καὶ πάλιν ὑπ' αὐτῶν ἀνετρέπετο, ἕτερον εἶναι καὶ οὐ τὸ χθιζὸν βεβαιούμενον· ὡς δὲ πολλῶν τοιούτων ὁ ἄρρωστος πεῖραν πολλὴν διῆλθεν, καὶ διαφορὰν τοῦ πάθους οὐχ εὕρισκεν, ἀλλ' ἐν ὀδύναις ἀεὶ ταῖς αὐταῖς ἐγνωρίζετο, μίαν εἶναι κακῶν διασκέπτεται τὴν πρὸς Κῦρον καὶ Ἰωάννην τοὺς μάρτυρας ἄφιξιν· εἰ μὴ γὰρ οὗτοι, φησὶν, ταύτης με τῆς ἀνάγ-

bantur morbum, et nunc quidem hunc, nunc vero illum diffamabant; et aliquando quidem hanc, aliquando autem illam esse causam asseverabant; et quod hodie omnibus placebat cum elato supercilio, cras magis elato sensu respuebatur; et iterum quod ab illis refutabatur, aliud hesternum fuisse affirmabatur. Cum autem infirmus multorum talium experimentum multum ac diversum percepisset, meliorationemque passionis non invenisset, sed in doloribus semper eisdem perseverare dinosceretur, unam esse solutionem deliberat, ad Cyrum scilicet et Iohannem profectionem; nisi enim isti me, ait, a necessitate libe-

ἐναρίθμιον· οὗ τὴν βόησιν ἐπαινέσαντες, τὴν αἴτησιν θᾶττον πληρώσωμεν.

Θηβαῖος ἦν ὁ Ἀντώνιος, καὶ πολίτης Ἀντωνίου * τῆς πόλεως· οὗτος βαρυτάτην ἔσχεν ἀσθένειαν, ἥτις οὐ παισὶν ἰατρῶν, οὐκ ἄλλοις ἀνθρώποις, οὐκ αὐτῷ τῷ νοσοῦντι καὶ πάσχοντι δήλη μέχρι σήμερον γέγονε, ἀλλ' ἄγνωστος ἀνθρώποις ἐγένετο, καὶ παυσαμένη καὶ πρὸ τούτοις ὑπάρξασα· ἐβόα γὰρ μόνον ὁ ἄῤῥωστος τὰ σπλάγχνα δεινῶς καταπρώγεσθαι, καὶ ὥσπερ ὑπὸ σκωλήκων βιβρώσκεσθαι, μήτε τὴν αἰτίαν εἰδὼς, μήτε τὸ πάθος παντελῶς ἐπιστάμενος· ἀλλὰ καὶ τῶν ἰατρῶν οἱ σοφώτεροι, καὶ δόξαν

* ita cod.

scripsimus, et unam fieri cum horum scripturis connumerandam; cuius voluntatem laudantes, petitionem citius impleamus.

Thebaeus erat Antonius, et civis Thebaidis Antonius * urbis. Hic gravissimam habebat infirmitatem, quae non discipulis medicorum, non aliis hominibus, non ipsi languenti usque hodie claruit, sed ignota erat hominibus, et primitus dum existeret, et postmodum cum cessasset. Clamabat enim tantum infirmus se atrociter visceribus comedi, neque causam sciens, neque passionem prorsus agnoscens. Sed et medicorum sapientissimi, et opinionem scientiae habentes, hunc saepissime intuentes per circuitum, alium et alium opina-

* ita cod.

εἰδήσεως ἔχοντες, τοῦτον συχνότατα βλέποντες κατὰ κάθοδον, ἄλλην καὶ ἄλλην τὴν νόσον ἐδόξαζον· καὶ νῦν μὲν ταύτην, νῦν δ' ἐκείνην ἐφήμιζον· καὶ ποτὲ μὲν τοῦτο, ποτὲ δ' ἐκεῖνο τὸ αἴτιον ἔλεγον· καὶ τὸ σήμερον ἀρέσαν μετὰ σοβαρᾶς ὀφρύος τοῖς ἅπασιν, αὔριον σοβαρωτέρῳ φρονήματι διεπτύετο, καὶ πάλιν ὑπ' αὐτῶν ἀνετρέπετο, ἕτερον εἶναι καὶ οὐ τὸ χθιζὸν βεβαιούμενον· ὡς δὲ πολλῶν τοιούτων ὁ ἄῤῥωστος πεῖραν πολλὴν διῆλθεν, καὶ διαφορὰν τοῦ πάθους οὐχ εὕρισκεν, ἀλλ' ἐν ὀδύναις ἀεὶ ταῖς αὐταῖς ἐγνωρίζετο, μίαν εἶναι κακῶν διασκέπτεται τὴν πρὸς Κῦρον καὶ Ἰωάννην τοὺς μάρτυρας ἄφιξιν· εἰ μὴ γὰρ οὗτοι, φησὶν, ταύτης με τῆς ἀνάγ-

bantur morbum, et nunc quidem hunc, nunc vero illum diffamabant; et aliquando quidem hanc, aliquando autem illam esse causam asseverabant; et quod hodie omnibus placebat cum elato supercilio, cras magis elato sensu respuebatur; et iterum quod ab illis refutabatur, aliud hesternum fuisse affirmabatur. Cum autem infirmus multorum talium experimentum multum ac diversum percepisset, meliorationemque passionis non invenisset, sed in doloribus semper eisdem perseverare dinosceretur, unam esse solutionem deliberat, ad Cyrum scilicet et Iohannem profectionem; nisi enim isti me, ait, a necessitate libe-

κης λυτρώσονται, ὡς καὶ τῶν κρυφίων τὴν ἔρευναν ἔχοντες, καὶ γινώσκειν δυνάμενοι τὰ τοῖς ἄλλοις ἀνθρώποις ἀθέατα, ἄλλος οὐδείς με σῶσαι δυνήσεται, χάριν τοιαύτην ἐκ Θεοῦ μὴ δεξάμενος.

Ταύτην εἰς τοὺς ἁγίους τὴν πίστιν φραξάμενος, πρὸς αὐτοὺς παραγίνεται, καὶ διετῆ χρόνον ἀνὰ τῶν αὐτῶν σηκὸν διαιτώμενος, καὶ πίστεως μὴ παθὼν τῆς εἰς τοὺς μάρτυρας ὕφεσιν, ἣν ὁ τοσοῦτος καιρὸς ἱκανὸς ἦν αὐτῷ κατεργάσασθαι, οὕτως ἀπαύστως ὡς ἔφημεν ὀδυνωμένῳ καὶ κράζοντι, καὶ μηδὲ νύκτας μηδὲ τῆς μετὰ ταύτην ἡμέρας τὸ σύνολον λήγοντι, τὴν ῥῶσιν ἀθρῶον κομίζεται· μήτε τι κελευσθεὶς δια-

raverint, qui et occultorum scrutinium habent, et cognoscere possunt quae aliis sunt hominibus invisibilia, alius nemo salvare me poterit, tali a Deo gratia non accepta.

Hac erga sanctos fide munitus, ad eos venit, et per biennium in eorum habitans templo, et fidei circa martyras defectum non patiens, ad quem nimirum operandum ei tantum tempus sufficiens fuerat; cum sic indesinenter, ut diximus, doleret atque clamaret, et neque nocte neque die quae post hanc fuerat terminaretur, subito percipit sospitatem, neque quid ageret iussus more omnium qui causa passionum in templo moraban-

πράξασθαι, ὥσπερ ἅπαντες οἱ παθόντες καὶ παθῶν ἕνεκα τῷ ναῷ παρεδρεύοντες, μήτέ τι διὰ γαστρὸς ἐμβαλὼν ἢ ἀναγαγὼν διὰ στόματος· μόνον δὲ τοὺς ἁγίους μετὰ τὴν ῥῶσιν ἑωρακέναι λέγοντας, ἰδού σε τῶν παθῶν ἐρυσάμεθα, καὶ πάθοις οὐκέτι ὃ μέχρι τοῦ παρόντος ὑπέμεινες· ἀναστὰς οὖν τὴν ἐνεγκαμένην κατάλαβε, μηκέτι τοῦτο δειλιῶν τὸ ἀῤῥώστημα· ἐκεῖ δὲ γιγνόμενος, εἰς ἡμέτερον ὄνομα φύτευσον ἄμπελον, καὶ ταύτην ἡμεῖς σὺν σοὶ γεωργήσομεν, καὶ φυλακὴν ὁμοῦ τὴν ἁρμόττουσαν ἡμῖν προσοισόμεθα, καὶ κοινῶς αὐτῆς καὶ τὸν βότρυν δρέψομεθα, καὶ πρὸς ληνὸν ἐρχόμενοι συμπατήσομεν· σὺ δὲ τὸν οἶνον μεθ' ἡμῶν μεριζόμενος τὴν μὲν σὴν ἀπόμοιραν λάμβανε, καὶ ὡς ἂν ἐθέλοις

tur, neque aliquid per ventrem immittens, aut per os educens; solos autem sanctos post sanitatem vidit sibi dicentes: ecce te a passionibus liberavimus, et patieris non iam quod eatenus pertulisti. Surgens ergo, ad urbem quae te protulit abi, ulterius hanc non formidans infirmitatem. Cum autem illuc perveneris, ad nomen nostrum planta vitem, et hanc tecum nos excolemus, et communiter eius vindemiabimus bonum, ad torcularque asportatum simul calcabimus. Tu autem vinum nobiscum dividens, partem quidem tuam accipe, et quomodocumque velis expende; par-

ἀνάλισκε· τὸ μέρος δὲ τὸ ἡμέτερον, τὸ κατ' ἔτος ἐνθάδε κατάβαλε εἰς οἶκον τοῦτον τὸν ἡμέτερον, καὶ τοῦτο τοῖς ἐν αὐτῷ νοσοῦσιν ἀδελφοῖς καταμέριζε.

Καὶ ταῦτα μὲν εἶπον οἱ μάρτυρες, καὶ οὐ μόνον εἶπον ἀλλὰ καὶ φήσαντες ἔπραξαν· ἐν Θηβαΐδι γὰρ ἀνελθὼν ὁ Ἀντώνιος, θᾶττον ὡς ἐκελεύσθη φυτεύει τὴν ἄμπελον, καὶ τοὺς ἁγίους ἐν πᾶσιν οἷς εἰρήκασιν εὑρὼν ἀντιλήπτορας, συνφυτεύοντας, συντρυγῶντας, καὶ τοὺς βότρυας συνθλίβοντας, καὶ δὴ μέγιστον εὐλογοῦντας, καὶ σκέποντας, καὶ πάντα ἀρεστὰ ποιοῦντας καὶ εὔκολα· κατ' αὐτὸ δὴ τὸ ἔτος διώρυξεν, ἐφύτευσεν, ἐτρύγησεν, ἐπάτησεν, καὶ τὸ τῶν

tem vero nostram huc per singulos annos devehe, in hanc videlicet domum nostram, et hanc languentibus in ea fratribus divide.

Et martyres quidem haec dixerunt, et non solum dixerunt, sed et dicentes egerunt. In Thebaidem namque cum venisset Antonius, plantat ocius sicut iussus est vitem, sanctos in omnibus quae dixere opitulatores inveniens, secum scilicet plantantes, secum excolentes, secum vindemiantes et botryones pariter comprimentes, et quod est potissimum benedicentes et protegentes, atque omnia quae difficilia videbantur, levia facientes atque facilia. Eodem namque anno fodit, planta-

ἁγίων μέρος κατήγαγεν εἰς τὸ τούτων σεβάσμιον τέμενος, καὶ τοῖς ἐν αὐτῷ διαφόροις κρατουμένοις νοσήμασιν, καὶ τὴν αὐτῶν ἀρωγὴν προσδεχομένοις διένειμε· τοῦτο δρῶν πολλοῖς διέμεινεν ἔτεσιν μέχρις ἔναγχος τὴν παροῦσαν ζωὴν ἀπολέλοιπεν.

Ἀντώνιος μὲν οὖν οὕτως ἀγνώστως ἐνόσησεν, καὶ νόσον ἄγνωστον ἔσχηκεν, καὶ ῥῶσιν ἄγνωστον ἔλαβεν. Ἀφναῖτις δέ τις γυνὴ, κώμης τοῦτο τῶν κατ' Αἴγυπτον ὄνομα, ὅθεν αὕτη γεγένητο, Ἀναστοῦν αὐτὴν ἐκάλουν οἱ γνώριμοι, πάθει παραπλησίῳ δουλεύουσα, οὔτε γὰρ τὴν νόσον ἐγίνωσκεν, οὔτε τῆς νόσου τὴν πρόφασιν, καὶ μήτε πρὸς ἰατροῦ κερδάναι δυνηθεῖσα τὴν

vit, vindemiavit, calcavit, sanctorumque partem ad horum templum deposuit, et his qui in eo diversis a languoribus tenebantur, eorumque praestolabantur opem, distribuit. Hoc autem gerens multis permansit annis, donec videlicet praesentem nuper vitam deseruit.

Itaque Antonius quidem ita ignoranter elanguit, et languorem ignotum habuit, et sanitatem accepit ignotam. Aphantis * autem quaedam mulier, castelli est hoc apud Aegyptum nomen, unde haec fuerat, Anastun hanc noti vocabant, quae passioni simili serviens, nam neque languorem sciebat, neque languoris occasionem, et neque a

* ita cod.

ἴασιν, ἢ τοῦ πάθους τὴν εἴδησιν, ἀλλ' ἐν ἀμφοῖν ἀπορήσασα, πρὸς τοὺς μάρτυρας ἔρχεται, πάσαις αὐτοὺς ἀπορείαις ἰσχύοντας πόρον ἐνθῆναι πιστεύουσα· ἔσχε δέ τινα διαφορὰν πρὸς Ἀντώνιον, οὐ μόνον τῆς φύσεως, τοῦτο γὰρ πρόδηλον, ἀλλὰ καὶ τοῦ λεχθέντος νοσήματος· δι' ὃ καὶ κοινῶς αὐτοὺς ἀμφοτέρους τετάχαμεν, διὰ τὴν τῶν παθῶν ὁμοιότητα· καὶ ἰδίως ἑκάτερον φέρομεν, τὴν διαφορὰν τῆς νόσου μηνύοντες· ἐκεῖνος μὲν οὖν τὰ ἔνδον ὑπενόει βιβρώσκεσθαι, αὕτη δὲ μολιβδήνου τινὸς βάρους ᾐσθάνετο· καὶ ὁ μὲν χρόνοις δύο θεραπεύεται, ἡ δὲ τρισσὶ τὴν νόσον διέφυγεν· καὶ ὁ μὲν ἀφανῆ τὴν ῥῶσιν ἐδέ-

medico lucrifacere sanitatem valebat, aut saltem passionis notitiam, sed in utroque deficiebat, ad martyras venit, qui adversus omnes praevalent difficultates, passioni exitum imponere credens. Verum quamdam habuit ab Antonio differentiam non solum sexus, hoc enim perspicuum, sed et praedicti languoris; propter quod et communiter utrumque posuimus, propter passionum similitudinem; et proprie utrumque proferimus, diversitatem languoris insinuantes. Denique ille quidem intus se comedi aestimabat, haec autem quoddam onus plumbeum sentiebat; et ille quidem annis curatus duobus, haec autem in tertio evadit languorem; et hic quidem invisam sanitatem ac-

ξατο, ἡ δὲ φανερῶς τὸ τῶν ἀλγηδόνων κατήγαγεν αἴτιον· λίθος οὗτος ἐτύγχανεν ᾠοῦ μεγάλου φέρων τὸ μέγεθος καὶ πάντας ἐκπλήττων ὁρώμενος, ὃν καὶ πρὸ τῆς τῶν ἁγίων θήκης αἰώρησεν, ἐπ' ἔτεσι πλείοσι φαίνεσθαι πρὸς μνήμην τοῦ θαύματος, καὶ τῶν δεδρακότων ἀνύμνησιν· ὅθεν καὶ ἡμεῖς τὴν περὶ αὐτῶν διήγησιν στήσαντες, τοὺς ἁγίους ὑμνήσωμεν, τῆς ἑκατέρων γνώσεως ἕνεκα, μᾶλλον δὲ ῥώσεως, καὶ φροντίδος τῆς εἰς τοὺς πρόσφυγας· οὐ θεραπείας γὰρ μόνον τῶν νοσημάτων φροντίζουσιν, ἀλλὰ καὶ τροφῆς καὶ σκεπάσματος κήδονται, ἑτέρας δῶρον ἰάσεως τῷ λόγῳ κηρύξωμεν.

cepit, ista vero manifeste dolorum causam deposuit. Lapis erat haec ovi magni magnitudinem ferens, et omnes stupefaciens visus, quem et ante sanctorum thecam suspendit, ut per annos plurimos esset omnibus manifestus, ad memoriam miraculi, et patrantium praeconum. Unde et nos de illis narratione ponderata, sanctos ob utriusque sanitatem et curam quam circa profugos agunt laudemus. Non enim tantum super curatione languorum solliciti sunt, sed et escae ac operimenti providentiam gerunt; et alterius sanitatis munus sermonibus praedicemus.

μθ. ΠΕΡΙ ΠΙΑΜΩΘ ΚΑΙ ΓΕΩΡΓΙΟΥ ΤΩΝ ΝΟΣΦΙΣΑΜΕΝΩΝ ΤΑ ΤΟΙΣ ΑΓΙΟΙΣ ΚΑΡΠΟΦΟΡΗΘΕΝΤΑ.

Πιαμὼθ ὁ αἰγύπτιος μαρτύρων μάστιγος πειραθεὶς καὶ δωρήματος, ἐκείνοις ὀφείλει συντάττεσθαι, οἷς ἐν τοῖς εἰς ἀλεξανδρέας γραφεῖσι θαύμασι παρεθέμεθα, ὅτε περὶ τοῦ τῶν ἁγίων ἐμβριθοῦς τε καὶ στύφοντος τὴν γραφὴν ἐποιούμεθα· ἀλλ' ἐπειδὴ τοῦτον ἐκεῖσε τεθῆναι τὸ γένος ἐκώλυσε, ἐπὶ καιροῦ παραγέγονε, δι' αὐτοῦ τὴν μαρτυρικὴν ἰσχὺν ἐνδειξόμενος· καὶ ὡς οὐ μόνον ἀλεξανδρέας τοὺς γείτονας εἰς αὐτοὺς παροινοῦντας ἀμύνασθαι δύνανται, τοῦτο γὰρ οἱ προλαβόντες παρέστησαν, ἀλλὰ καὶ τοὺς πόῤῥω διάγοντας, ὥσπερ καὶ

49. DE PIAMOTH ET GEORGIO QUI SANCTORUM OBLATIONES FRAUDATI SUNT.

Piamoth aegyptius martyrum flagellum et munus expertus, illis debuit sociari, quos inter miracula quae in Alexandrinos scripta sunt interposuimus, quando de sanctorum constantia et severitate faciebamus scripturam. Sed quia hunc illic poni genus prohibuit, tempore opportuno accessit per se martyricam fortitudinem ostensurus, et quod non solum in Alexandrinos, qui iuxta sunt, cum in se peccant, possunt ulcisci; hoc enim qui praecesserunt exhibuerunt; sed et in procul de-

τὰς ἰάσεις, οὐ μόνοις τοῖς πέλας, ἀλλὰ καὶ τοῖς πόῤῥω χαρίζονται.

Πιαμῶθ μὲν οὖν ἀθηροφάγος ἐτύγχανεν· δῆλον δὲ τὸ ἔθνος, ὡς χαλεπόν τε καὶ βάρβαρον, καὶ θηρῶν ἀγρίων οὐδὲν διενήνοχε, καὶ τὴν κλῆσιν δὲ φερώνυμον λέγουσιν· ἀεὶ γὰρ οὗτοι τὴν ἀθῆραν ἐσθίουσιν· ἀθῆραν δὲ προσαγορεύουσιν τὸν ἄρτον τὸν ἐν χύτραις μετὰ πέψιν ἑψώμενον· ὁ δὲ Γεώργιος ἐκ κώμης ὥρμητο τῆς κατὰ Σαΐν τὴν πόλιν Μετήλεως· τούτοις ἐκ διαφόρων ἐρχομένοις τόπων προσκυνῆσαι τοὺς μάρτυρας, γύναια δύο διάφορα, καὶ τόπων διαφόρων ὁρ-

gentes; sicut sanitates, etiam non modo his qui prope sunt tribuunt, sed et his qui longe sunt, conferunt.

Ergo Piamoth quidem atherophagus erat; clarum autem est quod et gens sic vocitetur, tamquam saeva et barbara, et quae a feris nihil bestiis distet. Porro et vocabulum pheronymum dicunt, semper enim isti atheran comedunt; atheran autem nuncupant panem qui post coctionem rursus in ollis decoquitur. Praeterea Georgius possessionis erat cuiusdam apud Aegyptum degentium (1). His a diversis venientibus locis martyras adorare, mulieres duae diversae ac diversorum

(1) Immo graece: *oriundus erat pago Metelide circa urbem Sain.*

ἐναρίθμιον· οὗ τὴν βόησιν ἐπαινέσαντες, τὴν αἴτησιν θᾶττον πληρώσωμεν.

Θηβαῖος ἦν ὁ Ἀντώνιος, καὶ πολίτης Ἀντωνίου * τῆς πόλεως· οὗτος βαρυτάτην ἔσχεν ἀσθένειαν, ἥτις οὐ παισὶν ἰατρῶν, οὐκ ἄλλοις ἀνθρώποις, οὐκ αὐτῷ τῷ νοσοῦντι καὶ πάσχοντι δήλη μέχρι σήμερον γέγονε, ἀλλ' ἄγνωστος ἀνθρώποις ἐγένετο, καὶ παυσαμένη καὶ πρὸ τούτοις ὑπάρξασα· ἐβόα γὰρ μόνον ὁ ἄῤῥωστος τὰ σπλάγχνα δεινῶς κατατρώγεσθαι, καὶ ὥσπερ ὑπὸ σκωλήκων βιβρώσκεσθαι, μήτε τὴν αἰτίαν εἰδὼς, μήτε τὸ πάθος παντελῶς ἐπιστάμενος· ἀλλὰ καὶ τῶν ἰατρῶν οἱ σοφώτεροι, καὶ δόξαν

* ita cod.

scripsimus, et unam fieri cum horum scripturis connumerandam; cuius voluntatem laudantes, petitionem citius impleamus.

Thebaeus erat Antonius, et civis Thebaidis Antonius * urbis. Hic gravissimam habebat infirmitatem, quae non discipulis medicorum, non aliis hominibus, non ipsi languenti usque hodie claruit, sed ignota erat hominibus, et primitus dum existeret, et postmodum cum cessasset. Clamabat enim tantum infirmus se atrociter visceribus comedi, neque causam sciens, neque passionem prorsus agnoscens. Sed et medicorum sapientissimi, et opinionem scientiae habentes, hunc saepissime intuentes per circuitum, alium et alium opina-

* ita cod.

εἰδήσεως ἔχοντες, τοῦτον συχνότατα βλέποντες κατὰ κάθοδον, ἄλλην καὶ ἄλλην τὴν νόσον ἐδόξαζον· καὶ νῦν μὲν ταύτην, νῦν δ' ἐκείνην ἐφήμιζον· καὶ ποτὲ μὲν τοῦτο, ποτὲ δ' ἐκεῖνο τὸ αἴτιον ἔλεγον· καὶ τὸ σήμερον ἀρέσαν μετὰ σοβαρᾶς ὀφρύος τοῖς ἅπασιν, αὔριον σοβαρωτέρῳ φρονήματι διεπτύετο, καὶ πάλιν ὑπ' αὐτῶν ἀνετρέπετο, ἕτερον εἶναι καὶ οὐ τὸ χθιζὸν βεβαιούμενον· ὡς δὲ πολλῶν τοιούτων ὁ ἄῤῥωστος πεῖραν πολλὴν διῆλθεν, καὶ διαφορὰν τοῦ πάθους οὐχ εὕρισκεν, ἀλλ' ἐν ὀδύναις ἀεὶ ταῖς αὐταῖς ἐγνωρίζετο, μίαν εἶναι κακῶν διασκέπτεται τὴν πρὸς Κῦρον καὶ Ἰωάννην τοὺς μάρτυρας ἄφιξιν· εἰ μὴ γὰρ οὗτοι, φησὶν, ταύτης με τῆς ἀνάγ-

bantur morbum, et nunc quidem hunc, nunc vero illum diffamabant; et aliquando quidem hanc, aliquando autem illam esse causam asseverabant; et quod hodie omnibus placebat cum elato supercilio, cras magis elato sensu respuebatur; et iterum quod ab illis refutabatur, aliud hesternum fuisse affirmabatur. Cum autem infirmus multorum talium experimentum multum ac diversum percepisset, meliorationemque passionis non invenisset, sed in doloribus semper eisdem perseverare dinosceretur, unam esse solutionem deliberat, ad Cyrum scilicet et Iohannem profectionem; nisi enim isti me, ait, a necessitate libe-

κης λυτρώσονται, ὡς καὶ τῶν κρυφίων τὴν ἔρευναν ἔχοντες, καὶ γινώσκειν δυνάμενοι τὰ τοῖς ἄλλοις ἀνθρώποις ἀθέατα, ἄλλος οὐδείς με σῶσαι δυνήσεται, χάριν τοιαύτην ἐκ Θεοῦ μὴ δεξάμενος.

Ταύτην εἰς τοὺς ἁγίους τὴν πίστιν φραξάμενος, πρὸς αὐτοὺς παραγίνεται, καὶ διετῆ χρόνον ἀνὰ τῶν αὐτῶν σηκὸν διαιτώμενος, καὶ πίστεως μὴ παθὼν τῆς εἰς τοὺς μάρτυρας ὕφεσιν, ἣν ὁ τοσοῦτος καιρὸς ἱκανὸς ἦν αὐτῷ κατεργάσασθαι, οὕτως ἀπαύστως ὡς ἔφημεν ὀδυνωμένῳ καὶ κράζοντι, καὶ μηδὲ νύκτας μηδὲ τῆς μετὰ ταύτην ἡμέρας τὸ σύνολον λέγοντι, τὴν ῥῶσιν ἀθρῶον κομίζεται· μήτε τι κελευσθεὶς δια-

raverint, qui et occultorum scrutinium habent, et cognoscere possunt quae aliis sunt hominibus invisibilia, alius nemo salvare me poterit, tali a Deo gratia non accepta.

Hac erga sanctos fide munitus, ad eos venit, et per biennium in eorum habitans templo, et fidei circa martyras defectum non patiens, ad quem nimirum operandum ei tantum tempus sufficiens fuerat; cum sic indesinenter, ut diximus, doleret atque clamaret, et neque nocte neque die quae post hanc fuerat terminaretur, subito percipit sospitatem, neque quid ageret iussus more omnium qui causa passionum in templo moraban-

πράξασθαι, ὥσπερ ἅπαντες οἱ παθόντες καὶ παθῶν ἕνεκα τῷ ναῷ παρεδρεύοντες, μήτέ τι διὰ γαστρὸς ἐμβαλὼν ἢ ἀναγαγὼν διὰ στόματος· μόνον δὲ τοὺς ἁγίους μετὰ τὴν ῥῶσιν ἑωρακέναι λέγοντας, ἰδού σε τῶν παθῶν ἐρυσάμεθα, καὶ πάθοις οὐκέτι ὃ μέχρι τοῦ παρόντος ὑπέμεινες· ἀναστὰς οὖν τὴν ἐνεγκαμένην κατάλαβε, μηκέτι τοῦτο δειλιῶν τὸ ἀῤῥώστημα· ἐκεῖ δὲ γινόμενος, εἰς ἡμέτερον ὄνομα φύτευσον ἄμπελον, καὶ ταύτην ἡμεῖς σὺν σοὶ γεωργήσομεν, καὶ φυλακὴν ὁμοῦ τὴν ἁρμόττουσαν ἡμῖν προσοισόμεθα, καὶ κοινῶς αὐτῆς καὶ τὸν βότρυν δρέψομεθα, καὶ πρὸς ληνὸν ἐρχόμενοι συμπατήσομεν· σὺ δὲ τὸν οἶνον μεθ' ἡμῶν μεριζόμενος τὴν μὲν σὴν ἀπόμοιραν λάμβανε, καὶ ὡς ἂν ἐθέλοις

tur, neque aliquid per ventrem immittens, aut per os educens; solos autem sanctos post sanitatem vidit sibi dicentes: ecce te a passionibus liberavimus, et patieris non iam quod eatenus pertulisti. Surgens ergo, ad urbem quae te protulit abi, ulterius hanc non formidans infirmitatem. Cum autem illuc perveneris, ad nomen nostrum planta vitem, et hanc tecum nos excolemus, et communiter eius vindemiabimus bonum, ad torcularque asportatum simul calcabimus. Tu autem vinum nobiscum dividens, partem quidem tuam accipe, et quomodocumque velis expende; par-

ἀνάλισκε· τὸ μέρος δὲ τὸ ἡμέτερον, τὸ κατ' ἔτος ἐνθάδε κατάβαλε εἰς οἶκον τοῦτον τὸν ἡμέτερον, καὶ τοῦτο τοῖς ἐν αὐτῷ νοσοῦσιν ἀδελφοῖς καταμέριζε.

Καὶ ταῦτα μὲν εἶπον οἱ μάρτυρες, καὶ οὐ μόνον εἶπον ἀλλὰ καὶ φήσαντες ἔπραξαν· ἐν Θηβαΐδι γὰρ ἀνελθὼν ὁ Ἀντώνιος, θᾶττον ὡς ἐκελεύσθη φυτεύει τὴν ἄμπελον, καὶ τοὺς ἁγίους ἐν πᾶσιν οἷς εἰρήκασιν εὑρὼν ἀντιλήπτορας, συνφυτεύοντας, συντρυγῶντας, καὶ τοὺς βότρυας συνθλίβοντας, καὶ δὴ μέγιστον εὐλογοῦντας, καὶ σκέποντας, καὶ πάντα ἀρεστὰ ποιοῦντας καὶ εὔκολα· κατ' αὐτὸ δὴ τὸ ἔτος διώρυξεν, ἐφύτευσεν, ἐτρύγησεν, ἐπάτησεν, καὶ τὸ τῶν

tem vero nostram huc per singulos annos devehe, in hanc videlicet domum nostram, et hanc languentibus in ea fratribus divide.

Et martyres quidem haec dixerunt, et non solum dixerunt, sed et dicentes egerunt. In Thebaidem namque cum venisset Antonius, plantat ocius sicut iussus est vitem, sanctos in omnibus quae dixere opitulatores inveniens, secum scilicet plantantes, secum excolentes, secum vindemiantes et botryones pariter comprimentes, et quod est potissimum benedicentes et protegentes, atque omnia quae difficilia videbantur, levia facientes atque facilia. Eodem namque anno fodit, planta-

ἁγίων μέρος κατήγαγεν εἰς τὸ τούτων σεβάσμιον τέμενος, καὶ τοῖς ἐν αὐτῷ διαφόροις κρατουμένοις νοσήμασιν, καὶ τὴν αὐτῶν ἀρωγὴν προσδεχομένοις διένειμε· τοῦτο δρῶν πολλοῖς διέμεινεν ἔτεσιν μέχρις ἔναγχος τὴν παροῦσαν ζωὴν ἀπολέλοιπεν.

Ἀντώνιος μὲν οὖν οὕτως ἀγνώστως ἐνόσησεν, καὶ νόσον ἄγνωστον ἔσχηκεν, καὶ ῥῶσιν ἄγνωστον ἔλαβεν. Ἀφναῖτις δέ τις γυνὴ, κώμης τοῦτο τῶν κατ' Αἴγυπτον ὄνομα, ὅθεν αὕτη γεγένητο, Ἀναστοῦν αὐτὴν ἐκάλουν οἱ γνώριμοι, πάθει παραπλησίῳ δουλεύουσα, οὔτε γὰρ τὴν νόσον ἐγίνωσκεν, οὔτε τῆς νόσου τὴν πρόφασιν, καὶ μήτε πρὸς ἰατροῦ κερδάναι δυνηθεῖσα τὴν

vit, vindemiavit, calcavit, sanctorumque partem ad horum templum deposuit, et his qui in eo diversis a languoribus tenebantur, eorumque praestolabantur opem, distribuit. Hoc autem gerens multis permansit annis, donec videlicet praesentem nuper vitam deseruit.

Itaque Antonius quidem ita ignoranter elanguit, et languorem ignotum habuit, et sanitatem accepit ignotam. Aphantis * autem quaedam mulier, castelli est hoc apud Aegyptum nomen, unde haec fuerat, Anastun hanc noti vocabant, quae passioni simili serviens, nam neque languorem sciebat, neque languoris occasionem, et neque a

* ita cod.

ἴασιν, ἢ τοῦ πάθους τὴν εἴδησιν, ἀλλ' ἐν ἀμφοῖν ἀπορήσασα, πρὸς τοὺς μάρτυρας ἔρχεται, πάσαις αὐτοὺς ἀπορείαις ἰσχύοντας πόρον ἐνθῆναι πιστεύουσα· ἔσχε δέ τινα διαφορὰν πρὸς Ἀντώνιον, οὐ μόνον τῆς φύσεως, τοῦτο γὰρ πρόδηλον, ἀλλὰ καὶ τοῦ λεχθέντος νοσήματος· δι' ὃ καὶ κοινῶς αὐτοὺς ἀμφοτέρους τετάχαμεν, διὰ τὴν τῶν παθῶν ὁμοιότητα· καὶ ἰδίως ἑκάτερον φέρομεν, τὴν διαφορὰν τῆς νόσου μηνύοντες· ἐκεῖνος μὲν οὖν τὰ ἔνδον ὑπενόει βιβρώσκεσθαι, αὕτη δὲ μολιβδήνου τινὸς βάρους ᾐσθάνετο· καὶ ὁ μὲν χρόνοις δύο θεραπεύεται, ἡ δὲ τρισσὶ τὴν νόσον διέφυγεν· καὶ ὁ μὲν ἀφανῆ τὴν ῥῶσιν ἐδέ-

medico lucrifacere sanitatem valebat, aut saltem passionis notitiam, sed in utroque deficiebat, ad martyras venit, qui adversus omnes praevalent difficultates, passioni exitum imponere credens. Verum quamdam habuit ab Antonio differentiam non solum sexus, hoc enim perspicuum, sed et praedicti languoris; propter quod et communiter utrumque posuimus, propter passionum similitudinem; et proprie utrumque proferimus, diversitatem languoris insinuantes. Denique ille quidem intus se comedi aestimabat, haec autem quoddam onus plumbeum sentiebat; et ille quidem annis curatus duobus, haec autem in tertio evadit languorem; et hic quidem invisam sanitatem ac-

ξατο, ἡ δὲ φανερῶς τὸ τῶν ἀλγηδόνων κατήγαγεν αἴτιον· λίθος οὗτος ἐτύγχανεν ὠοῦ μεγάλου φέρων τὸ μέγεθος καὶ πάντας ἐκπλήττων ὁρώμενος, ὃν καὶ πρὸ τῆς τῶν ἁγίων θήκης αἰώρησεν, ἐπ' ἔτεσι πλείοσι φαίνεσθαι πρὸς μνήμην τοῦ θαύματος, καὶ τῶν δεδρακότων ἀνύμνησιν· ὅθεν καὶ ἡμεῖς τὴν περὶ αὐτῶν διήγησιν στήσαντες, τοὺς ἁγίους ὑμνήσωμεν, τῆς ἑκατέρων γνώσεως ἕνεκα, μᾶλλον δὲ ῥώσεως, καὶ φροντίδος τῆς εἰς τοὺς πρόσφυγας· οὐ θεραπείας γὰρ μόνον τῶν νοσημάτων φροντίζουσιν, ἀλλὰ καὶ τροφῆς καὶ σκεπάσματος κήδονται, ἑτέρας δῶρον ἰάσεως τῷ λόγῳ κηρύξωμεν.

cepit, ista vero manifeste dolorum causam deposuit. Lapis erat haec ovi magni magnitudinem ferens, et omnes stupefaciens visus, quem et ante sanctorum thecam suspendit, ut per annos plurimos esset omnibus manifestus, ad memoriam miraculi, et patrantium praeconum. Unde et nos de illis narratione ponderata, sanctos ob utriusque sanitatem et curam quam circa profugos agunt laudemus. Non enim tantum super curatione languorum solliciti sunt, sed et escae ac operimenti providentiam gerunt; et alterius sanitatis munus sermonibus praedicemus.

μθ. ΠΕΡΙ ΠΙΑΜΩΘ ΚΑΙ ΓΕΩΡΓΙΟΥ ΤΩΝ ΝΟΣΦΙΣΑΜΕΝΩΝ ΤΑ ΤΟΙΣ ΑΓΙΟΙΣ ΚΑΡΠΟΦΟΡΗΘΕΝΤΑ.

Πιαμὼθ ὁ αἰγύπτιος μαρτύρων μάστιγος πειραθεὶς καὶ δωρήματος, ἐκείνοις ὀφείλει συντάττεσθαι, οἷς ἐν τοῖς εἰς ἀλεξανδρέας γραφεῖσι θαύμασι παρεθέμεθα, ὅτε περὶ τοῦ τῶν ἁγίων ἐμβριθοῦς τε καὶ στύφοντος τὴν γραφὴν ἐποιούμεθα· ἀλλ' ἐπειδὴ τοῦτον ἐκεῖσε τεθῆναι τὸ γένος ἐκώλυσε, ἐπὶ καιροῦ παραγέγονε, δι' αὐτοῦ τὴν μαρτυρικὴν ἰσχὺν ἐνδειξόμενος· καὶ ὡς οὐ μόνον ἀλεξανδρέας τοὺς γείτονας εἰς αὐτοὺς παροινοῦντας ἀμύνασθαι δύνανται, τοῦτο γὰρ οἱ προλαβόντες παρέστησαν, ἀλλὰ καὶ τοὺς πόῤῥω διάγοντας, ὥσπερ καὶ

49. DE PIAMOTH ET GEORGIO QUI SANCTORUM OBLATIONES FRAUDATI SUNT.

Piamoth aegyptius martyrum flagellum et munus expertus, illis debuit sociari, quos inter miracula quae in Alexandrinos scripta sunt interposuimus, quando de sanctorum constantia et severitate faciebamus scripturam. Sed quia hunc illic poni genus prohibuit, tempore opportuno accessit per se martyricam fortitudinem ostensurus, et quod non solum in Alexandrinos, qui iuxta sunt, cum in se peccant, possunt ulcisci; hoc enim qui praecesserunt exhibuerunt; sed et in procul de-

τὰς ἰάσεις, οὐ μόνοις τοῖς πέλας, ἀλλὰ καὶ τοῖς πόῤῥω χαρίζονται.

Πιαμὼθ μὲν οὖν ἀθηροφάγος ἐτύγχανεν· δῆλον δὲ τὸ ἔθνος, ὡς χαλεπόν τε καὶ βάρβαρον, καὶ θηρῶν ἀγρίων οὐδὲν διενήνοχε, καὶ τὴν κλῆσιν δὲ φερώνυμον λέγουσιν· ἀεὶ γὰρ οὗτοι τὴν ἀθῆραν ἐσθίουσιν· ἀθῆραν δὲ προσαγορεύουσιν τὸν ἄρτον τὸν ἐν χύτραις μετὰ πέψιν ἑψώμενον· ὁ δὲ Γεώργιος ἐκ κώμης ὥρμητο τῆς κατὰ Σαΐν τὴν πόλιν Μετήλεως· τούτοις ἐκ διαφόρων ἐρχομένοις τόπων προσκυνῆσαι τοὺς μάρτυρας, γύναια δύο διάφορα, καὶ τόπων διαφόρων ὁρ-

gentes; sicut sanitates, etiam non modo his qui prope sunt tribuunt, sed et his qui longe sunt, conferunt.

Ergo Piamoth quidem atherophagus erat; clarum autem est quod et gens sic vocitetur, tamquam saeva et barbara, et quae a feris nihil bestiis distet. Porro et vocabulum pheronymum dicunt, semper enim isti atheran comedunt; atheran autem nuncupant panem qui post coctionem rursus in ollis decoquitur. Praeterea Georgius possessionis erat cuiusdam apud Aegyptum degentium (1). His a diversis venientibus locis martyras adorare, mulieres duae diversae ac diversorum

(1) Immo graece: *oriundus erat pago Metelide circa urbem Sain.*

μώμενα, προσφορὰς διαφόρους τοῖς ἁγίοις προσφέρειν παρέχουσιν· τῷ μὲν γὰρ Πιαμὼθ τριμήσια δύο δέδωκεν· ὗν δὲ καὶ τῷ Γεωργίῳ παρέσχε τὸ ἕτερον· ἃ δι' ἑαυτὸν μὲν ἔλεγον ἐνέγκαι συντάξασθαι, μὴ δυνάμεναι δὲ ταῦτα δι' ἑαυτῶν προσενέγκασθαι, ἀνάγκῃ τινὸς τὴν πορείαν κωλύοντος, διακόνοις τούτοις ἐκέχρηντο, ἵνα ταῦτα φασὶν ἀπιόντες, τοῖς ἁγίοις ὑπὲρ ἡμῶν προσκομίσητε· χρέος γὰρ ταῦτα καὶ οὐ δῶρον τυγχάνουσιν· οἱ δὲ τὰς αἰτήσεις τῶν γυναίων δεξάμενοι, σὺν αὐταῖς καὶ τὰ διδόμενα δέχονται, οὐ φιλαδελφίας ἕνεκα καὶ τιμῆς τῆς πρὸς τοὺς μάρτυρας, ὑπῆρχον γὰρ ἂν καὶ μακάριοι, μαρτυρικοῦ σεβάσματος καὶ φιλαλληλίας χά-

locorum oriundae, oblationes diversas sanctis tribuunt offerendas: nam harum quidem altera Piamoth trimisia duo tribuit, suem autem Georgio praebuit altera; quae per se quidem oblaturas se vovisse dicebant, sed cum haec per se deferre non possent, necessitate cuiusdam qui viam impediebat, his qui ministri opus habebant, ut haec aiunt abeuntes offeratis sanctis pro nobis; debitum enim haec, et non donum consistunt. At illi postulationibus feminarum acceptis, cum eis etiam quae dantur assumunt, non amoris fraternitatis vel honoris martyrum causa, essent enim beati si martyrici cultus, et mutui amoris gratia haec egis-

ριν τοῦτο ποιούμενοι· ἀλλ' ὅτι κλέπται ἦσαν· τοῦτο γὰρ καὶ περὶ τούτων εἰπεῖν κατὰ τὸν θεῖον Ἰωάννην ἔστιν ἁρμόδιον· καὶ τὸ δοθὲν οἰκεῖον προσεδόκων λημμάτιον· ὃ καὶ πεπράχασιν, ἀγνοεῖν τοῦτο τοὺς ἁγίους οἰόμενοι· ἀλλ' ὄντως οἱ δείλαιοι ἀμφότεροι κακῶς πραγματεύονται· εὐτελέσι γὰρ λήμμασι καὶ σμικροτάτοις πάνυ τιμήμασιν, βασάνους μεγάλας κομίζονται, καὶ τιμωρίας οὐ μετρίας ὑφίστανται· ἵν' αἰγυπτίων πάντων παιδευταὶ γένοιντο καὶ διδάσκαλοι, ἁγίους σέβειν ὡς ὤφελον, καὶ τῆς αὐτῶν μὴ καταπτύειν δυνάμεως· λαβόντες γὰρ τῶν Γυναίων τὰ τάγματα, καὶ πρὸς προσευχὴν ἀφικόμενοι, ταῦτα καθ' ὁδὸν δαπανήσαντες, πάλιν ἀπέρχον-

sent, sed quia fures erant; hoc enim etiam de his secundum divinum Iohannem apte dicendum est; et quod datum fuerat, proprium expectabant munusculum facere, quod et gesserunt, hoc sanctos ignorare putantes. Sed vere miseri ambo male mercati sunt; vilibus enim acceptionibus et valde modici pretii tormenta magna percipiunt, et poenas haud mediocres incurrunt, quo Aegyptiorum omnium eruditores fierent et magistri, sanctos ut debitum est colendi, eorumque virtutem minime respuendi. Acceptis enim mulierum votis, ad orationem profecti sunt, et his in via consumptis, redeunt, cum Cyro nihil et Iohan-

ται, Κύρῳ μηδὲν καὶ Ἰωάννῃ τοῖς μάρτυσι, ὧν ἐκομίσαντο, προσκομίσαντες.

Καὶ τούτων γινωσκομένων ἐμακροθύμουν οἱ ἅγιοι, τὴν μετάγνωσιν αὐτῶν ἀναμένοντες, καὶ τὸν δεσπότην Χριστὸν καὶ ἐν τούτῳ φιλανθρωπίᾳ μιμούμενοι· ἀλλ' ὡς ἴδον καταλαβόντας τὰ ἴδια, καὶ πρὸς μὲν ἑαυτοὺς ἀναστρέψαντας, οὐκ ἀναστρέψαντας δὲ πρὸς μετάνοιαν, ἀξίως ἀμφοτέρους αἰκίζονται· τοῦ μὲν Πιαμῶθ πόδας καὶ χεῖρας συνδήσαντες, καὶ πᾶν αὐτοῦ τὸ σῶμα ταῖς τῆς παρέσεως ὀδύναις μαστίξαντες· Γεωργίου δὲ, τοῦτον συγκαταβρώξαντι πονηροτάτῳ δαίμονι τὴν εἰσβολὴν συγχωρήσαντες· γνόντες δὲ θᾶττον οἱ τάλανες τοὺς κακώσαντας, καὶ διαρ-

ni martyribus ex his quae collata fuerant, obtulissent.

Et his gestis, aequanimiter ferebant sancti, paenitentiam eorum expectantes, et domini Christi etiam in hoc misericordiam imitantes. Sed cum vidissent eos ad propria remeasse, et ad se conversos, non autem conversos ad paenitentiam, digne flagellant utrumque; Piamoth quidem manus et pedes colligantes, et totum corpus eius paralyseos doloribus verberantes; Georgii autem, qui cum altero acceptum porcum * comederat, pessimo daemonio introitum indulgentes. Cumque maturius

* Videtur Anastasius legisse τούτῳ ὃν συγκαταβρώξαντος.

ῥήδην πᾶσιν ὁμολογήσαντες τοῖς οἰκείοις τὰ πταίσματα, αἰτήσαντες δὲ καὶ τὰ γύναια τὰ τὰς προσφορὰς αὐτοῖς παρασχόμενα, κατάραις αὐτοῖς μὴ καθάπτεσθαι, πρὸς τοὺς ἁγίους ὡς οὐκ ἤλπισαν ἔρχονται, καὶ συγγνώμης τυχεῖν ἐλιτάνευον ὧν εἰς αὐτοὺς ἡμαρτήκασιν, σωφρονεῖν τοῦ λοιποῦ συνταττόμενοι.

Οἱ δὲ μάρτυρες τὸν Πιαμὼθ ἐπὶ μῆνας ἓξ αἰκισάμενοι τῶν βασάνων ἀφίασιν· καὶ τὸν τρόπον δὲ λέξομεν τῆς ἀφέσεως· ἔστιν γὰρ διηγήσεως ἄξιος· ἐκάθευδε Πιαμὼθ ἐπὶ στρώματα, καὶ βλέπειν ἐδόκει τοὺς ἁγίους ὁράματι ταῦτα προσελθόντας καὶ λέγοντας· θέλεις τυχεῖν τῆς ἰάσεως καὶ φυγεῖν τῆς νόσου τὴν βάσανον; ὁ δὲ

miseri affligentes se cognovissent, et palam omnibus suis proprias confessi culpas fuissent, postulassentque feminas, quae oblationes sibi praebuerant, ne se maledictionibus impeterent, ad sanctos sicuti non speraverant veniunt, et veniam de his quae in eos peccaverant impetrare deprecabantur, corrigi de cetero pollicentes.

Martyres autem cum Piamoth per menses sex verberassent, a suppliciis dimiserunt. Et modum quoque dicemus dimissionis; est enim narratione dignus. Dormiebat Piamoth, et aspicere sanctos in visu putabat ad se venientes atque haec dicentes: vis adipisci sanitatem et fugere a languoris

καὶ μάλα, πρὸς αὐτοὺς ἀπεκρίνατο· εἰ βούλῃ φασὶν ταύτην ἐκδύναι τὴν μάστιγα, τὰ δύο τριμήσσια κόμιζε, ἅπερ λαβὼν οὐκ ἐκόμισας, καὶ κομίζου θᾶττον τὴν ἴασιν· ὁ δὲ στραφεὶς, οὐδὲ γὰρ ἦν αὐτὰ παρασχόμενος, οὐδὲ κομίσας ἐρχόμενος, τοῖς γνωρίμοις τὸν ὄνειρον ἤγγειλεν· οἱ δὲ τοῦτο τὸ λεχθὲν ἀργύριον ἐν χρήσει διδόασιν, ὅπερ λαβὼν ὁ νοσῶν καὶ προσενέγκας τοῖς μάρτυσιν, τῶν πληγῶν ἀπολύεται, παιδευθεὶς αὐτῶν τὴν ἐξαίσιον δύναμιν, καὶ τοιαῦτα μηκέτι τολμᾶν ἐπομνύμενος· Γεώργιον δὲ τοῦ πονηροῦ δαίμονος οὔπω λυτροῦσθαι κεκρίκασιν ἄξιον, ἀλλ' ἐπεὶ παρ' αὐτοῖς δι' αὐτοῦ παιδευόμενον ἔχουσιν, καὶ κοσμεῖν αὐτῶν τὸν νεὼν

supplicio? At ille ad eos: et valde, respondit. Si vis, aiunt, hoc flagellum evadere, duo trimisia defer quae accepisti et non attulisti, et reporta celerius. Ast conversus, neque enim illa tribuerat, neque cum veniret attulerat, notis somnium indicavit; qui huic praedictam pecuniam commodant, qua languidus accepta, martyribusque oblata, a plagis dimittitur, mirandam eorum virtutem expertus, et ultra se talia non praesumpturum iureiurando pollicitus. Georgium autem a nequam daemonio, necdum liberare iudicavere dignum, sed adhuc penes se per illud erudiendum habent, et purgare bis suum in die templum san-

δὶς τῆς ἡμέρας ἐθέσπισαν, ὅπως ἂν κάτω βλέπων συχνότερον, καὶ τὸ νῦν ὃν εἰλήφει μιμούμενος, μνημονεύοι τοῦ πταίσματος, καὶ μεταγινώσκοι τοῦτο κακίστως πραξάμενος· ἡμεῖς δὲ καὶ διὰ τούτων τῶν ἁγίων ἐγνωκότες τὴν δύναμιν, ἔργοις αὐτοὺς ἀγαθοῖς εὐμενεῖς ποιησώμεθα· καὶ διὰ ταῦτα πάλιν αὐτοὺς ἀνυμνήσαντες, εὐργεσιῶν αὐτῶν μᾶλλον ἑτέρων καὶ οὐκ ἀπειλῶν τοῦ λοιποῦ μνημονεύσωμεν.

ν. ΠΕΡΙ ΝΩΝΝΟΥ ΤΟΥ ΤΟΝ ΠΟΔΑ ΗΜΙΞΗΡΟΝ ΕΧΟΝΤΟΣ.

Ἐπειδὴ τὸ πρὸ τούτου τεράστιον οὐ μετρίως ἡμᾶς τὴν τῶν ἁγίων ἰσχὺν ἐξεπαίδευσεν, ἔδειξεν γὰρ ὅσον ἐμβριθεῖς εἰσὶ καὶ φιλάνθρωποι,

xerunt, quatinus deorsum saepe prospiciens, et in suem quem acceperat mutatus, recordetur delicti, et sese hoc nequiter egisse paeniteat. Nos autem etiam per hos agnita sanctorum virtute, operibus eos bonis placidos faciamus, et propter haec eos iterum laudibus efferentes, aliorum beneficiorum ipsorum, potius quam minarum, de cetero memoriam faciamus.

50. DE NONNO SEMIARIDUM PEDEM HABENTE.

Quoniam prodigium, quod ante hoc praecessit, non mediocriter nos virtutem sanctorum edocuit; ostendit enim quantum severi, quantumque sint

καὶ ὡς παιδεύουσι κατὰ λόγον τοὺς πταίοντας, καὶ πάλιν ἰῶνται τοὺς εἰς μετάνοιαν βλέποντας, ἐν ᾧπερ οὐκ ἔπρεπε τῶν εἰς αἰγυπτίους καὶ λίβυας πραχθέντων τεράτων τοῖς μάρτυσι, πέρας λαβεῖν τὴν διήγησιν, ἐξ εὐεργεσίας μὲν ἀρξαμένην καὶ συμπαθείας τῆς πρὸς τοὺς πάσχοντας, εἰς ἄμυναν δὲ καὶ πταισμάτων ὑπεξέλευσιν λήξασαν· ἀλλ' ὥσπερ ἐκ φιλανθρωπίας καὶ χάριτος ἤρξατο, οὕτω πρὸς τέλος καταπαῦσαι φιλάνθρωπον, κατὰ τὴν τοῦ κύκλου γραμμὴν ἐναρμόνιον, ἀπὸ τοῦ αὐτοῦ λαβοῦσα τὴν ἀρχὴν τῆς κινήσεως, ἐπὶ τὸ αὐτὸ πάλιν ἐλθοῦσα λαβεῖν τὴν κατάπαυσιν· οὐκοῦν ἀρχὴν καὶ τέλος ἐχέτω φιλάνθρωπον· οὕτω γὰρ καὶ τὰ μέσα πέρασι τοιούτοις κρατούμενα, φιλάνθρωπα

misericordes, et quam corripiant rationabiliter hos qui ad paenitentiam spectant; in quo non decuerat narrationem prodigiorum in Aegyptios et Libyos a martyribus patratorum sumere finem, ita ut a beneficio et compassione circa languentes sit inchoata, et in ultionem ac vindictam excessuum terminata; sed sicut a misericordia et gratia coepit, ita in finem desinere misericordem, secundum aptam lineam cycli quae cum ab eodem motus sumat initium, in idipsum rursus cessationem sumptura recurrit. Ergo principium et finem misericordia teneat; sic enim et media cum talibus ter-

πάντως κριθήσεται " καὶ διὰ σαρκικὸν ἡμῖν φρόνημα τὰ μὴ τοιαῦτα τυγχάνειν νομίζηται * ,, ἐκεῖνο τοίνυν ὡς δοκοῦν λυπηρὸν παρελεύσαντες, ἐν τούτῳ τὴν εἰς αἰγυπτίους καὶ λίβυας γραφὴν συνπεράσωμεν· καὶ οὕτως σὺν θεῷ καὶ τοῖς μάρτυσι τῶν ἐπὶ ξένοις γεγονότων θαυμάτων ἀρξώμεθα· εἶναι δὲ τοῦτο καλὸν ὑπειλήφαμεν, ἵν' ἀπ' αἰγυπτίων ἀρξάμενοι, εἰς λίβυας καταλήξωμεν καὶ ἐν αὐτοῖς καταπαύσωμεν· ὡς ἂν οἱ μὲν τὴν ἀρχὴν, οἱ δὲ τὸ τέλος τῆς διηγήσεως κληρωσάμενοι, πρὸς ἀλλήλους οὐδὲν διαμάχωνται, ὡς λιβύων μᾶλλον καὶ οὐκ αἰγυπτίων, ἢ ὡς αἰγυπτίων καὶ οὐ λιβύων ὄντος τοῦ γράμματος, ἀλλὰ κοινὸν αὐτὸ λογισάμενοι ὡς πρέπει κοινῷ πρὸς ἑαυτοὺς εἰρηνεύοιεν.

* haec desunt in cod.

minis confirmata misericordia nimium cernentur. Illud igitur utpote triste putatum praetereuntes, in hoc scripturam quam in Aegyptios et Libyos scripsimus, terminemus. Sicque cum Deo et martyribus miracula, quae in exteris facta sunt, inchoemus. Porro et hoc esse bonum arbitrati sumus quod ab Aegyptiis incipientes in Libyos desinamus, quatinus alii illi quidem principium, alii vero narrationis finem sortiti, adversus invicem nullatens dimicent, quasi Libyorum potius et non Aegyptiorum, vel quasi Aegyptiorum et non Libyorum scriptura consistat; sed commu-

Παρείτω γοῦν ἡμῖν εἰς μέσον ὁ Νῶννος πληρῶν ἐφ' ἑαυτῷ τὴν διήγησιν, καὶ πέρας ἐπιτιθεὶς τοῖς γραφεῖσιν εἰς αἰγυπτίους καὶ λίβυας θαύμασιν, ὡς καὶ Λιβύην, καὶ Νικίου τῆς ἐκεῖσε πόλεως ὥρμητο, καὶ τῶν ἐν πλούτῳ γνωριζομένων ἐτύγχανεν, καὶ γένει διέπρεπεν ἐπισήμῳ κατὰ χώραν ὑπάρξαντι. Νῶννος οὖν οὗτος ὁ ἐν πολλοῖς λαχὼν τὸ ἐξαίρετον, καὶ πάθει δεινῷ διέλαμπε σώματος· τοῦτο δ' ἦν αὐτοῦ τὸ ἀῤῥώστημα, τοῦ δεξιοῦ ποδὸς ἡ ἀσθένεια· τοῦτον γὰρ ἔσχεν ἡμίξηρον, ξύλου μηδὲν διαφέροντα, ἀλλὰ πάσης ποδῶν ἐνεργείας χηρεύοντα, καὶ σῶμα τὸ λοιπὸν μηδὲν εὐεργετῆσαι δυναμε-

nem hanc deputantes, communiter ut condecet pace mutua perfruantur.

Adsit itaque nobis Nonnus in medium veniens, et in se narrationem adimplens, et finem imponens miraculis quae in Aegyptios et Libyos scripta sunt, qui et libyus erat, et illic Nicii civitatis oriundus, et ex his qui in divitiis erant opinatissimi, et genere florebant apud regionem suam insigni. Nonnus ergo iste, qui in multis erat praecipuus, et crudeli corporis passione clarissimus. Haec autem erat aegrotatio, dextri pedis infirmitas; hunc quippe habebat semiaridum; a ligno sicco nihil distantem, sed omni pedum operatione carentem, corporisque residuo nil prodes-

τον, ἀλλὰ καὶ βλάψαι τὰ μέγιστα· οὐ μόνον γὰρ οὐκ ἐβάσταζεν ὃ βαστάζειν πρὸς τοῦ πεπλακότος κεκλήρωτο, ἀλλὰ μάτην ἐκ τούτου μόνον ἐκρέματο, αὐανθέντα κλάδον καὶ τοῦ δένδρου κρεμάμενον, ὡς ἐν εἰκόνι φράσαι, μιμούμενος· τάχα δὲ καὶ τούτου χείρων ὑπῆρχε τῷ σώματι· ὁ κλάδος μὲν γὰρ τὸ δένδρον ἴσως οὐδὲν τὸ φέρον αὐτὸν ἐλυμήνατο, ἀλλ' αὐτὸς μὲν οἷος ὑπῆρχε διέμενεν· τὸ δὲ δένδρον καὶ τεθηλὸς κατὰ τοὺς λοιποὺς αὐτοῦ κλάδους ἐφαίνετο καὶ τὸ στέλεχος, καὶ φύλλοις κατὰ καιρὸν ὡραΐζετο, καὶ καρποῖς εἰ τύχοι τοιοῦτον ἐβρίθετο, καὶ χωρεῖν ἐπ' αὐτῷ τὸν γεωργὸν παρεσκεύαζε, καὶ τῆς εὐλογίας αὐτοῦ κατὰ Παῦλον εἰπεῖν τὸν μα-

se, sed potius obesse valentem. Non solum enim non portabat quod portare a fictore sortitus est, sed in vanum ex hoc tantum pendebat, arefactum ramum et pendentem ab arbore, uti in imagine dixerim, imitatus. Fortassis autem et huius corpori peior erat; nam ramus quidem arborem quae se ferret, in nullo fortassis exterminaret, sed ipse qualis esset maneret; ast arbor etiam florens secundum reliquos ramos et stipitem videretur, et foliis secundum tempus decoraretur, et fructibus si contigisset huiusmodi gravaretur, et gaudere super se agricolam faceret, et de benedictionibus suis, ut iuxta Paulum dicamus, impertiretur, ab

νόριον μετελάμβανεν, οὐδὲν ἀπὸ τοῦ κλάδου τοῦ ξηρανθέντος βλαπτόμενον· ἐνταῦθα δὲ οὐ μόνον ὁ ποῦς τῆς οἰκείας ἐστέρητο (ἐνεργείας), ἀλλὰ καὶ ὅλον τὸ σῶμα συναλγεῖν αὐτῷ κατηνάγκαζε· καὶ εἴθε ἦν ἀνενέργητος, καὶ μὴ παντὸς τοῦ σώματος τὴν ἀργείαν εἰργάζετο· εἶχε δὲ καὶ τούτου τί χαλεπώτερον· πάσχων γὰρ αὐτὸς καὶ ταῖς ὀδύναις κρατούμενος, συμπάσχειν αὐτῷ καὶ πᾶν μέλος ἐποίει τοῦ σώματος· ἀληθεύει γὰρ ὁ εἰπὼν πάντα τὰ μέλη τοῦ σώματος τῷ μέλει συμπάσχειν τῷ πάσχοντι· ὥσπερ καὶ δοξαζομένῳ ἑνὶ πεφύκασι συνδοξάζεσθαι.

Καὶ τοῦτο μὲν τοῦ Νώννου τὸ νόσημα, ὅπερ εὐθέως ἀρξάμενον, καὶ μὴ φανερὸν τοῖς πᾶσι γενόμενον ἰατρῶν ἔσχε πλῆθος ἀντίπαλον, καὶ

arefacto ramo nullatenus laesa. Hic autem non solum propria operatione carebat, sed et totum corpus otiosum secum fore cogebat. Et utinam esset sine operationis effectu, et non totius corporis ferias effecisset! Habebat autem hoc aliquid saevius; dum enim ipse pateretur, et a laboribus teneretur, compati sibi omne membrum corporis faciebat: veritatem namque dicit, omnia membra corporis membro compati patienti; sicut et gloriam habente, cetera constat simul glorificari.

Et hic quidem Nonni languor erat; qui mox ut coepisset nondumque omnibus manifestus es-

τούτων μάλιστα τοὺς ἐν λόγοις ἐξέχοντας· οἳ πολλάκις λόγους μόνον τοῖς νοσοῦσιν χαρίζονται, τούτων οὐδὲν εἰς ἔργον προφέροντες· ὅσῳ δὲ προέκοπτε, τοσοῦτον τοὺς μαχομένους ἔβλεπεν ἥττονας· καὶ ὅσον αὐτῷ τὴν αὔξησιν ἐπεδείκνυτο, τοσοῦτον αὐτοὶ κατὰ βραχὺν ἐσμικρύνοντο· ἕως ἐλθὼν πρὸς τὸ τέλειον, οἷον ἦν γενόμενον γνώριμον, ἐπ' ἀδείας ἐτυράννει τὸν ἄνθρωπον, οὐδένα λοιπὸν ἔχον ἐν ἀνθρώποις ἀντίπαλον.

Τούτου δὲ τὴν νίκην κἀκείνων τὴν ἧτταν ὁ νοσῶν θεασάμενος, Κύρῳ καὶ Ἰωάννῃ τοῖς μάρτυσιν ὡς ἰατροῖς ἀηττήτοις προσέδραμεν, καὶ ὡς πάντα πράττειν ἰσχύουσιν ὅσα δρᾷν ἐθελή-

set, medicorum habebat multitudinem inimicam, et illorum maxime qui sermonibus excellebant, quique saepe verba sola languentibus donant, horum nil producentes in opus. Eo autem proficiebat, quo sibi repugnantes infirmiores aspiciebat; et quantum ipse incrementi monstrabat, tantum suae paulatim isti minorationis plorabant; donec veniens ad perfectionem, qualis esset effectus, dinosceretur; et licenter impeteret hominem, nullum habens inter homines hostem.

Huius autem victoria, illorumque superatione languidus visa, ad Cyrum et Iohannem martyres, tamquam ad insuperabiles medicos currit, quique omnia gerere queunt, quaecumque gerere

σωσιν· τοσαύτην γὰρ αὐτοῖς τὸ θεῖον παρέσχε τὴν δύναμιν ὡς πρὸς πᾶν ἀρκεῖν ἀῤῥώστημα δύνασθαι· ὅθεν τὸν ἄνδρα τῆς εἰς αὐτοὺς ἀγασάμενοι πίστεως, ἐναργοῦς ἠξίωσαν γνώσεως, ἧς καὶ πρὸ πείρας τὴν πίστιν ἐκέκτητο· καὶ νυκτὸς εἰς αὐτὸν ἀφικόμενοι, ἐλαίῳ τὸ φέγγος ἀκοίμητον παρὰ τὴν αὐτῶν σορὸν ἀπαυγάζοντι, ἢ κηρωτῇ τῇ κατὰ πάσης ἐχούσῃ νόσου τὸ δύνασθαι ἀλείφειν τὸν πόδα κελεύουσιν· ὃ ποιῶν μετὰ τὴν μαρτυρικὴν ἐπιφάνειαν, ὑγειᾶ καὶ τοῦτον ὡς τὸν ἄλλον ἐκτήσατο· ὡς λήθην παντοίαν ποιήσασθαι τὸ δῶρον λαβὼν τῆς ἰάσεως τοῦ πρὸ ταύτης χαλεποτάτου νοσήματος· λαμπρᾷ δὲ φωνῇ τοῖς ἁγίοις προσενέγκας τὴν αἴνεσιν, καὶ τὴν

volunt; tantam enim virtutem illis divinitas praestitit, ut adversus omnem languorem possint sufficere. Unde virum fidei erga se habitae admirantes, evidenti dignum fecere scientia, cuius scilicet fidem etiam ante probationem possederant. Et noctu ad eum venientes, oleo quo splendor non dormiens penes confessionem eorum radiabat, et cerote adversus omnem habente posse languorem, linire pedem praecipiunt; quo post martyricam illustrationem facto, sanum et hunc sicut alterum acquisivit, ita ut omnimodam oblivionem faceret, dono sanitatis accepto, saevissimi qui praecessit languoris. Praeterea clara voce laude sanctis

αὐτῶν ἀρωγὴν σύνοικον ἔχειν εὐξάμενος, χαίρων καὶ σκιρτῶν τοῦ τεμένους ἀπέρχεται· ἡμεῖς δὲ τούτων τῶν εἰς αἰγυπτίους καὶ λίβυας διηγηθέντων θαυμάτων, πέντε δὲ ταῦτα πρὸς τοῖς δέκα τυγχάνουσιν, τέλος τευξάμενοι, τοὺς τούτων θεραπευτὰς εὐφημήσωμεν μάρτυρας, καὶ τούτους ἡμῖν πρὸς συμμαχίαν καλέσαντες, ἐπὶ θείαν αὖθις ἀφήγησιν τῶν ἐπὶ λοιποῖς ἔθνεσι πραχθέντων θαυμάτων χωρήσωμεν.

oblata, cum habere cohabitatricem opitulationem eorum exoravisset, gaudens atque tripudians a templo recessit. Porro nos hunc miraculorum quae in Aegyptios et Libyos recensita sunt, quae quinque super decem sunt, finem facientes, martyribus qui horum sunt curatores benedicamus, et hos nobis in auxilium convocantes, ad divinorum relationem miraculorum, quae in reliquis gentibus gesta sunt, properemus.

ΑΡΧΗ ΤΩΝ ΕΙΣ ΞΕΝΟΥΣ ΓΡΑΦΕΝΤΩΝ ΘΑΥΜΑΤΩΝ.

να. ΠΕΡΙ ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ ΤΟΥ ΠΑΘΟΝΤΟΣ ΕΠΙΧΥΣΙΝ.

Καιρὸς δ' ἂν εἴη λοιπὸν καὶ βραχέα τῶν ἐπὶ τοῖς ὀθνείοις γεγονότων τεράτων τοῖς μάρτυσιν, ῥωμαίοις τὲ φημὶ, καὶ γαλάταις, καὶ κίλιξι, ἀσιανοῖς τε, καὶ νησιώταις, καὶ φοίνιξι, βυζαντίοις τε καὶ βιθυνοῖς καὶ ἀθίοψι, θραξί τε καὶ μήδοις καὶ ἄραψι, παλαιστινοῖς τε καὶ σύροις καὶ ἐλαμείταις, καὶ πᾶσι τοῖς ὑπὸ τὸν οὐρανὸν τυγχάνουσιν ἔθνεσιν, τῷδε τῷ τῶν ἐγκωμίων παραθέσθαι συντάγματι· φέρειν γὰρ ἔτι τούτων

INITIUM MIRACULORUM QUAE IN EXTEROS SCRIPTA SUNT.

51. DE GEORGIO QUI CATARACTAS PERTULIT.

Tempus autem iam sit pauca etiam prodigiorum, quae a martyribus in exteris facta sunt, Romanis videlicet Galatis et Cilicibus, Asianis etiam et Insulanis atque Phoenicibus, Constantinopolitanis et Bithyniensibus et Aethiopibus, Thracensibus et Medis, Palaestinisque ac Syris et Elamitis, nec non omnibus quae sub caelo sunt gentibus, huic commendare laudem opusculo. Im-

οὐχ οἷός τέ εἰμι τὴν καταῤῥησιν καὶ τὴν ἄπαυστον ὄχλησιν· ὅτι φασὶ τῶν ἁγίων ἀπροσωπολήπτως πᾶσι νεμόντων τὴν ἴασιν, καὶ πᾶσιν ἴσως ἐφαπλούντων τὰ δῶρα τῆς αὐτῶν ἀγαθότητος, τελευταίους ἡμᾶς ἐν ταῖς αὐτῶν εὐφημίαις τετάχατε, νωθρωτέρους τάχα που καὶ ἀγνώμονας καὶ βραδεῖς πρὸς τὰς ὑπὲρ τῆς εὐεργεσίας χαριστηρίους ᾠδὰς αἰνιττόμενοι· καίτοι προκρίνεσθαι ἡμεῖς ἂν εἴημεν ἄξιοι, πολὺν ὑπομένοντες κάματον, ὁδοιπορίας τε κόπον ἀνύοντες, καὶ καὶ θαλαττίου καταπτύοντες κλύδονος, καὶ κινδύνων χαλεπῶν ἀνεχόμενοι, καὶ ἀναρίθμητα διαστήματα τέμνοντες, καὶ πόθῳ τῷ πρὸς τοὺς μάρτυρας ἀπ' αὐτῶν πρὸς αὐτοὺς τῶν ἐσχατιῶν

potens enim sum ego ad sufferendum horum ultra calumpniam et molestiam incessabilem; quoniam sanctis, aiunt, sine personarum acceptione distribuentibus omnibus sanitatem, et super omnes aequaliter expandentibus dona bonitatis suae, extremos nos in eorum laudibus ordinastis, imbecilliores fortassis et ingratos atque tardos nos ad gratiarum actionibus plenas pro collatis beneficiis odas. Praesertim cum nos digni simus praeferri, multum sustinentes laborem, itinerisque transigentes fastidium, et marinas respuentes procellas, et saeva pericula patientes, et innumera spatia recusantes, et amore circa martyras habito

ἀπερχόμενοι, καὶ πανταχόσε κηρύττοντες Κύρου καὶ Ἰωάννου τὰ θαύματα, καὶ τὴν ἄῤῥητον αὐτῶν καὶ θεόσδοτον δύναμιν· τούτων δὲ ἡμεῖς τὸν ζῆλον θαυμάζοντες, καὶ τὴν πρὸς τὰς τῶν ἁγίων εὐφημίας σπουδὴν ἀγασάμενοι, δι' ὀλίγων τὴν λύπην ἀκεσώμεθα, ἀπολογίας αὐτοὺς ἀξιώσαντες, καὶ τὸ καθ' ἡμῶν περιλύσαντες ἔγκλημα.

Ἤδη μὲν γὰρ προλαβόντες εἰρήκαμεν, ὅτι πίστεως ἕνεκα, τῶν ἐπ' ὀθνείοις γινομένων θαυμάτων τὰ ἐπὶ τοῖς αὐτόχθοσι λάμψαντα προεγράψαμεν, καὶ τὴν ὑπὲρ τούτων φθάνωμεν ἀπολογίαν ὑφάναντες· καὶ ὡς οὔτε τελευταίους ὑμᾶς ὡς ἀχαρίστους ἐτάξαμεν, οὔτε πρώτους ἐκείνους

ab ipsis ad eos novissimis finibus terrae abeuntes, et ubique praedicantes Cyri Iohannisque miracula, et ineffabilem eorum et attributam divinitus fortitudinem. Horum autem nos zelum mirantes, et pro tanto studio quod erga sanctorum laudes habebant obstupescentes, perpaucis tristitiam medeamur, eis rationem digne reddentes, et querelam quae adversus nos erat circumsolventes.

Denique iampridem diximus, quia causa fidei miraculis, quae in exteris facta sunt, ea quae super indigenis refulserunt, praeponentes descripsimus, et pro his apologiam texuisse dinoscimur; et quod neque ultimos vos velut ingratos posuerimus, neque primos illos quasi magis nobis de-

ὡς μᾶλλον ὄντας εὐγνώμονας· τὸ γὰρ ἐν τούτοις προταχθῆναί τινα ἢ δεύτερον γραφῆναι τὸν ἕτερον, οὐδὲν οὔτε τὸν δεύτερον ἔβλαψεν, οὐδὲ τούτου τὸν λαβόντα δέδειχε κρείττονα· ἐπεὶ μήτε τοῦ ἀμπελῶνος ὁ δεσπότης τοῖς ἐργάταις τὸν μισθὸν παρεχόμενος, τῶν ἐσχάτων τοὺς πρῶτον ἐργασαμένους τιμιωτέρους ἡγήσατο· οὔτε τῆς μισθοδοσίας ἀπὸ τῶν ἐσχάτων ἀρξάμενος τοὺς προλαβόντας ἐμέμψατο, εἰ μὴ ζήλου πλησθέντες ἐγόγγυσαν, καὶ πλείω λαμβάνειν τῶν θεσπισθέντων ἠβούλοντο.

Ἐγὼ δὲ καὶ δέδοικα μήπως ἡμεῖς ἀλεξανδρεῖς ἐπιβλέψοιντο, ὡς ὑβρισμένοι διὰ τοῦ δοκοῦντος ὑμῖν προτερήματος, εἴπερ κυβερνῆται

voti sint praetulerimus, iam perhibuimus. In talibus enim praeponere quemquam, aut scripto postponere alium, neque postposito nocuit neque huic praepositum exhibuit meliorem. Nam neque vineaedominus operariis mercedem conferens, eos qui primum operati fuerant, honorabiliores novissimis arbitratus est; neque mercedis dationem a novissimis incipiens, reprehendit eos qui ante laboraverant, nisi quia zelo repleti murmuraverunt, et plus accipere quam sancita fuerant voluerunt.

Ego autem etiam timui ne forte nos Alexandrini reprehenderent, tamquam iniuriam passi propter privilegium quod putatur a vobis, dum gu-

μὲν οἱ τῶν ναυτικῶν τιμιώτεροι, ἐν ἐσχάτοις καθέζονται τῶν τριήρων, καὶ τῶν ἵππων ὄπισθεν οἱ ἡνίοχοι, καὶ οἱ πρῶτοι γενέσθαι γλιχόμενοι, πάντως ἔσχατοι προστάττονται γίνεσθαι· καὶ πρώτιστοι μὲν οἱ ἔσχατοι, ἔσχατοι δὲ πάλιν οἱ πρώτιστοι γίγνονται· καὶ τὰ τῶν μελῶν ἀτιμότερα, τιμὴν περισσοτέραν τὰ δοκοῦντα τυγχάνειν ἀσχήμονα· διὸ καὶ αἰτίαν τῆς τούτων προγραφῆς προσδεξάμενοι, καὶ ὡς ἀναγκαίαν οὖσαν μανθάνοντες, περὶ πρωτείων μὴ μάχεσθε, μήτε τῶν μετὰ ταῦτα τετάχθαι νομίσοιτε, ἵνα μὴ πρὸς αἱρέσεις καὶ σχίσματα διαιρούμενοι, τὸ προσφιλὲς τῶν ἁγίων ἐγκώμιον διατέμνητε,

bernatores qui nautis honorabiliores sunt, in novissimis trierum, et aurigae post equorum clunes positi sedeant. Sed et hi, qui primi fieri appetunt, novissimi fieri cunctorum iubentur: quin etiam primores quidem novissimi, novissimi vero rursus primores efficiuntur; et quae in membris sunt inhonorabiliora, honorem habundantiorem induunt, et honestatem quae esse inhonesta videntur. Propter quod causam horum praescriptionis admittentes, et veluti necessariam cognoscentes, de primatu litigare nolite; neque si postponamini, vos pertulisse iniuriam arbitremini, ne ad haereses et schismata partiti dilabamini, et amabile sanctorum praeconium resecetis, eorumque

καὶ τῆς αὐτῶν εὐφημίας τὸ φαιδρὸν ἀμαυρώσητε· ἀλλὰ χαίροιτε μᾶλλον καὶ ἀλλήλοις συγχαίροιτε, τὰς τῶν ἑτέρων τιμὰς οἰκειούμενοι, καὶ τὰς οἰκείας δωρούμενοι· καὶ τὸ δὴ μέγιστον καὶ μακάριον, ὅτι συντελέσαι πρὸς ἔπαινον τηλικούτων ἁγίων εὐκλεῶν ἠξιώθητε· φέρε τοίνυν καὶ ἡμεῖς τὰ τὰς εὐφημίας ἐπαύξοντα θαύματα *, καὶ μή μοι φαίνοισθε τῶν προτέρων ἐλάσσονες ὑπερβολῇ θαυμάτων νικώμενοι.

* deest verbum.

Βοᾶν δὲ τοῦτον ἐκ μέσου δοκῶ τὸν πρεσβύτην Γεώργιον, ἡγούμενον μὲν τῆς αὐτῶν ὁμηγύρεως, ἡγεῖσθαι δὲ καὶ ἐν τῇ τῶν θαυμάτων ἐπαγγελίᾳ γλιχόμενον, ὃς ἀξίᾳ καὶ χρόνῳ καὶ παλαιότητι θαυμαστὸς τὰ πρεσβεῖα δεξάμενος,

bonae famae pulchritudinem offuscetis. Sed potius gratulamini, et alternis congratulamini, honores aliorum proprios facientes, et aliis vestros donantes; et quod est maius atque beatius, quia connumerari ad laudem tantorum sanctorum et illustrium meruistis. Eia igitur et nos miracula, quae laudes augmentant, in medium afferamus; et mihi non apparebitis minores prioribus, miraculorum eminentia superati.

Porro clamare de horum medio Georgium puto presbyterum, qui abbas quidem congregationis eorum erat, et ut in relatione miraculorum dux fieret, appetebat. Cum autem dignum et tempore

ἡγεῖσθαι καθέστηκεν ἄξιος, καὶ προτραπεὶς πρὸς τῶν ἄλλων ἡγήσεται, ζῶν ἔτι καὶ τυγχάνων ἐν σώματι, καὶ πᾶσιν ἀπαγγέλλων τῷ στόματι τὸ γεγονὸς ἐν αὐτῷ τῶν ἁγίων τεράστιον· ἀγνοεῖ μὲν γὰρ αὐτῶν οὐδεὶς τῶν ἐν ἔτεσι τούτοις τοῖς ἑπτὰ καὶ ἑξήκοντα Κύρου καὶ Ἰωάννου κατειληφότων τὰ τέμενος· ἴσασι δὲ πάντως ὡς οἴομαι· ἀπὸ τοσούτων γὰρ χρόνων ὁ γέρων ὁσίως καὶ καθαρῶς Χριστῷ δουλεύει καὶ μάρτυσιν, πάντα τελέσας τοῦ κλήρου τὰ τάγματα, καὶ χρόνόν τινα τοῦ ναοῦ θαυμαστῶς ἡγησάμενος.

Κίλιξ ἦν ὁ Γεώργιος καὶ πόλεως οὐκ ἀσήμου πολίτης ἐτύγχανεν· Ταρσὸν γὰρ ηὔχει μη-

et vetustate miraculi primatum sumpsisset, dux fieri non immerito visus est, et ad ducatum agendum ab aliis exhortatus est; qui vivit adhuc, et est in corpore, ore referens quod factum est in se sanctorum prodigium. Siquidem ignorat hunc nullus ex his, qui in his septem annis et sexaginta, Cyri et Iohannis venerunt ad templum; immo noverunt omnes, ut reor: a tot quippe annis senex iste sancte ac pure Christo martyribusque deservit, cum omnes cleri ordines consummasset, et per tempus aliquod templo mirabiliter praefuisset.

Cilix erat Georgius, et civitatis non ignotae civis, Tarso enim gloriabatur metropoli, et Pau-

τρόπολιν, καὶ Παῦλον ἐκάλει συνήγορον, ἐπὶ πολίτῃ καὶ πόλει γαυρούμενος, καὶ τούτοις οὐκ ἀγεννῶς σεμνυνόμενος· οὗτος οὖν ὁ Γεώργιος ἐν παισὶ τελῶν, καὶ μειρακίοις φέρων τὴν δίαιταν, τῆς πατρίδος ἐκδημεῖ σὺν τοῖς φύσασιν· τῆς ἐκδημίας δὲ σκοπὸς ὑπῆρχε καὶ πρόφασις ἡ εἰς Μηνᾶν τὸν ἅγιον τὸν ἐν τῇ Μαρεώτῃ προσκύνησις· ἣν τῆς Ἀλεξάνδρου κατειληφότες ἀπεδίδουν τῷ μάρτυρι· καὶ τὴν ἐπάνοδον αὐτοῖς χειμῶνος κωλύσαντος, καὶ χρόνου μικροῦ διϊππεύσαντος, τοῦ παιδὸς ὁ πατὴρ ἐτελεύτησεν, καὶ ὁ παῖς ὀρφανὸς κατελίπετο, καὶ τῆς ὀρφανίας ἀκόλουθος ἡ τῶν ὀφθαλμῶν ἐγένετο στέρησις, ἐκ πάθους ἐπιχύσεως ῥεύσασα.

lum vocabat coassertorem, in concive ac civitate gloriatus, et his non ignobiliter decoratus. Hic ergo Georgius conversationem inter infantes et pueros agens, a patria peregre proficiscitur cum parentibus. Porro peregrinationis intentio et occasio erat ad Mennan sanctum profectionis, et apud Mareoten adorationis devotio; quam cum Alexandriam pervenissent, martyri reddiderunt. Cumque reditum illis hiemps prohibuisset, et tempus modicum praeterisset, pueri pater defunctus est, et orphano puero derelicto, orphanitatis successor oculorum est effecta privatio, a fusionis passione diffusa.

Ἰατροῦ δὲ παντὸς πρὸς τὸ πάθος ὀκλάσαντος, καὶ διαῤῥήδην τὴν ἧτταν ὁμολογήσαντος, Κῦρος εὐθὺς καὶ Ἰωάννης οἱ μάρτυρες θεραπευταὶ τοῦ πάθους ἠγγέλλοντο· εἰς οὓς ἐλθὼν ὁ Γεώργιος τοὺς εἰρηκότας οὐκ αἴσχυνε· τήν τε γὰρ ἐπίχυσιν ἀπεδύσατο, καὶ τὴν γλυκεῖαν ἀνείληφεν ὅρασιν· τῆς ὑγείας δὲ τοῦτο ἦν ὥς φασὶ τὸ βοήθημα· τυρὸν αὐτῷ τρίψαι τὸν ἐκ Βιθυνίας ἐρχόμενον, καὶ κηρωτῇ συμμίξαι καὶ μόνον ἐπιθῆναι τοῖς ὄμμασιν οἱ τῆς ῥώσεως τέκτονες ἐπιτρέπουσι μάρτυρες· καὶ πεπραχότος αὐτοῦ τῶν ἁγίων τὴν κέλευσιν, ἅπαν μὲν εὐθὺς τῶν ὀφθαλμῶν τὸ ὑγρὸν κατεφέρετο· καθαραὶ δὲ κόραι καὶ διαυγεῖς, τῆς παχείας ἐκείνης ὕλης

Medico autem omni circa passionem deficiente, sparsimque sui superationem confitente, Cyrus statim et Iohannes martyres, curatores passionis enunciantur; ad quos Georgius veniens, praedictos non est reveritus *, et cataractas deposuit, et dulcem visus percepit intuitum. Porro sanitatis hoc erat, ut inquit, auxilium. Caseum illi terere a Bithynia delatum, et ceroti miscere et superponere oculis, sanitatis fabricatores praecipiunt martyres; eoque agente iussionem sanctorum, omnis quidem confestim oculorum humor deorsum fluebat; mundae autem pupillae ac lucidae factae, a crassa illa materia liberatae remanebant, et lu-

* *dic* dedecore non adfecit.

ἀπαλλαγεῖσαι διέμενον, και φῶς ἀνεμποδίστως ἐδέχοντο, καὶ λοιπὸν ἐνήργουν, ἣν πρὸ τοῦ πάθους ἔσχον ἐνέργειαν· καὶ τοῦτο μὲν τὸ ἐπ' αὐτῷ γεγονὸς ἐλέχθη τεράστιον· τἄλλα δὲ τοῖς ἁγίοις εἰς αὐτὸν πραχθέντα χαρίσματα, μακρὸν ἂν εἴη καθ' ἓν διηγήσασθαι, συγγραφῆς ἰδίας δεόμενα, καὶ χρόνου πλείονος χρήζοντα, τοῦ νῦν αὐτοῖς προσνεμηθῆναι κατ' ἰσομοιρίαν ὀφείλοντος.

Ἵνα δὲ μὴ τούτου χάριν ἄγραφα ταῦτα καὶ ἀμνημόνευτα καταλίψωμεν, καὶ ταύτας δόξωμεν ἀδικεῖν τὸν ἀκούοντα, ἑνὸς ἢ δευτέρου μνη-

men sine impedimento recipiebant, et deinceps operabantur operatione quam ante passionem habuerant. Et hoc quidem quod factum est in eo prodigium, dictum est. Alia vero quae a sanctis in ipso charismata gesta sunt, longum profecto est enarrare per singula, cum scripto proprio egeant, plurimoque tempore opus habeant, quam nunc eis secundum aequiperationem tribui debeat.

Ne vero huius rei gratia haec non scripta, vel sine commemoratione dimittamus, et hoc modo audientem laedere videamur, unius vel duum recordabimur, et haec recidentes quantum virtus suppeditat. Suscipiunt Georgium cum puer esset clementissimi martyres, et paternis eum diligentes visceribus, dimittere rursus ad genitricem mi-

σθήσομαι, καὶ ταῦτα συντέμνων ὡς δύναμις (1) λαβόντες γὰρ ξένον ὁμοῦ καὶ τυφλὸν, ὀρφανόν τε καὶ πλανήτην καὶ πένητα, πάντα συντόμως ἰάσαντο· πατρίδος στέρησιν, οἰκειωσάμενοι· τύφλωσιν, τοὺς ὀφθαλμοὺς καταυγάσαντες· ὀρφανείᾳ, πατέρες γενόμενοι· ἀλλότριον οἰκειώσαντο· πενίαν κατ' ἄμφω, ψυχὴν λέγω καὶ σῶμα, πλουτοῦντες, εἴπερ καὶ κατὰ σῶμα πλουτεῖν κατεδέχετο· τοῦτον γὰρ ὡς τὸν παλαιὸν Σαμουὴλ

nime iudicarunt, sed vice patris habita, cum matre liberos dividunt, et huic filiabus attributis quae duae erant superadultae, Georgium ipsi suscipiunt, iuramentis per somnium genitrici credere suadentes, ab eis fore sanandum. Ante sanitatem quippe facta sunt haec, seque facturos quod pater, etiam si superstes esset, utique non fecisset. Quod consummaverunt, et quod dixere veraciter operati sunt. Recepto enim peregrino simul et caeco, pupillo, vago, et paupere, omnia compendio sanaverunt; patriae videlicet privationem, proprium facientes; caecitatem, oculos illuminantes; orphanitati patres effecti; erratico habitationem tribuentes; paupertatem secundum utrumque, corpus scilicet et animam, locupletantes, si certe et secundum corpus locupletari per-

(1) Abhinc desiderantur tres pericopae in graeco textu, quas latinus conservavit.

κατὰ τὸν αὐτῶν σηκὸν ἀνατρέφοντες, καὶ ἀρετῆς πεποιήκασι κτήτορα, καὶ εἰς κλῆρον κατ' ὀλίγον προήγαγον, τὸν καταλλήλως ταῖς ἡλικίαις ἁρμόζοντα· καὶ τῆς αὐτῶν οἰκονομίας ἠξίωσαν, ὅτε ταύτην διέπειν ἠδύνατο· τοῦτο θανάτου δὺς ἐλυτρώσαντο, προσθήκην ἐτῶν καὶ ζωῆς χαρισάμενοι.

Λοιμὸς ἦν, καὶ οἱ τότε νοσοῦντες πρὶν ἢ διαγνωσθῆναι τὴν νόσον ἀπέθνησκον· ἐνόσησε καὶ Γεώργιος, καὶ τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, τῆς παρούσης ζωῆς ἐκδεδήμηκεν· καὶ τοὺς ἀγγέλους ὁρᾷ λαβόντας αὐτὸν καὶ ἀπάγοντας, καὶ Κῦρον αὐτοῖς καὶ Ἰωάννην συναντῶντας τοὺς μάρτυρας, καὶ χαρίζεσθαι αὐτοῖς πρεσβύτην

misisset. Hunc enim sicut veterem Samuelem in templo suo alentes, virtutum possessorem fecerunt, et in clerum paulatim provexerunt, qui convenienter in singulis aetatibus congruebat, suaque dignum dispensatione fecerunt, cum hanc moderari valuisset. Hunc a morte bis liberaverunt, augmentum dierum et vitae donantes.

Pestilentia erat, et qui tunc aegrotabant, prius quam languor nosceretur, moriebantur. Aegrotavit etiam Georgius, et expletis terminis vitae, praesentem obiit vitam, videtque angelos accipientes se et deducentes, et Cyrum eis et Iohannem martyras occurrentes, et donari sibi presby-

πρεσβεύοντας, ὅπερ ποιεῖν ἔλεγον αἱ δυνάμεις μὴ δύνασθαι, θείῳ δὲ θεσπίσματι κατὰ τρόπον δουλεύουσαι· μένειν δ' αὐτῶν τὴν πρὸς θεὸν ἱκετείαν ἀπήγγελλον, καὶ δευτέραν αὐτοῦ προσδέχεσθαι κέλευσιν· ταύτην λαβόντες οἱ μάρτυρες τὴν ἀπόκρισιν, πρὸς ἱκετείαν ἐτρέποντο, καὶ πρὸς θεὸν τὰ γόνατα κλίναντες, δωρηθῆναι αὐτοῖς τὸν λάτρην ἐδέοντο· καὶ τούτων τοιούτων, ἀπ' οὐρανοῦ φωνὴ κατεφέρετο, διδόναι προστάττουσα τοῖς μάρτυσι τὸν πρεσβύτερον, καὶ χρόνους εἴκοσι ἐν σαρκὶ διορίζουσα· καὶ οὕτω μὲν οὗτος ὁ θαυμάσιος τὸν τότε διέφυγε θάνατον, Ἐζεκίου πλέον ἔτη πέντε ζωῆς κομισάμενος, μαρτύρων σπουδῇ καὶ θείῳ δωρήματι· ὅτε δὲ

terum intercedentes, quod se facere non posse virtutes illae dicebant, divinae sanctioni more solito servientes; expectare autem factam ad Deum supplicationem eorum, et alterum eius praestolari praeceptum ferebant. Hac martyres responsione accepta, vertebantur ad preces, ad Deumque genibus flexis, donari sibi cultorem deprecabantur. Et hoc facientibus, e caelo vox ferebatur deorsum, martyribus presbyterum dari praecipiens, et annis in carne vivere viginti definiens. Et sic quidem iste mirabiliter mortem quae tunc urgebat evasit, plus quam Ezecias vitae annos quinque percipiens, studio martyrum donoque

τὸν εἰκοσαετῆ τῆς ζωῆς χρόνον ἐπλήρωσε, πάλιν ἀπέθνησκε, καὶ τὴν παροῦσαν ζωὴν καΐελίμπανεν, τοῖς λαβοῦσιν ἀγγέλοις ἑπόμενος· ἀλλὰ πάλιν συναντήσας τοῖς μάρτυσιν, πάλιν ὡς τὸ πρότερον ἀπελύετο, χρόνον ζωῆς εὐτυχήσας ἀόριστον· ὃς δεύτερον τεθνεὼς, καὶ φυγὼν ἐκ θανάτου τὸ δεύτερον, τῆς τῶν ἁγίων πρὸς θεὸν παῤῥησίας ἕσΊηκεν ἔλεγχος, καὶ εἰκὼν τῆς αὐτῶν ἰσχύος καὶ χάριτος· ἡμεῖς δὲ τὸν πρεσβύτερον τοῦτον τὸν θεσπέσιον ὑπὲρ ἡμῶν πρεσβεύειν τοὺς ἁγίους αἰτήσανΊες, καὶ προσΊάτας ποιεῖν καὶ ἡμῶν ἀξιώσαντες, ἐφ' ἑτέρου βαδίσωμεν διήγησιν θαύματος.

divino. Cum autem vicennale vitae tempus explesset, denuo moriebatur, et vitam praesentem deserebat, angelos se tollentes secutus : sed iterum occurrens martyribus, iterum sicut prius absolvebatur, tempus vitae infinitum adeptus. Qui secundo defunctus, et a morte secundo elapsus, sanctorum apud Deum habitae confidentiae constitit index, et imago virtutis eorum et gratiae. Nos autem presbyterum istum egregium pro nobis intercedere apud sanctos petentes, et patronos etiam nostrûm facere postulantes, ad alterius gradiamur narrationem miraculi.

νβ. ΠΕΡΙ ΖΩΣΙΜΟΥ ΤΟΥ ΑΡΧΙΗΤΡΟΥ ΕΧΟΝΤΟΣ ΠΑΡΕΣΙΝ.

Ἦλθέ ποτε καὶ βυζάντιος Ζώσιμος τοὔνομα, ἀρχιητρὸς τὸ ἐπιτήδευμα, καὶ τὸ πάθος παράλυτος· καὶ πόθεν μὲν αὐτῷ τὸ πάθος γεγένητο, λέγειν οὐκ ἔχομεν, πλὴν ὅτι πάρετος ἦν, καὶ τὰ τῆς παρέσεως ἔφερε σήμαντρα, οὐ μέλει ἑνὶ βαστάζων τὴν πάρεσιν, ἀλλ' ὅλοις καὶ τῷ ταῦτα συνέχοντι σώματι· οὗτος οὔτε δυσὶν ἠρκεῖτο βαστάζεσθαι, ἀλλὰ πλειόνων ἐδέετο· οὔτε ἐν κλίνῃ τιθέμενος, ὅλως ἑαυτὸν στρέφειν ἠδύνατο, ἀλλ' ἑτέρου τοῦ στρέφοντος ἔχρηζεν· οὔτε βρωμάτων ἁπτόμενος οἰκείαις χερσὶ μετελάμβανεν, ἀλλ' ἄλλος αὐτὸν παριστάμενος ἔτρεφεν, καὶ ὡς οὐκ ἦν ἰατρὸς ἀπηλέγχε-

52. DE ZOSIMO ARCHIATRO PARALYSIN SUSTINENTE.

Venit aliquando et byzantinus Zosimus nomine, studio vero medicus summus, et paralyticus passione. Et unde illi passio facta est, dicere non habemus, praeter quod dissolutus erat, et paralyseos ferebat insignia, non uno membro portans ipsam dissolutionem sed omnibus, et ipso quoque corpore quod membra continet omnia. Hic neque duobus contentus erat ad deportandum, sed plurimis opus habebat; neque in lecto iacens omnino se ipsum vertere poterat, sed alterius, qui se verteret, indigebat; neque cibos propriis tactos

το, καὶ τὴν τέχνην ἀσθενοῦσαν ἐδείκνυε, καὶ ἄλλοις ἐπαγγελλόμενος ἴασιν, ἑαυτῷ βοηθεῖν οὐκ ἠδύνατο, ἀλλ᾽ εἰς ἄμυναν ἐκάλει τοὺς μάρτυρας.

Ἐλθὼν οὖν πρὸς τοὺς ὄντως ἰατροὺς καὶ ὁ Ζώσιμος, καὶ μαρτυρήσας αὐτοῖς τὸ πρόσον ἀλεξίκακον, τούτου τυχεῖν ἐλιτάνευε, καὶ λιτανεύων ἐπέτυχε, καὶ τυχὼν ἀπήλαυε ῥώσεως· τρεῖς γὰρ μόνας ἡμέρας τοῖς ἁγίοις εὐξάμενος, εἰς λουτρὸν ἐλθεῖν προσετάττετο, καὶ θερμοῖς τὸ σῶμα λούσασθαι νάμασιν· καὶ δὴ πεισθεὶς τοῖς κελεύσασιν, οἱ θειώτατοι γὰρ ἐτύγχανον μάρτυρες, εἰς τὸ λουτρὸν παραγίνεται, καὶ τῶν ἐμπύρων ἀέρων ἔνδον γενόμενος ἐπὶ στιβάδος

manibus percipiebat, sed alius astans eum alebat; et quasi medicus non esset, convincebatur; et qui aliis repromittebat sanitatem, sibi auxiliari non poterat, sed ad praesidium martyras invocabat.

Cum ergo et Zosimus ad eos qui revera medici sunt venisset, et testimonium illis remedii quod ab ipsis dabatur perhibuisset, hoc adipisci deprecabatur; et deprecatus, consecutus est; et consecutus, sanitate potitus est. Cum enim solis tribus diebus sanctos orasset, ad balneum venire praecipitur, et calidis corpus lavare fluentis; qui iubentibus obediens, divini enim martyres erant, ad balneum venit, et intra ferventiores inventus aëres, supra stramentum ab his qui hunc gesta-

ὑπὸ τῶν αἰρόντων ἐτίθετο· τεθνηκότες δὲ τὸν Ζώσιμον οἱ βαστάζοντες, οἰκονομίᾳ θεοῦ τῶν ἐμπύρων ἐξίεσαν, τῆς ἐξόδου τὴν ἀφορμὴν τῶν χρειωδῶν τὴν εἰσφορὰν ποιησόμενοι.

Τούτων δὲ ποιησαμένων τὴν ἔξοδον, Κῦρος ὁ μάρτυς ἐν μοναχοῦ σχήματι τῷ νοσοῦντι παρίσταται, οὐκ ὄναρ ὡς τοῖς πλείοσι φαίνεται, ἀλλ' ὕπαρ ὡς ἦν τε καὶ γράφεται· καὶ φανεὶς ἀναστῆναι τῷ νοσοῦντι προσέταττεν, καὶ θερμοῖς ἐγκυβιστῆναι τοῖς νάμασιν· ὁ δὲ μὴ θαμβηθεὶς πρὸς τὴν ὅρασιν, μηδ' ὅλως εἰς νοῦν προσλαβὼν τὸ παράδοξον, τοῦτο τέτευχότος τοῦ μάτυρος ὡς ἂν μὴ φόβῳ πάθοι τί τὴν διάνοιαν, μὴ δύνασθαι πρὸς αὐτὸν ἀπεκρίνατο· ἀλλὰ πά-

verant ponitur. Cumque posuissent illum qui portabant, dispensatione Dei a locis illis ferventioribus exierunt, exitus occasionem necessariorum illationem ferentes.

His autem exeuntibus, Cyrus ille martyr in monachi schemate astat aegroto, non in somnis, ut multis apparet, sed in veritate, sicut erat et pingitur; et apparens, surgere languenti praecipiebat, et in calida mergi fluenta. At ille nil ad visionem stupefactus, nec omnino in mentem assumens admirationem illam quam tunc martyr patraverat, nequid timore pateretur in mente; non posse se, ad eum respondit. Sed iterum cum mar-

λιν τοῦτο ποιεῖν τοῦ φανέντος προτρέποντος μάρτυρος, καὶ κατὰ βραχὺ καταλαμβάνειν τὴν ἔμβασιν, καὶ κατιέναι λουσάμενον, πρὸς τὸ κελευσθὲν ἐβιάζετο, δύναμιν αὐτῷ τοῦ λαλοῦντος ἐμπνεύσαντος· καὶ χερσὶ καὶ ποσὶ κυλινδούμενος, καταλαμβάνει μόλις τὴν ἔμβασιν, ὄφεως δίκην συρόμενος, καὶ ὡς ἴσχυσε κατελθὼν εἰς τὰ νάματα, ἀνελήλυθεν ὡς οὐκ ἤλπισεν· δύνοντι μὲν γὰρ ἡ νόσος αὐτῷ συνεθάπτετο, ἀνιόντι δὲ οὐδ' ὅλως αὐτῷ συνανήρχετο.

Τότε τὴν ἐν τῇ προβατικῇ κολυμβήθρᾳ ἡ τοῦ θερμοῦ ὕδατος ἔμβασις ἐμιμήσατο, οὐκ ἄγγελον δεξαμένη λουσόμενον, καὶ τῇ καταβάσει τὸ νάμα ταράσσοντα, ἀλλὰ Κῦρον ἰδοῦσα τὸν μάρ-

tyr qui apparuerat, hoc facere et ad solium paulatim venire, ac descendere lavaturum praecepisset, ad id niti quod iussum fuerat languidus cogebatur, sibi eo qui loquebatur inspirante virtutem, manibusque ac pedibus provolutus vix ad solium pervenit, instar colubri tractus, et sicut valuit in fluenta descendens, sicut non speravit ascendit. Denique languor quidem occidenti consepeliebatur, sed cum scandente iam nullatenus ascendebat.

Tunc probaticae piscinae lavacrum, calidi laticis solium imitatum est, non angelum lavandum suscipiens, et aquam descensione sua tur-

τυρα, καὶ τὸ τούτου δεξαμένη φιλάνθρωπον θέσπισμα· ὅθεν παράλυτον λαβοῦσα τὸν Ζώσιμον, ἐῤῥωμένον ἀπεδίδου τῷ στείλαντι· καὶ μὴ κινούμενον δεξαμένη τὸν ἄῤῥωστον, ὑγιᾶ τοῦτον ἀπέλυε καὶ εὐκίνητον· ὃς καταβαίνων μὲν ἐν τοῖς νάμασιν παρεστῶτα τὸν ἅγιον ἔβλεπεν· ἀνιὼν δὲ τοῦ θερμοῦ καὶ φιλόφρονος ὕδατος, τὸν ἰατρὸν ἰδεῖν οὐκ ἠδύνατο· καὶ ἦν οὐδὲ ῥωσθεὶς ὁ Ζώσιμος ἄλυπος· ἔχαιρε μὲν γὰρ ὅτι τὴν νόσον ἀποβαλὼν τῆς ῥώσεως ἔτυχεν· ἤσχαλλε δὲ ὅτι τὸν δεδωκότα τὴν ῥῶσιν οὐκ ἔβλεπε· χαίρων δ' ὁμοῦ καὶ λυπούμενος, ἔξω τῶν θερμῶν ἀέρων ποσὶ χρώμενος ἔτρεχε θεὸν ἀνυμνῶν καὶ τὸν ῥώ-

bantem; sed Cyrum martyrem videns et huiuspiam sanctionem admittens. Unde Zosimum quem dissolutum susceperat, incolumem ei qui miserat reddidit; et quem infirmum qui non movebatur accepit, sanum hunc dimisit, et facile motibus suis utentem. Qui cum in fluenta descenderet, praesentialiter sanctum videbat astare; ascendens vero a calida et benigna aqua, medicum videre non poterat. Et non erat Zosimus etiam sanus effectus sine tristitia; nam gaudebat quidem quia languore deposito sanitatem adeptus est, tristabatur autem quia sanitatis non videbat datorem. Gavisus autem simul et maestus extra calidos aëres usus pedibus discurrebat, hymnum Deo di-

σαντα μάρτυρα· μεθ' οὗ καὶ πάντες οἱ βλέποντες οἰκεῖοι τὲ καὶ ἀλλότριοι, μίαν εὐφημίας ᾠδὴν ἀνεφέροντο, αἰνοῦντες Χριστοῦ τὴν εὐμένειαν, καὶ τὴν ἐναργῆ τῶν μαρτύρων ἐπίσκεψιν· καὶ τὸ λουτρὸν ὡς τὸν νεὼν κατελάμβανον, καὶ ἔνδον εἰσιόντες ἐλούοντό τε καὶ ηὔχοντο, νεὼν αὐτὸ καὶ λουτρὸν ὁριζόμενοι, καὶ διπλῆν ἐκεῖθεν τὴν εὐλογίαν καρπούμενοι.

νγ. ΠΕΡΙ ΤΟΥ ΠΑΙΔΟΣ ΤΟΥ ΕΛΕΥΘΕΡΟΠΟΛΙΤΟΥ.

Διαδεχέσθω δὲ τὸ μικρὸν τοῦτο λουτρὸν καὶ βραχύτατον ἡ μεγάλη καὶ εὐρύχωρος θάλασσα, καὶ τὸ ῥεῖθρον τὸ θερμὸν καὶ γλυκύτατον,

cens, et qui sanaverat martyri. Cum quo et omnes qui viderant, proprii videlicet et alieni, extranei et compatriotae, unum praeconii canticum referebant, laudantes Christi benignitatem, et manifestam martyrum visitationem. Et ad balneum tamquam ad templum veniebant, et introëuntes lavabant; tunc et orabant, templum id et balneum definientes, duplamque illic benedictionem carpentes.

53. DE PUERO ELÉUTHEROPOLITA.

Succedat vero pusillo huic et brevissimo balneo mare magnum et spatiosum, et fluento calido ac dulcissimo salsum et frigidissimum, et

τὸ ἀλμυρὸν καὶ ψυχρώτατον, καὶ Κωνσταντινούπολιν Ἐλευθερόπολις, καὶ τὸν Ζώσιμον ὁ Προκόπιος, μᾶλλον δὲ ὁ τοῦ Προκοπίου δοῦλος Θεόδωρος, καὶ τὴν τῶν ἁγίων εὐφημίαν αὐξήτωσαν, μέρος καὶ αὐτοὶ τῶν ἐγκωμίων γιγνόμενοι. Ἐλευθερόπολιν ᾤκει Προκόπιος, Παλαιστίνης δὲ πόλις καθέστηκε, καὶ τῶν ταύτης ἐμφανῶν ἐγνωρίζετο, καὶ δοῦλον ἐκέκτητο τὸν Θεόδωρον· ἔσχε δὲ πάθος δυσίατον, τὴν τῆς ῥινὸς ὑπερσάρκωσιν, ἣν ἐξ ἰατρῶν οὐδεὶς δυνηθεὶς ἀποτρίψασθαι, εἰς Ἀλεξάνδρειαν ἐπιλαβὼν τὸν Θεόδωρον, Κύρῳ καὶ Ἰωάννῃ προσελθεῖν προαιρούμενος, καὶ πρὸς αὐτῶν τὴν τριπόθητον ἴασιν δέξασθαι· καὶ αὐτὸς μὲν προσελθὼν οὐκ ἀπέ-

Constantinopoli Eleutheropolis, Zosimoque Procopius, immo Procopii servus Theodorus, atque sanctorum laudibus superaddant, pars et ipsi praeconiorum effecti. Eleutheropoli habitabat Procopius, quae civitas est Palaestinae provinciae, et erat ex huius illustribus, et servum possidebat Theodorum. Habebat autem passionem insanabilem, carnem videlicet quae supra nasum excreverat. Quam cum ex medicis delere quisquam minime valuisset, Alexandriam navigio venit, sumpto Theodoro, ad Cyrum et Iohannem procurans accedere, et ab eis ter desiderabilem sanitatem percipere. Et ipse quidem cum accessisset,

τυχεν, ἀλλ' ἔτυχεν ὧν ἠβούλετο, εἰ καὶ χρόνῳ πολλῷ καὶ τυχὼν ἀνεπαύσατο· πέπερ δ' ἦν τὸ βοήθημα τηγάνῳ φρυγόμενον, καὶ τῆς ῥινὸς εἴσω βαλλόμενον.

Προκοπίου δὲ προσκαρτεροῦντος τοῖς μάρτυσιν, νέος ὢν ὁ Θεόδωρος, συχνότερον τῇ θαλάσσῃ προσέβαλλε, καὶ τοῖς ταύτης προσέχαιρε ῥεύμασιν· ἐκθύμως τε αὐτοῖς ἐνεκυβίστα τε καὶ ἐνήχετο· ἀλλ' ἐν μιᾷ κολυμβῶντα καὶ παίζοντα, καὶ τοῖς κύμασιν ἀνδρικῶς προσπαλαίοντα κύων συρηθεὶς ὁ θαλάττιος, τῆς πτέρνης δακὼν εἷλκεν εἰς πέλαγος, καὶ μικρὸν ἐκσύρας διάστημα, ψάμμῳ βυθίᾳ προσέχωσε, τεθνάναι νομίσας τὸ θήραμα, καὶ βρῶσιν ταμιευόμενος

desiderio non est fraudatus, sed quae voluit prorsus obtinuit, licet tempore multo cum obtinuisset quieverit. Piper autem erat medicina illa, sartagine torridum, et inter nasum immissum.

Procopio autem apud martyras perseverante, iuvenis cum esset Theodorus, frequentius se in mare iactabat, et huius fluoribus aggaudebat, alacriusque se in hos mergebat cernuum, et natabat. Sed quadam die natantem, et iocantem atque cum fluctibus viriliter colluctantem, canis marinus veniens, calcaneumque remordens, traxit in pelagus, et modico spatio tractum, in harena profundius obruit, praedam mori putans,

ἕτοιμον· ὁ δὲ ἐτεθνήκει μὲν οὔπω, εἰ καὶ εἰς ᾅδου ταμεῖον ἐκέκρυπτο, Κῦρον εὑρὼν ἀρωγὸν καὶ Ἰωάννην ἐν ὕδασιν· ἑλκόμενος μὲν γὰρ Θεόδωρος ἐπεκαλεῖτο τὸν μάρτυρα· ὑπὸ ψάμμον δὲ κείμενος, Κῦρον ἐν νῷ καὶ Ἰωάννην ἐλάμβανε· καὶ ὡς πλησίον ἦν αὐτῷ ἐμνημόνευσεν, καὶ ἐκ τοῦ πελάγους αὐτῷ βοηθεῖν ἐλιτάνευε, καὶ ῥύεσθαι τοῦ συνέχοντος κλύδωνος, ἐκβύθιος ὤν· καὶ ἐβόα Θεόδωρος, καὶ ἐξ οὐρανῶν οἱ μάρτυρες τῆς δεήσεως ἤκουον, καὶ τῶν τριχῶν τὸν τεθαμμένον ἁρπάσαντες, μὴ βοᾷν πρὸς αὐτὸν ἀπεφθέγγοντο, καὶ τοῦτον τῆς ὑγρᾶς ἐξενέγκαντες, ἐπὶ γῆς τιθέασιν, οὐκ ἐμπνέοντα νέον Ἰω-

et escam praeparatam reservans. At ille nondum quidem moriebatur, licet in inferni penetrali occultaretur, Cyro in aquis adiutore Iohanneque reperto. Siquidem dum traheretur Theodorus, martyres invocabat; dum vero sub harena iaceret, Cyrum Iohannemque in mentem sumebat, et quod proximus esset eorum commemorabat, et de pelago auxiliari sibi et eruere a continuo aestu rogabat. Et cum in profundis esset, clamabat Theodorus, et de caelis deprecationem martyres audiebant, et audità continuo veniebant. Ergo martyres velociter assistentes, et per capillos sepultum arripientes, noli clamare, ad eum dicebant. Hoc ab humido educto super aridam posuerunt, non

νᾶν δεικνύντες Θεόδωρον, καὶ τὴν πνοὴν δὲ μετ' οὐ πολὺ χαρισάμενοι, πρὸς αἴσθησιν ἦγον τοῦ τραύματος, ὅπερ ὁ κύων ἐνειργάσατο δήγματι· τῆς πτέρνης γὰρ τοῖς ὀδοῦσι δραξάμενος, καὶ ἐκ ταύτης ἕλκων τὸν ἄνθρωπον, ἅπαν αὐτοῦ τὸ πέλμα μέχρι δακτύλων ἐμέρισεν· ὅπερ ὡς ἀπὸ δένδρου φύλλον κρεμόμενον καὶ τῇδε κἀκεῖσε φερόμενον, τῷ τῆς κηρωτῆς φαρμάκῳ προσήνωσαν, βραχυτάτῃ ῥοπῇ πόδα καὶ ψυχὴν χαρισάμενοι, καὶ φυγὴν τοῦ θηρὸς ἀπροσδόκητον· ἡμεῖς δὲ σὺν αὐτῷ, ἔτι γὰρ τῷδε τῷ βίῳ περίεστιν, καὶ τοῖς τότε παροῦσι, καὶ τοῖς ἀρτίως ἀκούουσιν, τοὺς σεσωκότας ὑμνήσαντες, καὶ οὕτως ὀξέως ἐπικουρεῖν καὶ ἡμῖν ἐν κινδύνοις αἰ-

spirantem iuvenem, Ionam ostendentes Theodorum; et spiritum non post multum donantes, ad sensum ducebant vulneris, quod canis operatus est morsu; calcaneo quippe dentibus apprehenso, et taliter homine tracto, totum illius calcaneum ad digitos usque partitus est. Quem sicut folium quod ex arbore pendet, et hac illacque defertur, cerote medicamine adunarunt, brevissimo momento pedem animamque donantes, et insperate a bestia fugere concedentes. Porro nos cum eo, adhuc enim huic superest vitae, et his qui tunc aderant et qui modo audiunt, eos qui salvum fecerunt illum, hymnis prosequentes, et

τήσαντες, ἄλλο τεράστιον ἄλλων ἐπαίνων ποιησώμεθα πρόφασιν.

νδ. ΠΕΡΙ ΙΣΙΔΩΡΟΥ ΕΠΙΛΗΠΤΙΩΝΤΟΣ.

Σεμνυνέσθω καὶ Δαμασκὸς ἐπὶ τοῖς τῶν μαρτύρων δωρήμασιν, ἡ Παῦλον ἀπολαβοῦσα μὴ βλέποντα, διώκτην ξενήσασα, καὶ ποιήσασα κήρυκα, ἡ φονευθῆναι ζητούμενον κρύψασα, καὶ διὰ θυρίδος ἐν σαργάνῃ νυκτὸς φυγαδεύσασα· καὶ τῆς πρὸ ταύτης εὐδαιμονίας τὸ μετασχεῖν τῶν ἁγίων τῆς χάριτος ἡγείσθω λαμπρότερον· αὕτη γὰρ τῆς κοίλης Συρίας μητρόπολις, τῆς ὅλης ἑώας ἀρχηγὸς ἐβασίλευε, Νῖνον ἑαυτῇ βα-

ita velociter etiam nobis consulere in periculis postulantes, aliud prodigium aliarum faciamus occasionem laudationum.

54. DE ISIDORO EPILEMPTICO.

Decoretur etiam Damascus in martyrum donis, quae Paulum admisit non videntem, et dimisit videntem, et hospitio recepit persecutorem, et fecit praedicatorem; quem quaesitum ad occidendum, occultavit, et noctu per fenestram summissum in sporta fugavit, ut ex sanctorum gratiae participatione dux clarius fiat, quam ex felicitate quae hanc praecessit. Haec enim cum Coelesyriae metropolis esset, in toto prorsus oriente princi-

σιλεύοντα, καὶ Σεμίραμιν τὴν περίφημον ἔχουσα· ἄμφω γὰρ ἐκεῖ βασιλεύσαντες, καὶ τείχεσι τὴν πόλιν κυκλώσαντες, ἀπ' αὐτῆς τὰς ἀποικίας ἐξήγαγον, εἴς τε τὴν Ἀσίαν καὶ Ἀραβίαν τὴν λεγομένην εὐδαίμονα· ἔμεινε δὲ Δαμασκὸς βασιλεύουσα ἕως ὁ μακεδὼν Ἀλέξανδρος Δαρεῖον ἀνελὼν, τοὺς αὐτοῦ θησαυροὺς ἐκ ταύτης ἀφείλατο, καθελὼν σὺν αὐτῷ τὰ βασίλεια· καὶ ταῦτα μὲν ἔξωθεν περὶ Δαμασκοῦ μεμαθήκαμεν· οὐ μὴν ἀλλὰ καὶ πολλῶν βασιλέων ἐν αὐτῇ θεασάμενοι μνήματα· ἀπὸ δὲ τῆς θεοπνεύστου γραφῆς πάλιν αὐτὴν βασιλεύουσαν ἔγνωμεν, τὸν υἱὸν Ἀδὲρ, τὸν Φούλα, τὸν Θεγλαφελλασὰρ, τὸν Ἀζαὴλ, τὸν Ῥαασσὼν βασιλεύοντας

pali iure regnabat, Ninum in se regnantem, et Semiramin habens illam famosam. Ambo quippe illic regnantes, et muris civitatem circumdantes, ab ea habitacula eduxerunt tam in Asiam quam in Arabiam dictam eudaemona. Mansit autem Damascus regnans, donec Alexander macedo Dario interempto, ex hac thesauros eius ademit, cum ipsa etiam regalia destruens. Et haec quidem extrinsecus de Damasco didicimus; multorum nihilominus regum in ipsa monumenta videntes. A divinitus autem inspirata doctrina iterum regnantem in ea cognovimus filium Ader, Phula, Teglaphellasar, Azaël, Rhaason reges habentem. Quae

ἔχουσα· ὧν πλέον ἁπάντων Κύρου καὶ Ἰωάννου δωρεῶν ἀπολαύσασα, καὶ ταῖς ἐπὶ Παύλῳ μεγαλαυχείαις ταύτας συνάψασα τοῖς σκιρτήμασιν ἐναβρύνεται· δαμασκηνὸς ἦν καὶ τῶν ἐν τέλει λαμπρῶν Διονύσιος, ἐκ γένους βλαστήσας ἀεὶ διαλάμψαντος· οὗπερ ἀρχὴ καὶ ῥίζα Νικόλαος ἦν ὁ φιλόσοφος, ὁ Ἡρώδου παιδευτὴς, καὶ παίδων τῶν Ἀντωνίου καὶ Κλεοπάτρας διδάσκαλος· ἀφ' οὗ καὶ Νικόλαοι δώδεκα κατὰ διαδοχὴν ἐξανθήσαντες, φιλοσοφίᾳ γαυρούμενοι, τὸ γένος ἐφαίδρυναν, καὶ εἰς μέγα δόξης καὶ λαμπρότητος ἤγαγον.

Ἐκ τούτων ὁ λαμπρὸς γεννηθεὶς Διονύσιος παῖδα τε καὶ τοῦ γένους διάδοχον ἔσχεν Ἰσί-

Cyri Iohannisque plus quam illorum muneribus freta, et sub Paulo magniloquiis congregans, exultationibus gloriatur. Damascenus erat Dionysius, et ex his qui inter proceres et claros videbantur haberi, qui ex germine erat perpetuo fulgido; cuius origo et radix Nicolaus erat ille philosophus, Herodis eruditor, filiorumque Antonii et Cleopatrae magister, a quo etiam Nicolai duodecim per successionem efflorentes, philosophiaeque decore nitentes, genus illustraverunt, et ad magnam claritatem et gloriam deduxerunt.

Ex his splendidus Dionysius natus filium prosapiaeque successorem habebat Isidorum. Hunc

δωρον· τοῦτον ἐν μειρακίοις τυγχάνοντα λουτρῷ κατὰ τὸ συνεχὲς χρώμενον, πονηρός τις δαίμων εἰσήλατο, καὶ χαμαὶ πεσόντα καὶ κείμενον οἱ παιδοτροφοῦντες αὐτὸν ἀνελόμενοι, ἔξω τῶν θερμῶν ἀέρων ἐξέβαλον· ἔξω γὰρ τὰ τῆς ἐπηρείας τοῦ δαίμονος πέπονθε, ὀλιγωρίαν εἶναι τὸ πάθος γνωρίσαντες, τὴν πολλοῖς ἐν λουτροῖς πολλάκις συμβαίνουσαν, καὶ οὐ πονηρῶν πνευμάτων ἐνέργειαν· ἀλλ' ὡς καὶ λουτροῦ χωρὶς τὴν βλάβην ὑπέμεινεν, καὶ πρόφασις οὐκ ἦν ἡ κρύπτειν ἔτι τὸ πάθος ἰσχύουσα· καὶ τοῦ παιδίου τὸ πάθος ἐγνώρισαν, καὶ δαιμόνων ἀδικίας τὰς συμβάσεις ἀπήγγελλον· τότε τοιαύτην ὑπάρχειν κἀκείνην ἐνόησαν, τὴν πρώτην ἐν λου-

cum puer esset, balneo secundum consuetudinem usum, nequissimus quidam insecutus est daemon, et in terram cadentem atque iacentem, hi qui tamquam puerum illum alebant, extra calidos aëres eduxerunt; intus enim insidias passus est daemonis, defectionem animi passionem esse putantes, quae multis saepe contingit in balneis, et non malignorum spirituum operationem; cum et sine balneo sustinuerit laesionem; et excusatio non erat quae languorem posset ulterius occultare; et idcirco et pueri passionem agnoverunt, et eventus daemonicae nequitiae nuntiaverunt tunc talem esse, et illam intellexerunt commutationem, sci-

τρῷ γεναμένην ἀλλοίωσιν· τοῦτο μαθόντες οἱ φύσαντες, οὐ μετρίως πως ἠνιῶντο καὶ ἤσχαλλον· ἦν γὰρ αὐτοῖς καὶ μόνος ἄρσης ἐν παισὶν ὁ Ἰσίδωρος, καὶ πάσας ἐφ' ἑαυτὸν τὰς τοῦ γένους ἐλπίδας κατέφερεν· ὅθεν οὗτοι σπουδὴν ἅπασαν τῆς τοῦ παιδὸς θεραπείας ἐτίθεντο, καὶ τοῦτον δοκίμοις ἰατροῖς ὑπεδείκνυον, ἀπὸ πλήθους μελαγχολικῶν χυμῶν τὰς συνεχεῖς ἐπιληψίας ἐκείνας καὶ μακρὰς καρηβαρείας συμβαίνειν οἰόμενοι· ἑκατέρας γὰρ ὡς ἔγνωμεν ἔπασχεν, τὰς μὲν συνεχέστερον, τὰς δὲ ἐντονότερον καὶ μακρότερον· ἀλλ' ὡς μίαν πρὸς πάντων ἀπόφασιν ἤκουον ἀνθρώποις ἀνίκητον εἶναι τὸ νόσημα, πνεῦμα πονηρὸν καὶ οὐ μελαγχολικὸν χυμὸν ἔχων τὸ νόσημα.

licet quae prima in balneis facta est. Quo parentes comperto, non mediocriter tristabantur, et aestuabant; erat enim eis inter filios solus Isidorus masculus, et omnem in se posteritatis ferebat fiduciam; unde isti omne studium pro pueri curatione ponebant, et hunc probabilibus medicis ostendebant, multitudine malancholicorum humorum frequentes illas epilempsias et longas capitis gravedines accidere arbitrantes: nam utrasque ut cognovimus patiebatur, alteras quidem frequentius, alteras vero indeficientius et prolixius. Sed quasi unam ab omnibus sententiam audiebant,

Ὁ τοῦ παιδὸς πατὴρ Διονύσιος, τῶν ἐξ Ἱπποκράτους θεωρήσας τὸ ἄναλκες, τοῦτον σὺν τῇ μητρὶ πρὸς Κῦρον καὶ Ἰωάννην ἀπέστειλεν, ὡς πρὸς Ἐλισσαῖον ποτὲ Ναιεμὰν τὸν σύρον ὁ Δαμασκοῦ βασιλεύων ἐξέπεμψεν· καὶ τούτους ἐλθόντας ἀπολαβόντες οἱ μάρτυρες, μετ᾽ ὀλίγον ἀπέλυσαν θεραπεύσαντες· φανέντες γὰρ τῇ μητρὶ τοῦ παιδὸς ὡς ἐκάθευδεν, τοῦτον χρίειν δι᾽ ἑαυτῆς ἀπὸ τριχῶν μέχρις ὀνύχων ὑΐῳ προσέταττον στέατι, οἰκονομίᾳ χρησάμενοι τὴν αὐτῆς ψυχὴν θεραπεῦσαι σπουδάσαντες· βεβλάφθαι γὰρ τὴν Ἰουλίαν, τοῦτο γὰρ αὐτῆς ὑπῆρχε τὸ ὄνομα, περὶ τὴν πίστιν ἐφήμιζον, πρὸς πλάνην

idem hominibus invictum esse languorem, spiritum scilicet nequam, et non melancolichum humorem, causam habentem.

Cumque Dionysius pueri pater discipulorum * Hippocratis infirmitatem deprehendisset, hunc cum matre ad Cyrum et Iohannem misit, sicuti ad Heliseum quondam Neemam syrum rex Damasci direxit; quos cum venissent, martyres receperunt, et post modicum dimiserunt, curatione donata. Apparentes enim matri pueri cum dormiret, hunc linire per se a capillis usque ad ungulas porcino praecipiunt adipe, divina dispensatione utentes, et ipsius curare animam festinantes; laesam quippe Iuliam esse, hoc enim erat

* *cod.* ex libris *pro* discipulorum.

ἑλληνικὴν ἀποκλίνουσαν, καὶ ταύτῃ διὰ τὸν Ἀδώνιδος θάνατον τὰ κρέα παραιτεῖσθαι τὰ ὕϊα· καὶ εἴτ' ἀληθῆ ἦν τὰ λεγόμενα, εἴτε ψευδῆ τὰ τῆς φήμης ἐτύγχανεν, θεὸν εἰδέναι, καὶ τοῦτο κελεύσαντας μάρτυρας· ὅτι μὲν γὰρ τὰ κρέα παρῃτεῖτο τὰ ὕϊα, φανερὸν ὑπῆρχε καὶ ἄμαχον· ὅτου δὲ χάριν ταῦτα μὴ ἤσθιεν, οὐδεὶς τῶν ἐγγυτάτων ἐγίνωσκεν· πλὴν τοῦ παιδὸς ἡ ἀσθένεια τὸ κελευσθὲν ποιεῖν ἐβιάζετο· καὶ τοῦτον τῷ μηνυθέντι καταχρίουσα στέατι, ἀῤῥωστοῦντα προδήλως κατέχριε, καὶ φανερὰ τῆς ἀῤῥωστίας τὰ σήμαντρα φέροντα.

Τὸ δὲ τούτῳ παρενοχλοῦν καὶ θλίβον δαι-

nomen eius, circa fidem diffamabant, ad gentilem inclinatam errorem, ac proinde propter Adonidis mortem carnes refutare suillas. Et sive vera quae dicebantur essent, sive falsa, quae opinio divulgabat, Deum nosse, et qui hoc praeceperant martyras: quia enim carnes execrabatur porcinas, manifestum erat et inambiguum. At vero cuius rei gratia has non manducabat, nullus ex his qui non ex propinquis erat sciebat. Verumtamen infirmitas pueri iussionem facere cogebat, et hunc insinuato liniens adipe, infirmum manifeste linivit, et manifesta infirmitatis ferentem insignia.

Praeterea daemonium, quod huic molestum

μόνιον τὴν τελείαν τοῦ χρίσματος μὴ περιμεῖναν προσένεξιν, ὡς ὑπὸ θείας δυνάμεως μαστιζόμενον ἔφευγε. Κῦρος γὰρ αὐτὸν καὶ Ἰωάννης ἀοράτως ἐμάστιζον, οἱ θείᾳ δυνάμει περιστρωβεῖν ἠθισμένοι τοὺς δαίμονας· ὅθεν ἀπ' ἐκείνου τοῦ χρόνου μέχρις οὗ κατὰ τόνδε τὸν βίον ἦν ὁ Ἰσίδωρος, ἀπρόσιτος ὑπῆρξε τοῖς δαίμοσιν, καὶ πεῖραν αὐτῶν τοῦ λοιποῦ τοιαύτην οὐκ ἔλαβεν, οἵαν πρὸ τῆς καταφυγῆς τῆς εἰς τοὺς μάρτυρας Κῦρον καὶ Ἰωάννην ἐλάμβανεν· οἶμαι δὲ καὶ αὐτὴν ὀφεληθεῖσαν τῷ θαύματι εἴπερ ἐπ' ἀληθείας ἐβέβλητο, εἰ μή σφόδρα δυσσεβής τις ἦν καὶ ἀνόητος· ἡμεῖς δὲ καὶ ἐνταῦθα θεὸν ἀνυμνήσαντες, καὶ μάρτυρας τοὺς ἐργάτας τοῦ θαύ-

erat et comprimebat, perfectam unctionis attrectationem non praestolans, tamquam a divina fugiebat virtute flagellatum. Cyrus enim ac Iohannes invisibiliter flagellabant, qui divina virtute circumterere consueti sunt daemonas; unde ab illo tempore, quousque in hac fuit vita Isidorus, inaccessibilis erat daemonibus, et experimentum eorum tale de cetero non accepit, quale ante refugium ad Cyrum et Iohannem martyras accipiebat factum. Opinor autem et ipsam hoc miraculo profecisse, si dumtaxat veraciter erat laesa, vel si non quaedam valde insensata et impia extitit. Porro nos et hic Deo, et miraculi operatoribus

ματος, ἐφ' ἕτερον θαῦμα τὴν γλῶτταν ὁπλίσωμεν, ταύτης ἀρωγοὺς τοὺς τῶν θαυμάτων ἐργάτας ποιούμενοι.

νε. ΠΕΡΙ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΚΥΠΡΙΟΥ ΤΟΥ ΑΠΟ ΜΑΓΙΑΣ ΓΕΓΟΝΟΤΟΣ ΛΟΥΡΩΠΟΔΟΣ.

Φοινίκης ἐγγὺς ἡ Κύπρος καθέστηκεν, μεταξὺ τὸ παρθενικὸν ἔχουσα πέλαγος, ὅπερ τῷ νοῒ διαπλεύσαντες, ἐκ Φοινίκης τῇ νήσῳ προσβάλλομεν, καὶ τὸν λαπήθιον εὑρηκότες Θεόδωρον, καὶ τὰ κατ' αὐτὸν ἀκριβῶς ἐρευνήσαντες, πρὸς εὐφημίαν τῶν δεδρακότων συγγράψωμεν· ἰατρὸς ὑπῆρχε Θεόδωρος, καὶ τὴν τέχνην εὐδόκιμος, καὶ διὰ τοῦτο περίφημος· οὗτος ἀπὸ μα-

hymnis benedicentes, ad aliud miraculum linguam armemus, huius adiutores miraculorum operarios facientes.

55. DE THEODORO CYPRIO QUI A MAGIA FACTUS EST LORDUS.

Phoenicæ proxima Cyprus extat, interpositum habens parthenicum pelagus, quod animo navigantes, a Phoenice in insulam venimus, et lapithio invento Theodoro, et his quae illius sunt districtius perscrutatis, haec ad laudem eorum qui operati sunt conscribamus. Medicus erat Theodorus, arteque bene probatus, et idcirco ubique

γίας ἀκίνητος γίγνεται, καὶ τοῦ πάθους ἀγνοήσας τὸ αἴτιον, ἑαυτὸν θεραπεύειν ἐσπούδαζεν, ἐκεῖνα ποιῶν, ἅπερ αὐτὸν ἰατρεύειν ἐνόμιζεν, καὶ ἃ παθόντας ἑτέρους, οὐ μαγίαν ἀλλ' ἀργείαν μελῶν προσενέγκας ὠφέλησεν· ἀλλ' ὡς πάντα ποιήσας ἑαυτῷ τῆς νόσου τὴν φυγὴν οὐκ ἐβράβευσεν, τῆς τέχνης ἐγνωκὼς τὴν ἀσθένειαν, Κύρου πρόσφυξ καὶ Ἰωάννου καθίσταται, τῶν φυγαδεῦσαι δυναμένων τὸ νόσημα, καὶ χαρίσασθαι τῷ νοσοῦντι τὴν ἴασιν.

Ἐλθόντι γὰρ αὐτῷ καθ' ὕπνον οἱ μάρτυρες φαίνονται, καὶ φανέντες τὸ πάθος εὐθὺς φυγαδεύουσιν (1)· καὶ φρύξαι πυρὸς τοῦτον ἐν ἄνθρα-

famosus. Hic a magia immobilis fit, causamque passionis ignorans, semetipsum curare studebat, illa faciens quae se fore sanatura sperabat, et quae aliis non magiam sed otiositatem membrorum patientibus saepe afferens profuit. Sed cum omnia fecisset (quin a se morbum depelleret, artis cognita *) infirmitate Cyri Iohannisque profugus constituitur, valentium et languorem fugare, et languenti sanitatem donare.

* haec desunt in cod.

Itaque venienti ei martyres in visu videntur, et visi passionem continuo fugant hoc medicamine usi. Porci pnemonem sumere, et torrere hunc

(1) Desunt aliquot in graeco textu verba, quae latinus conservavit.

ξιν, καὶ φρυγέντα σὺν οἴνῳ λεάναι καὶ χρίσαι· ἐπειδὴ δὲ τὴν χάριν ἔδει μὴ ἀτελῆ τοὺς ἁγίους δωρήσασθαι, Θεόδωρον μὲν τοῖς εἰρημένοις ἰάσαντο βοηθήμασιν· γνωρίσαντες δὲ τὸν μαγεύσαντα, καὶ τὰ τῆς μαγίας θεραπεύσαντες ὄργανα, τὸν δεδρακότα κατ' ἀξίαν ἀμείβονται· ὅτε γὰρ ἐνσκευάσαι Θεοδώρῳ προσέταττον τὸ βοήθημα, καὶ τούτῳ συνεμίγνυον τῷ κελεύσματι, ἀπόστειλον λέγοντες τινὰ τῶν σοι διακονουμένων εἰς Λάπηθον, καὶ πρὸ τοῦ κοιτῶνος τοῦ σοῦ παρὰ τὸ πρόθυρον σκάψαι διάταξον· ἐκεῖσε γὰρ εὑρήσει τὸ τοῦ δεδρακότος κακούργημα, ὑπὸ τὸ πρόθυρον ἀφανῶς καλυπτόμενον· ὃ καὶ φανερούμενον, εὐθὺς ἀναιρεῖ τὸν ποιήσαντα· πέμψας δὲ

ignis in prunis et torrido cum vino linire ac inungere membra quae patiebantur, praecipiunt. Quia vero gratiam oportebat non imperfectam sanctos donare, Theodorum quidem praedictis sanaverunt auxiliis, eo vero qui magias exercuit agnito, magiaeque organis manifestis effectis, dignam auctori vicissitudinem tribuunt. Quando enim Theodoro conficere adminiculum praeceperunt, etiam hoc iussioni miscebant, mitte dicentes quemquam ministrantium tibi ad Lapithon, et ante cubile tuum prae foribus fodere dispone. Illic enim insidiantis invenies maleficium sub vestibulo invisibiliter coopertum; quod manifestatum mox, cum qui fecit

Θεόδωρος ὡς κεκέλευστο κατὰ τὸν λεχθέντα τόπον, τὸ τῆς ἀῤῥωστίας εὕρισκον αἴτιον· καὶ τοῦτο φανὲν, ἀφανὴς εὐθέως ὁ κακουργήσας ἐγένετο, θανάτου τοῦτον παραχρῆμα συλήσαντος, καὶ μαρτύρων ῥοπῇ τὸν Θεόδωρον ἐκδικήσαντος· ἑβραῖος δ' ἦν, καὶ τοιαύτης ὑπολήψεως οὐκ ἐλεύθερος· διὸ καὶ τῶν ἰδίων ἔργων τοὺς πόνους ἐδρέψατο, κατάλληλα λαβὼν τῇ γεωργίᾳ τὰ δράγματα· ἡμεῖς δὲ τῶν ἁγίων τὸ σθένος θαυμάσαντες, καὶ ὡς οἷοί τέ ἐσμεν αὐτοὺς ἀνυμνήσαντες, ἕτερα αὐτῶν οὐκ ἐλάττονος ὁρμῆς καὶ δυνάμεως τῷ γράμματι διαγγείλωμεν.

interimet. Mittens autem Theodorus sicut iussus est ad iam dictum locum, infirmitatis repperit causam. Et hac apparente, qui male id operatus est, statim disparuit, morte hunc protinus rapiente, et martyrum nutu Theodorum defendente. Hebraeus autem erat, et huiuscemodi aestimationis nullo modo liber; propter quod et operum messuit propriorum labores, competentes accipiens agriculturae manipulos. Porro nos sanctorum robore collaudato, et sicuti possumus eis hymnis glorificatis, alia eorum non minoris motus atque virtutis, hoc scripto denunciabimus.

νϛ. ΠΕΡΙ ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΚΥΠΡΙΟΥ ΤΟΥ ΤΟΥΣ ΠΟΔΑΣ ΕΞ ΕΝΕΡΓΕΙΑΣ ΔΑΙΜΟΝΟΣ ΑΣΘΕΝΗΣΑΝΤΟΣ.

Μὴ παρίδωμεν δὲ τὸν Γεώργιον, ἔτι κατὰ τὴν Κύπρον διάγοντες, ὅτι πένης ἐστὶν καὶ πτωχείᾳ συνέχεται· ἐπεὶ μήτε Κῦρος αὐτὸν καὶ Ἰωάννης παρίδον οἱ μάρτυρες, ἀλλ' ὡς φιλόπτωχοι προσελάβοντο, καὶ θεραπείας ἠξίωσαν, ὡς ἀληθεῖς φιλοπένητες· γεωργὸς γὰρ ἦν ὁ Γεώργιος, καὶ χωρίον ᾤκει τῇ Νεμεσῷ παρακείμενον· Φαῦα τὸ χωρίον ἐλέγετο, καὶ πεντήκοντα μὲν τῆς πόλεως, τρισὶ δὲ καὶ ἥμισυ τῆς θαλάττης σταδίοις διέστηκεν· οὕτω δὲ τοὺς πόδας ἠσθένησεν ὁ Γεώργιος· τὰ κατ' ἀγροὺς ἐπεσκέ-

56. DE GEORGIO CYPRIO QUI PEDIBUS EX OPERATIONE DAEMONIS INFIRMATUS EST.

Non autem despiciamus Georgium adhuc in Cypro degentem, quoniam pauper est, et egestate deprimitur, nam nec Cyrus eum et Iohannes martyres despexerunt, sed ut amatores pauperum assumpserunt, et curatione dignum exhibuerunt, tamquam veri pauperum amatores. Agri cultor erat Georgius, et praedium habitabat quod apud Nemesum adiacebat. Phauha idem praedium vocabatur, quod quinquaginta quidem a civitate, tribus autem et dimidio stadiis a mari distabat. Praeterea sic pedibus Georgius infirmatus est. Quae

πτετο, καὶ λαγῶον ὡς ἐνόμιζεν ἔβλεπεν, καὶ κατιδὼν κατεδίωκε· γλυκὺ γὰρ τοῦτο τοῖς ἀγροίκοις τὸ θήραμα, καὶ παροτρῦνον εἰ φανῇ πρὸς κατάληψιν· ἀλλὰ διώκων οὐκ ἔλαβεν· οὐ γὰρ ἦν λαγωὸς τὸ φαινόμενον ἀλλὰ πνεῦμα πονηρὸν καὶ μισάνθρωπον· τοῦ δρόμου δὲ πάλιν παυσάμενος, τοὺς πόδας κινεῖν οὐκ ἠδύνατο, ἀλλ' ἀκίνητος μετὰ δρόμον διέμενε, λαγωὸν μὲν οὐκ εἰληφὼς, εἰληφὼς δὲ τῶν ποδῶν τὸν ἐπίδεσμον· τοιαῦτα γάρ ἐστιν ἐκείνου τοῦ λαγωοῦ τὰ χαρίσματα.

'Εντεῦθεν ἐπὶ Κῦρον καὶ 'Ιωάννην τοὺς μάρτυρας ἐπ' ὤμων αἰρόμενος ὁ Γεώργιος ἄγεται, καὶ τοῖς τούτων ποσὶν ὑπὸ τῶν θρεψαμένων

per agros erant inspiciebat, et leporem ut autumabat videbat, et intuens insequebatur. Dulcis namque est haec venatio rusticis, et incitans si apparuerit ad capiendum. Verum persequens non comprehendit, non enim erat lepus qui apparuerat, sed spiritus nequam, et hominem odiens. Porro a cursu iterum cessans, pedes movere non poterat, sed immobilis post cursum manebat, leporem quidem non capiens, capiens autem pedum obligamentum; talia enim sunt illius leporis dona.

Hinc ad Cyrum et Iohannem super humeros Georgius asportatus effertur, et horum pedibus

προσρίπτεται· καὶ χρόνον ποιήσας συχνὸν ἕως οὗ θεὸς καὶ τῶν ἁγίων ἡ χάρις ἠβούλετο, τόνδε τὸν τρόπον τῆς ἰάσεως ἔτυχεν· ἐπαχθὴς ὑπῆρχεν ὡς ἄῤῥωστος, καὶ κόπον οὐ βραχὺν τοῖς ἀνὰ τὸν νεὼν φιλοπονοῦσι παρείχετο· ταχέως εἰς ἀφεδρῶνας ἐρχόμενος, καὶ μὴ ταχέως αὐτῶν ἐξερχόμενος, ὡς καθεύδειν πολλάκις ἐν τούτοις ἀφίεσθαι, καὶ ἐνβραδύνειν ἐκ συνηθείας καθήμενον· οὕτω δὲ τὸν Γεώργιον ἰδόντες οἱ μάρτυρες, εἰς οἶκτον ἔρχονται καὶ συμπάθειαν· καὶ τοῖς ἀφεδρῶσιν ἐν μιᾷ καθευδήσαντι, ἐν ὀνείροις φαίνονται λέγοντες· ἀναστὰς ἔξειθι, καὶ ἐν τοῖς ἰδίοις κάθευδε στρώμασιν· ὁ δὲ διϋπνισθεὶς, καὶ μηδένα θεασάμενος, πάλιν ἐκάθευδεν· καὶ

ab alumnis proicitur, et tempore multo facto, usque quo Deus et sanctorum gratia voluit, tali modo sanitatem adeptus est. Molestus erat infirmis, et laborem non brevem praestabat his qui talium studium in templo gerebant, citius ad latrinas veniens, sed ab his non citius rediens, ita ut dormire in his crebro dimitteretur, eo quod crebro abiret, et tardaretur ex consuetudine sedens. Taliter autem Georgio martyres viso, ad miserationem veniunt et compassionem, et in latrinis quadam die dormienti in sompnis apparent dicentes: surgens egredere, et in tuis dormi stramentis. Qui expergefactus, et neminem vi-

πάλιν οἱ μάρτυρες ἐκ δευτέρου παρίσταντα, τὰ αὐτὰ διατάττονται· ὁ δὲ πάλιν στραφεὶς, καὶ μηδένα πάλιν ἰδὼν, πάλιν ἐκοιμᾶτο τὸ δεύτερον· ἐκ τρίτου δὲ φανέντες οἱ ἅγιοι, πεζεύοντα δὲ τῶν ἀφεδρώνων ἐξιέναι κελεύουσιν, ἄρτον ἐσθίειν ὀρέξαντες· ὁ δὲ τὸ τρίτον γενόμενος ἄφυπνος, οὐχ ἑώρα μὲν παρόντας τοὺς μάρτυρας, εὕρισκε δὲ τὴν δεδομένην εὐλογίαν πρὸς ἴασιν, καὶ ταύτην φαγὼν ἀνερώννυτο· καὶ τῆς τῶν ἁγίων μνημονεύσας κελεύσεως, τῶν ἀφεδρώνων ἀνίσταται, καὶ ἀλλόμενος ἔξεισι, ἐκεῖσε καταλείψας τὸ νόσημα, καὶ τῶν ἁγίων δοξάζων τὴν δύναμιν· ἔτι δὲ καὶ οὗτος περίεστι, καὶ περιπολεῖ τῶν μαρτύρων τὸ τέμενος, τὴν νόσον ὁμοῦ καὶ τὴν

dens, iterum dormiebat. Et iterum martyres secundo astant, eadem disponentes. At ille conversus iterum, et neminem rursus intuitus, iterum secundo dormiebat. Tertio autem sancti ei apparentes, peditem a latrinis egredi iubent, panem porrigentes ad manducandum. Porro tertio factus in somnis non quidem praesentes videbat martyras, sed inveniebat benedictionem datam ad sanitatem; et cum hanc manducaret, convalescebat. Sanctorum iussionis memor, a latrinis surgit, et saliens exit, ibidem languorem dimittens, sanctorum virtutem glorificans. Adhuc autem et superest iste, et martyrum peragrat templum,

ἴασιν διηγούμενος, καὶ πρὸς αἶνον Θεοῦ, καὶ τῶν ἰασαμένων ἁγίων ᾠδὴν κινῶν τοὺς ἀκούοντας.

νζ. ΠΕΡΙ ΚΥΡΙΑΚΟΥ ΤΟΥ ΡΟΔΙΟΥ ΔΑΙΜΟΝΙΩΝΤΟΣ.

Οὐκ ἄκαιρον δὲ καὶ Κυριακοῦ τοῦ ῥοδίου μνήμην ποιήσασθαι, καὶ τοῖς νησιώταις τὸν νησιώτην συναριθμήσασθαι, καὶ τοῖς κυπρίοις συντάξαι τὸν ῥόδιον· πλεῖον γὰρ χαίρειν τοὺς νησιώτας ἀλλήλοις ὑπείληφα, ἢ χαίρουσι τοῖς οὐ νησιώταις τυγχάνουσιν. Κυριακὸς τοίνυν ὁ ῥόδιος δαιμόνιον ἔσχεν ἀκάθαρτον καὶ τῶν πλειόνων πολὺ χαλεπώτερον, ἄγριόν τε καὶ μισάνθρωπον, καὶ πολλοῖς αὐτὸν περιβάλλον συμπτώμασιν· καὶ πολλάκις ἂν τῆς ζωῆς ταύτης αὐ-

languorem pariter et sanitatem enarrans, et ad laudem Dei sanctorumque canticum qui sanaverunt commovens audientes.

57. DE CYRIACO RHODIO DAEMONIUM PASSO.

Non autem ineptum est Cyriaci etiam rhodii facere mentionem, et cum insulanis insulanum connumerare, et cypriis annectere rhodium; plus enim congratulari insulanos invicem accepi, quam congratulentur hii qui non sunt insulani. Cyriacus igitur hic rhodius daemonium habebat immundum, et multis aliis saevius, quod cum efferum id est hominem odio haberet, multis hunc casi-

τὸν ἀπεσΊέρησεν, εἰ μὴ Χρισῖὸς ὁ τῶν ὅλων κηδεμὼν καὶ τῆς ἀνθρωπείας φύσεως φύλαξ ἀνύστακτος ἐπιτιμῶν διεκώλυεν· οὔτε γὰρ ἡσυχάζειν καὶ πρὸς ὀλίγον εἴα τὸν ἄνθρωπον, οὔτε δεσμοῖς ὑποτάττεσθαι, οὔτε σιδηραῖς ὑποκύπτειν ἀλύσεσιν, οὔτε τοῖς ἄλλοις μηχανήμασιν φράττεσθαι, οἷς οἱ τοιοῦτοι πεφύκασι σωφρονίζεσθαι, ἀλλ' ἦν ἀδεής τε καὶ ἄφοβος λογισμῶν ἔρημος καὶ πάσης διανοίας ὀρφανὸς καὶ ἀλλότριος.

Βιαίως δὲ πάνυ πρὸς Κῦρον ἀχθεὶς καὶ Ἰωάννην τοὺς μάρτυρας, τοῦ δαίμονος ἀπηλλάττετο· κατὰ βραχὺ γὰρ τὸν λογισμὸν καταστήσαντες, καὶ τὰ ἀνθρώπων αὐτῷ φρονεῖν ἐχαρί-

bus immittebat; et frequenter actum est ut eum hac vita privasset, nisi Christus procurator omnium, et humanae naturae custos non obdormiens, increpasset et cohibuisset; neque enim quiescere saltem ad modicum hominem permittebat, neque vinculis neque ferreis incurvari catenis, neque aliis machinamentis turbari, quibus soliti sunt huiusmodi corrigi. Sed erat intrepidus, et sine timore cogitationibus destitutus, et omni sensu orbus et alienus.

Porro admodum violenter ad Cyrum et Iohannem martyras ductus, a daemonio liber effectus est: paulatim quippe sensum restituentes, ei et-

σαντο· οὕτω δὲ διαθῶντες τὸν ἄνθρωπον οἰκτροτάτῳ φαρμάκῳ, καὶ τὸ δαιμόνιον ἐκδιώκουσιν, δεῖξαι τάχα βουλόμενοι τοῦ πονηροῦ τὴν ἀσθένειαν· κρέα γὰρ μόσχεια λαβεῖν ἐπιτρέψαντες, ἄνθραξί τε ταῦτα καταφλέξαι προστάξαντες, σὺν οἴνῳ λεάναι καὶ χρίσαι τὸ σῶμα θεσπίζουσιν· καὶ τοῦτο Κυριακοῦ τὸ τάχος ποιήσαντος, φροῦδον εὐθὺς γέγονε τὸ δαιμόνιον, οὐ τὸ φάρμακον δειλιάσας ὁ δαίμων ὁ κάκιστος, ἀλλὰ Κύρου φρίξας καὶ Ἰωάννου τὸ θέσπισμα· οὐδ' ἀναστρέψας ἔτι πρὸς οἴκησιν, ἀλλ' ἄπεισι πεφευγὼς εἰς ἀοίκητον, καὶ ταυτὶ βοῶν ἑαυτοῦ τὸ ἀδύναμον καὶ τῶν διωξάντων τὴν δύναμιν· ἡμεῖς

iam quae hominum sunt sentire donarunt. Sic autem tractantes hominem, et daemonium vilissimo medicamine pellunt, ostendere forte volentes infirmitatem maligni. Carnes quippe vitulinas sumere praecipientes, prunisque has cremare iubentes, cum vino fricare, et ungere corpus decernunt. Quod cum celeriter Cyriacus egisset, inane statim daemonium factum est, non medicamentum formidans nequissimus ille daemon, sed Cyri metuens et Iohannis praeceptum. Nec ad habitandum ultra reversus est, sed semper fugiens absque habitatione manebat, hoc modo clamans et suam ipsius impossibilitatem, et pellentium propalans virtutem. Porro nos emundato congra-

δὲ τῷ καθαρισθέντι συγχαίροντες, καὶ τοὺς καθαρίσαντας αὐτὸν ἁγίους δοξάζοντες, καὶ Χριστὸν τὸ τοιοῦτο αὐτοῖς δεδωκότα τὸ σθένος γεραίροντες, ἀρχὴν ἑτέρου ποιησώμεθα θαύματος.

νη. ΠΕΡΙ ΠΕΤΡΟΥ ΤΟΥ ΑΜΜΑΔΑ ΧΟΙΡΑΔΑΣ ΕΣΧΗΚΟΤΟΣ ΠΕΡΙ ΤΟΝ ΤΡΑΧΗΛΟΝ.

Πέτρος ὁ χάραξ, ἀνὴρ γέγονε τίμιος, γένει δὲ καὶ πλούτῳ καὶ φρονήσει γαυρούμενος, καὶ τρίτης Παλαιστίνης, ταύτης γὰρ πόλις ἐστὶ τὰ Χαραγμωβὰ, τυγχάνων ἐπίδοξος, τῆς πατρίδος τὰ ὅρια ταῖς εὐφημίαις ἐπέρασε, καὶ τοῖς ὑπερορίοις ὡς τοῖς ἐγχωρίοις ἐτύγχανε γνώριμος· οὐ τοσοῦτον ἐκ θέας ὅσον ἐκ φήμης αὐτοῖς γινωσκόμενος. Πέτρος οὖν οὗτος ὁ κάλλιστος, ὁ

tulantes, et sanctos qui hunc mundavere glorificantes, Christumque qui talem illis contulit fortitudinem honorantes, initium alterius faciamus miraculi.

58. DE PETRO AMMADA QUI SCROFAS HABUIT.

Petrus ille charax, vir honorabilis fuit, genere, divitiis, et prudentia decoratus, et ex tertia Palaestina (huius enim civitas sunt illa Charagmata) gloriosus exortus. Qui patriae terminos laudibus transiit, et ita externis cognitus aderat, non tantum ex visione, quantum ex laude illis notus

πλούτῳ ῥεόμενος, ὁ Γένει καὶ φρονήσει κοσμούμενος, χαλεπῷ νοσήματι περιπέπτωκεν· φείδεται γὰρ οὐδ' αὐτῶν τὰ τῆς φύσεως ἴδια, εἰ καὶ τοῖς λεχθεῖσιν πλεονεκτήμασιν διαφέρειν τῶν ὁμοφύλων νομίζουσιν· τοιοῦτο δὲ ἦν καὶ τὸ νόσημα· τὰς χοιράδας πάντως ἀκούετε, καὶ ἀκούοντες πάντως γινώσκετε, καὶ οἴδατε ὡς πάθος ἐστὶ δυσκατέργαστον, καὶ νόμοις ἰατρῶν οὐ πειθήνιον, καὶ ἄγχον ἀγρίως τοὺς πάσχοντας· τοῦτο καὶ Πέτρος περὶ τὸν τράχηλον ἔσχηκε, καὶ σχὼν ἀποθανεῖν ἐκινδύνευε, τοιοῦτο γὰρ τῶν χοιράδων τὸ Γέννημα, καὶ κινδυνεύων ἠπόρει τοῦ σώζοντος, ἰατροῦ μὴ δυναμένου πρὸς τὸ πάθος μαχήσασθαι, καὶ μαχησαμένου τὴν νίκην κομί-

effectus est. Ergo Petrus hic optimus divitiis affluens, prosapia ornatus, et prudentia famosus, saevum languorem incidit; naturae quippe propria nec sibimet parcunt, licet iam dictis virtutibus distare a contribulibus autument. Talis etiam erat languor. Scrofas profecto auditis, et audientes utique nostis, scitis enim quam sit haec passio ad sanandum difficilis et medicorum legibus non obsecundans, et angens bestialiter patientes. Hoc et Petrus circa collum habebat, et habito moribundus periclitabatur; tale quippe scrofarum est genimen; et periclitaturum qui salvaret non aderat, dum medicus dimicare contra ae-

σασθαι· ἀλλὰ πολλῶν μὲν εἰσπηδώντων πρὸς τὸ στάδιον, οὐδενὸς δὲ τὸ βραβεῖον λαμβάνοντος, ἀλλ' ἡττωμένου καὶ φεύγοντος, καὶ τῇ φυγῇ στεφανοῦντος τὸ νόσημα.

Ἐπὶ πολὺ δὲ τοῦ πάθους κρατήσαντος, καὶ ἰατροῦ τοῦ παλαίοντος ἐπιλείψαντος, θανάτου πλησίον ὁ Πέτρος ἐγίνετο· ἀλλὰ τοῦτον οἱ μάρτυρες φθάσαντες, τῶν ᾅδου χειρῶν ἐλυτρώσαντο· ὡς γὰρ ἐν ἐσχάτοις ὢν ἐκινδύνευε, Κῦρον καὶ Ἰωάννην τοὺς ἁγίους ἐπύθετο, μόνους νικῆσαι δυναμένους τὸ νόσημα· καὶ μὴ βραδύνας τῆς πατρίδος ἀπέπλεεν, πίστιν ἁγνὴν ἐπαγόμενος, πεῖσαι δυναμένην τοὺς μάρτυρας· ὅθεν οὐδὲ τεττάρων πλεῖον ἡμερῶν οἱ θεσπέσιοι τοῦ-

gritudinem non valet, vel dimicans afferre victoriam. Verum multi quidem insiliebant in stadium, nemo tamen accipiebat bravium, sed superatus effugiens, coronabat fuga languorem.

Diutius autem passione optinente, et medico qui luctaretur deficiente, morti Petrus appropinquavit. Sed hunc martyres praeoccupantes, de inferni manibus liberarunt. Cum enim in novissimis esset, periclitabatur; [sanctosque Cyrum ac Iohannem fando audiebat] qui soli languorem vincere poterant; et nihil moratus a patria navigavit, fide purissima ductus, quae valeret inflectere martyras, unde nec ultra quatuor dies egre-

τον ἰδεῖν ἠνέσχοντο πάσχοντα, ἀλλὰ τῇ ταύτης ἐπιφανέντες νυκτὶ, τῆς ἀῤῥωστίας ἐδίδουν τὸ φάρμακον· ἄρτος δὲ ἦν, τὴν ἐκ πυρὸς ἔτι φέρων θερμότητα, ὃν διαπρίσαι προσέταττον, καὶ θερμὸν προσενέγκαι ταῖς χοιράσιν ἐπίθεμα, καὶ τοῦτο βαστάσαι ὡς ὡρῶν πέντε διάστημα τῷ τραχήλῳ προσφιλῶς ἐπικείμενον· καὶ τότε λουτρῷ προσπελάσαντα, καὶ ἔσω κατὰ τὸν θερμὸν ἀέρα γενόμενον, ἀποσπᾷν τοῦ τραχήλου τὸ φάρμακον, καὶ τοῦτο πάλιν χρᾶσθαι λουσάμενον, μέχρι τελείας τοῦ πάθους ἰάσεως.

Ὁ δὲ γρηγορήσας, καθ' ὕπνον γὰρ ταῦτα ποιεῖν ἐκελεύετο, σπουδαίως ἔδρα τὸ θέσπισμα, καὶ τὸ πάθος ἀπέβαλε σπουδαιότερον· τελέσας

gii illi hunc videre patientem patiebantur, sed eadem nocte apparentes infirmitatis dabant remedium. Panis autem erat ferens adhuc ex igne calorem, quem secare praecipiebant, et calidum afferre pro epithemate scrofis, et hoc portare spatio quasi horarum quinque, amabiliter appositum collo, et tunc balneo appropinquare, et intus intra calidum aërem inveniri, et a collo evellere medicinam, et hac rursus uti, dum lavaretur usque ad perfectam aegritudinis sanitatem.

Qui evigilans, in somnis enim haec facere iubebatur, praeceptum studiose gerebat, et passionem studiosius deponebat. Consummata enim ius-

γὰρ τῶν ἁγίων τὴν κέλευσιν, καὶ τῷ τραχήλῳ περιθεὶς τὸ βοήθημα, καὶ ἐν τῷ λουτρῷ μετὰ τοῦτο γενόμενος, ἀποσπῶν τοῦ τραχήλου τὸ φάρμακον, καὶ τὰς χοιράδας αὐτῷ συναπέσπασεν, καὶ ταῖς χοιράσι τὸν ἐξ αὐτῶν γινόμενον κίνδυνον· φασὶ δὲ καὶ ταύτας ἑξήκοντα καὶ ἑπτὰ τὸν ἀριθμὸν μετρηθῆναι πεσούσας τοῦ τένοντος, καὶ δύο σὺν αὐταῖς ἐναῤῥενοθῆλυ, τὸ τοῦτο γεννῆσαν τὸ μισάνθρωπον στράτευμα· ἐπιθεὶς δὲ πάλιν τῷ τραχήλῳ τὸ φάρμακον ἡμέρας ὡσεὶ τρεῖς, καὶ τὰ τούτου θεραπεύεται τραύματα, καὶ χαριστηρίους ᾠδὰς προσενέγκας τοῖς μάρ-

sione sanctorum, et collo circumposito illo praesidio, et post hoc inventus in balneo, cum extraxisset a collo medicamentum, et scrofas cum ipso simul abstraxit, et cum scrofis periculum quod ex ipsis erat procul dubio nasciturum. Aiunt autem etiam has sexaginta et septem fuisse dinumeratas cum cecidissent a iugulo colli, et duas cum ipsis masculini simul sexus et feminini, quae hunc hominum osorem generaverunt exercitum; supposito vero collo iterum medicamine, diebus quasi tribus quoque curantur vulnera, et omnis abiecta est quam habebat infirmitas « scrofarum videlicet porcinarum periculum, et ad sanandum difficilia vulnera * ». Gratificisque cantibus oblatis martyribus, gaudens pariter et exultans re-

* *haec desunt in graeco.*

τυσι, χαίρων ὁμοῦ καὶ σκιρτῶν ἀπεδήμησεν, νεὼν αὐτοῖς ἐν Χαραγμωβίοις γιγνόμενος, ὡς σεσωκόσι, δομήσασθαι συνθέμενος.

νθ. ΠΕΡΙ ΣΤΕΦΑΝΟΥ ΤΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ, ΤΟΥ ΕΚ ΚΕΦΑΛΗΣ ΕΞΕΝΕΓΚΑΝΤΟΣ ΤΗΝ ΣΚΟΛΟΠΕΝΔΡΑΝ.

Τί δὲ καὶ τὸν ἐξ Ἀσίας οὐ παράγομεν Στέφανον, καὶ τοῖς φιλομάρτυσι τὰ κατ' αὐτὸν διηγούμεθα; ἱκανὰ γὰρ ταῦτα πρὸς γνῶσιν ἐρχόμενα, καὶ τὴν τῶν ἁγίων ἀλκὴν παραστήσασθαι, καὶ τὴν τῶν φιλαγίων αὐξῆσαι διάθεσιν· ἀσιανὸς ὑπῆρχεν ὁ Στέφανος Ἀφροδισιάδος τῆς πόλεως· οὗτος τισὶν ἱκετεύσασιν, χρυσίον ἐδάνεισεν, πίστει κατὰ τὸ σωτήριον ἔνταλμα δεδωκὼς

cessit, templum illis apud Charagmata facturus, sicuti fuerat pollicitus, his qui se salvaverant dedicandum.

59. DE STEPHANO APHRODISIEO QUI EXTRAXIT E CAPITE SCOLOPENDRAM.

Ut quid ex Asia venientem non producimus Stephanum, et amatoribus martyrum quae illius sunt enarrabimus? Sufficiunt enim haec, cum ad notitiam venerint, tam ad virtutem sanctorum exhibendam, quam ad affectum sanctos amantium augmentandum. Asianus erat Stephanus Aphrodisiadis civitatis. Hic quibusdam supplicantibus pe-

τὸ ἀργύριον, καὶ μηδὲν πρὸς ἀσφάλειαν ἑαυτοῦ κομισάμενος· γνήσιοι γὰρ ἦσαν οἱ τὸ χρῆμα λαμβάνοντες, καὶ διὰ τοῦτο μὴ δεῖσθαί τινος τῶν ἀναγκαζόντων ὁμολογεῖν τοὺς ἀγνώμονας ὑπελάμβανεν· οἱ δὲ τῆς αὐτοῦ κατεγνωκότες ἁπλότητος, καὶ τὸ δοθὲν ἕρμαιον ποιεῖσθαι σπουδάζοντες, ποιοῦνται πονηρὰν ἀντὶ ἀγαθῆς ἀνταπόδοσιν· καὶ φαρμακείᾳ τὸν ἄνδρα μετέρχονται, ἐκ ποδῶν αὐτὸν θᾶττον ποιῆσαι γλιχόμενοι, ἵνα διὰ τὸ τῆς ἀναιρέσεως ἄδηλον, καὶ τὴν δίκην λαθόντες ἐκφύγωσιν, καὶ τὸ δανεῖον μὴ ἐκτίνωσιν· τοῦτο γὰρ ἦν αὐτοῖς τὸ ποθούμενον· ἐλογίζοντο δὲ τάχα καὶ τοῦτο καθ'

cuniam commendavit, fide secundum salutare mandatum pecuniam dans, et nil ad sui securitatem percipiens; propinqui enim erant hii qui pecuniam acceperant, et idcirco necessarium non esse arbitratus est quicquam profiteri, ut soliti sumus exigere ab his quos futuros suspicamur ingratos. At illi eius deprehendentes simplicitatem, et quod datum fuerat lucrificare festinantes, faciunt malignam pro bona vicissitudinem, et virum maleficio impetunt, hunc e medio ablatum citius invisibilem facere gestientes, ut per interemptionis incertum, et iudicium delitescentes effugerent, et mutuum non persolverent; hoc enim desiderium erat illis. Cogitabant autem apud se fortassis mi-

ἴασιν διηγούμενος, καὶ πρὸς αἶνον Θεοῦ, καὶ τῶν ἰασαμένων ἁγίων ᾠδὴν κινῶν τοὺς ἀκούοντας.

νζ. ΠΕΡΙ ΚΥΡΙΑΚΟΥ ΤΟΥ ΡΟΔΙΟΥ ΔΑΙΜΟΝΙΩΝΤΟΣ.

Οὐκ ἄκαιρον δὲ καὶ Κυριακοῦ τοῦ ῥοδίου μνήμην ποιήσασθαι, καὶ τοῖς νησιώταις τὸν νησιώτην συναριθμήσασθαι, καὶ τοῖς κυπρίοις συντάξαι τὸν ῥόδιον· πλεῖον γὰρ χαίρειν τοὺς νησιώτας ἀλλήλοις ὑπείληφα, ἢ χαίρουσι τοῖς οὐ νησιώταις τυγχάνουσιν. Κυριακὸς τοίνυν ὁ ῥόδιος δαιμόνιον ἔσχεν ἀκάθαρτον καὶ τῶν πλειόνων πολὺ χαλεπώτερον, ἄγριόν τε καὶ μισάνθρωπον, καὶ πολλοῖς αὐτὸν περιβάλλον συμπτώμασιν· καὶ πολλάκις ἂν τῆς ζωῆς ταύτης αὐ-

languorem pariter et sanitatem enarrans, et ad laudem Dei sanctorumque canticum qui sanaverunt commovens audientes.

57. DE CYRIACO RHODIO DAEMONIUM PASSO.

Non autem ineptum est Cyriaci etiam rhodii facere mentionem, et cum insulanis insulanum connumerare, et cypriis annectere rhodium; plus enim congratulari insulanos invicem accepi, quam congratulentur hii qui non sunt insulani. Cyriacus igitur hic rhodius daemonium habebat immundum, et multis aliis saevius, quod cum efferum id est hominem odio haberet, multis hunc casi-

τὸν ἀπεστέρησεν, εἰ μὴ Χριστὸς ὁ τῶν ὅλων κηδεμὼν καὶ τῆς ἀνθρωπείας φύσεως φύλαξ ἀνύστακτος ἐπιτιμῶν διεκώλυεν· οὔτε γὰρ ἡσυχάζειν καὶ πρὸς ὀλίγον εἴα τὸν ἄνθρωπον, οὔτε δεσμοῖς ὑποτάττεσθαι, οὔτε σιδηραῖς ὑποκύπτειν ἁλύσεσιν, οὔτε τοῖς ἄλλοις μηχανήμασιν φράττεσθαι, οἷς οἱ τοιοῦτοι πεφύκασι σωφρονίζεσθαι, ἀλλ' ἦν ἀδεὴς τε καὶ ἄφοβος λογισμῶν ἔρημος καὶ πάσης διανοίας ὀρφανὸς καὶ ἀλλότριος.

Βιαίως δὲ πάνυ πρὸς Κῦρον ἀχθεὶς καὶ Ἰωάννην τοὺς μάρτυρας, τοῦ δαίμονος ἀπηλλάττετο· κατὰ βραχὺ γὰρ τὸν λογισμὸν καταστήσαντες, καὶ τὰ ἀνθρώπων αὐτῷ φρονεῖν ἐχαρί-

bus immittebat; et frequenter actum est ut eum hac vita privasset, nisi Christus procurator omnium, et humanae naturae custos non obdormiens, increpasset et cohibuisset; neque enim quiescere saltem ad modicum hominem permittebat, neque vinculis neque ferreis incurvari catenis, neque aliis machinamentis turbari, quibus soliti sunt huiusmodi corrigi. Sed erat intrepidus, et sine timore cogitationibus destitutus, et omni sensu orbus et alienus.

Porro admodum violenter ad Cyrum et Iohannem martyras ductus, a daemonio liber effectus est: paulatim quippe sensum restituentes, ei et-

σαντο· οὕτω δὲ διαθῶντες τὸν ἄνθρωπον οἰκτροτάτῳ φαρμάκῳ, καὶ τὸ δαιμόνιον ἐκδιώκουσιν, δεῖξαι τάχα βουλόμενοι τοῦ πονηροῦ τὴν ἀσθένειαν· κρέα γὰρ μόσχεια λαβεῖν ἐπιτρέψαντες, ἄνθραξί τε ταῦτα καταφλέξαι προστάξαντες, σὺν οἴνῳ λεάναι καὶ χρίσαι τὸ σῶμα θεσπίζουσιν· καὶ τοῦτο Κυριακοῦ τὸ τάχος ποιήσαντος, φροῦδον εὐθὺς γέγονε τὸ δαιμόνιον, οὐ τὸ φάρμακον δειλιάσας ὁ δαίμων ὁ κάκιστος, ἀλλὰ Κύρου φρίξας καὶ Ἰωάννου τὸ θέσπισμα· οὐδ' ἀναστρέψας ἔτι πρὸς οἴκησιν, ἀλλ' ἄπεισι πεφευγὼς εἰς ἀοίκητον, καὶ ταυτὶ βοῶν ἑαυτοῦ τὸ ἀδύναμον καὶ τῶν διωξάντων τὴν δύναμιν· ἡμεῖς

iam quae hominum sunt sentire donarunt. Sic autem tractantes hominem, et daemonium vilissimo medicamine pellunt, ostendere forte volentes infirmitatem maligni. Carnes quippe vitulinas sumere praecipientes, prunisque has cremare iubentes, cum vino fricare, et ungere corpus decernunt. Quod cum celeriter Cyriacus egisset, inane statim daemonium factum est, non medicamentum formidans nequissimus ille daemon, sed Cyri metuens et Iohannis praeceptum. Nec ad habitandum ultra reversus est, sed semper fugiens absque habitatione manebat, hoc modo clamans et suam ipsius impossibilitatem, et pellentium propalans virtutem. Porro nos emundato congra-

δὲ τῷ καθαρισθέντι συγχαίροντες, καὶ τοὺς καθαρίσαντας αὐτὸν ἁγίους δοξάζοντες, καὶ Χριστὸν τὸ τοιοῦτο αὐτοῖς δεδωκότα τὸ σθένος γεραίροντες, ἀρχὴν ἑτέρου ποιησώμεθα θαύματος.

νη. ΠΕΡΙ ΠΕΤΡΟΥ ΤΟΥ ΑΜΜΑΔΑ ΧΟΙΡΑΔΑΣ ΕΣΧΗΚΟΤΟΣ ΠΕΡΙ ΤΟΝ ΤΡΑΧΗΛΟΝ.

Πέτρος ὁ χάραξ, ἀνὴρ γέγονε τίμιος, γένει δὲ καὶ πλούτῳ καὶ φρονήσει γαυρούμενος, καὶ τρίτης Παλαιστίνης, ταύτης γὰρ πόλις ἐστὶ τὰ Χαραγμωβὰ, τυγχάνων ἐπίδοξος, τῆς πατρίδος τὰ ὅρια ταῖς εὐφημίαις ἐπέρασε, καὶ τοῖς ὑπερορίοις ὡς τοῖς ἐγχωρίοις ἐτύγχανε γνώριμος· οὐ τοσοῦτον ἐκ θέας ὅσον ἐκ φήμης αὐτοῖς γινωσκόμενος. Πέτρος οὖν οὗτος ὁ κάλλιστος, ὁ

tulantes, et sanctos qui hunc mundavere glorificantes, Christumque qui talem illis contulit fortitudinem honorantes, initium alterius faciamus miraculi.

58. DE PETRO AMMADA QUI SCROFAS HABUIT.

Petrus ille charax, vir honorabilis fuit, genere, divitiis, et prudentia decoratus, et ex tertia Palaestina (huius enim civitas sunt illa Charagmata) gloriosus exortus. Qui patriae terminos laudibus transiit, et ita externis cognitus aderat, non tantum ex visione, quantum ex laude illis notus

πλούτῳ ῥεόμενος, ὁ γένει καὶ φρονήσει κοσμούμενος, χαλεπῷ νοσήματι περιπέπτωκεν· φείδεται γὰρ οὐδ' αὐτῶν τὰ τῆς φύσεως ἴδια, εἰ καὶ τοῖς λεχθεῖσιν πλεονεκτήμασιν διαφέρειν τῶν ὁμοφύλων νομίζουσιν· τοιοῦτο δὲ ἦν καὶ τὸ νόσημα· τὰς χοιράδας πάντως ἀκούετε, καὶ ἀκούοντες πάντως γινώσκετε, καὶ οἴδατε ὡς πάθος ἐστὶ δυσκατέργαστον, καὶ νόμοις ἰατρῶν οὐ πειθήνιον, καὶ ἄγχον ἀγρίως τοὺς πάσχοντας· τοῦτο καὶ Πέτρος περὶ τὸν τράχηλον ἔσχηκε, καὶ σχὼν ἀποθανεῖν ἐκινδύνευε, τοιοῦτο γὰρ τῶν χοιράδων τὸ γέννημα, καὶ κινδυνεύων ἠπόρει τοῦ σώζοντος, ἰατροῦ μὴ δυναμένου πρὸς τὸ πάθος μαχήσασθαι, καὶ μαχησαμένου τὴν νίκην κομί-

effectus est. Ergo Petrus hic optimus divitiis affluens, prosapia ornatus, et prudentia famosus, saevum languorem incidit; naturae quippe propria nec sibimet parcunt, licet iam dictis virtutibus distare a contribulibus autument. Talis etiam erat languor. Scrofas profecto auditis, et audientes utique nostis, scitis enim quam sit haec passio ad sanandum difficilis et medicorum legibus non obsecundans, et angens bestialiter patientes. Hoc et Petrus circa collum habebat, et habito moribundus periclitabatur; tale quippe scrofarum est genimen; et periclitaturum qui salvaret non aderat, dum medicus dimicare contra ae-

σασθαι· ἀλλὰ πολλῶν μὲν εἰσπηδώντων πρὸς τὸ στάδιον, οὐδενὸς δὲ τὸ βραβεῖον λαμβάνοντος, ἀλλ' ἡττωμένου καὶ φεύγοντος, καὶ τῇ φυγῇ στεφανοῦντος τὸ νόσημα.

Ἐπὶ πολὺ δὲ τοῦ πάθους κρατήσαντος, καὶ ἰατροῦ τοῦ παλαίοντος ἐπιλείψαντος, θανάτου πλησίον ὁ Πέτρος ἐγίνετο· ἀλλὰ τοῦτον οἱ μάρτυρες φθάσαντες, τῶν ᾅδου χειρῶν ἐλυτρώσαντο· ὡς γὰρ ἐν ἐσχάτοις ὢν ἐκινδύνευε, Κῦρον καὶ Ἰωάννην τοὺς ἁγίους ἐπύθετο, μόνους νικῆσαι δυναμένους τὸ νόσημα· καὶ μὴ βραδύνας τῆς πατρίδος ἀπέπλεεν, πίστιν ἁγνὴν ἐπαγόμενος, πεῖσαι δυναμένην τοὺς μάρτυρας· ὅθεν οὐδὲ τεττάρων πλεῖον ἡμερῶν οἱ θεσπέσιοι τοῦ-

gritudinem non valet, vel dimicans afferre victoriam. Verum multi quidem insiliebant in stadium, nemo tamen accipiebat bravium, sed superatus effugiens, coronabat fuga languorem.

Diutius autem passione optinente, et medico qui luctaretur deficiente, morti Petrus appropinquavit. Sed hunc martyres praeoccupantes, de inferni manibus liberarunt. Cum enim in novissimis esset, periclitabatur; [sanctosque Cyrum ac Iohannem fando audiebat] qui soli languorem vincere poterant; et nihil moratus a patria navigavit, fide purissima ductus, quae valeret inflectere martyras, unde nec ultra quatuor dies egre-

τον ἰδεῖν ἠνέσχοντο πάσχοντα, ἀλλὰ τῇ ταύτης ἐπιφανέντες νυκτὶ, τῆς ἀῤῥωστίας ἐδίδουν τὸ φάρμακον· ἄρτος δὲ ἦν, τὴν ἐκ πυρὸς ἔτι φέρων θερμότητα, ὃν διαπρίσαι προσέταττον, καὶ θερμὸν προσενέγκαι ταῖς χοιράσιν ἐπίθεμα, καὶ τοῦτο βαστάσαι ὡς ὡρῶν πέντε διάστημα τῷ τραχήλῳ προσφιλῶς ἐπικείμενον· καὶ τότε λουτρῷ προσπελάσαντα, καὶ ἔσω κατὰ τὸν θερμὸν ἀέρα γενόμενον, ἀποσπᾷν τοῦ τραχήλου τὸ φάρμακον, καὶ τοῦτο πάλιν χρᾶσθαι λουσάμενον, μέχρι τελείας τοῦ πάθους ἰάσεως.

Ὁ δὲ γρηγορήσας, καθ' ὕπνον γὰρ ταῦτα ποιεῖν ἐκελεύετο, σπουδαίως ἔδρα τὸ θέσπισμα, καὶ τὸ πάθος ἀπέβαλε σπουδαιότερον· τελέσας

gii illi hunc videre patientem patiebantur, sed eadem nocte apparentes infirmitatis dabant remedium. Panis autem erat ferens adhuc ex igne calorem, quem secare praecipiebant, et calidum afferre pro epithemate scrofis, et hoc portare spatio quasi horarum quinque, amabiliter appositum collo, et tunc balneo appropinquare, et intus intra calidum aërem inveniri, et a collo evellere medicinam, et hac rursus uti, dum lavaretur usque ad perfectam aegritudinis sanitatem.

Qui evigilans, in somnis enim haec facere iubebatur, praeceptum studiose gerebat, et passionem studiosius deponebat. Consummata enim ius-

γὰρ τῶν ἁγίων τὴν κέλευσιν, καὶ τῷ τραχήλῳ περιθεὶς τὸ βοήθημα, καὶ ἐν τῷ λουτρῷ μετὰ τοῦτο γενόμενος, ἀποσπῶν τοῦ τραχήλου τὸ φάρμακον, καὶ τὰς χοιράδας αὐτῷ συναπέσπασεν, καὶ ταῖς χοιράσι τὸν ἐξ αὐτῶν γινόμενον κίνδυνον· φασὶ δὲ καὶ ταύτας ἑξήκοντα καὶ ἑπτὰ τὸν ἀριθμὸν μετρηθῆναι πεσούσας τοῦ τένοντος, καὶ δύο σὺν αὐταῖς ἐναῤῥενοθῆλυ, τὸ τοῦτο γεννῆσαν τὸ μισάνθρωπον στράτευμα· ἐπιθεὶς δὲ πάλιν τῷ τραχήλῳ τὸ φάρμακον ἡμέρας ὡσεὶ τρεῖς, καὶ τὰ τούτου θεραπεύεται τραύματα, καὶ χαριστηρίους ᾠδὰς προσενέγκας τοῖς μάρ-

sione sanctorum, et collo circumposito illo praesidio, et post hoc inventus in balneo, cum extraxisset a collo medicamentum, et scrofas cum ipso simul abstraxit, et cum scrofis periculum quod ex ipsis erat procul dubio nasciturum. Aiunt autem etiam has sexaginta et septem fuisse dinumeratas cum cecidissent a iugulo colli, et duas cum ipsis masculini simul sexus et feminini, quae hunc hominum osorem generaverunt exercitum; supposito vero collo iterum medicamine, diebus quasi tribus quoque curantur vulnera, et omnis abiecta est quam habebat infirmitas « scrofarum vi» delicet porcinarum periculum, et ad sanandum » difficilia vulnera * ». Gratificisque cantibus oblatis martyribus, gaudens pariter et exultans re-

* *haec desunt in graeco.*

τυσι, χαίρων ὁμοῦ καὶ σκιρτῶν ἀπεδήμησεν, νεὼν αὐτοῖς ἐν Χαραγμωβίοις γιγνόμενος, ὡς σεσωκόσι, δομήσασθαι συνθέμενος.

νθ. ΠΕΡΙ ΣΤΕΦΑΝΟΥ ΤΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ, ΤΟΥ ΕΚ ΚΕΦΑΛΗΣ ΕΞΕΝΕΓΚΑΝΤΟΣ ΤΗΝ ΣΚΟΛΟΠΕΝΔΡΑΝ.

Τί δὲ καὶ τὸν ἐξ Ἀσίας οὐ παράγομεν Στέφανον, καὶ τοῖς φιλομάρτυσι τὰ κατ' αὐτὸν διηγούμεθα; ἱκανὰ γὰρ ταῦτα πρὸς γνῶσιν ἐρχόμενα, καὶ τὴν τῶν ἁγίων ἀλκὴν παραστήσασθαι, καὶ τὴν τῶν φιλαγίων αὐξῆσαι διάθεσιν· ἀσιανὸς ὑπῆρχεν ὁ Στέφανος Ἀφροδισιάδος τῆς πόλεως· οὗτος τισὶν ἱκετεύσασιν, χρυσίον ἐδάνεισεν, πίστει κατὰ τὸ σωτήριον ἔνταλμα δεδωκὼς

cessit, templum illis apud Charagmata facturus, sicuti fuerat pollicitus, his qui se salvaverant dedicandum.

59. DE STEPHANO APHRODISIEO QUI EXTRAXIT E CAPITE SCOLOPENDRAM.

Ut quid ex Asia venientem non producimus Stephanum, et amatoribus martyrum quae illius sunt enarrabimus? Sufficiunt enim haec, cum ad notitiam venerint, tam ad virtutem sanctorum exhibendam, quam ad affectum sanctos amantium augmentandum. Asianus erat Stephanus Aphrodisiadis civitatis. Hic quibusdam supplicantibus pe-

τὸ ἀργύριον, καὶ μηδὲν πρὸς ἀσφάλειαν ἑαυτοῦ κομισάμενος· γνήσιοι γὰρ ἦσαν οἱ τὸ χρῆμα λαμβάνοντες, καὶ διὰ τοῦτο μὴ δεῖσθαί τινος τῶν ἀναγκαζόντων ὁμολογεῖν τοὺς ἀγνώμονας ὑπελάμβανεν· οἱ δὲ τῆς αὐτοῦ κατεγνωκότες ἁπλότητος, καὶ τὸ δοθὲν ἕρμαιον ποιεῖσθαι σπουδάζοντες, ποιοῦνται πονηρὰν ἀντὶ ἀγαθῆς ἀνταπόδοσιν· καὶ φαρμακείᾳ τὸν ἄνδρα μετέρχονται, ἐκ ποδῶν αὐτὸν θᾶττον ποιῆσαι γλιχόμενοι, ἵνα διὰ τὸ τῆς ἀναιρέσεως ἄδηλον, καὶ τὴν δίκην λαθόντες ἐκφύγωσιν, καὶ τὸ δανεῖον μὴ ἐκτίνωσιν· τοῦτο γὰρ ἦν αὐτοῖς τὸ ποθούμενον· ἐλογίζοντο δὲ τάχα καὶ τοῦτο καθ'

cuniam commendavit, fide secundum salutare mandatum pecuniam dans, et nil ad sui securitatem percipiens; propinqui enim erant hii qui pecuniam acceperant, et idcirco necessarium non esse arbitratus est quicquam profiteri, ut soliti sumus exigere ab his quos futuros suspicamur ingratos. At illi eius deprehendentes simplicitatem, et quod datum fuerat lucrificare festinantes, faciunt malignam pro bona vicissitudinem, et virum maleficio impetunt, hunc e medio ablatum citius invisibilem facere gestientes, ut per interemptionis incertum, et iudicium delitescentes effugerent, et mutuum non persolverent; hoc enim desiderium erat illis. Cogitabant autem apud se fortassis mi-

ἑαυτοὺς οἱ τρισάθλιοι, ὡς τοὺς ἀνθρώπους εἰ λάθοιεν, καὶ τὸ ὄμμα κυρίου τὸ ἀκοίμητον λήσονται.

Ἐφαρμάττετο μὲν οὖν, ὡς ἔφην, ὁ Στέφανος, καὶ θάνατος ἦν ὁ σκοπὸς τοῦ φαρμάζοντος· ὃν σκέπῃ μὲν θεοῦ καὶ βουλῇ διαπέφευγε· πάντη δὲ τοῦ δηλητηρίου τὴν λώβην οὐκ ἔφυγεν, ἀλλ' αἱμοῤῥαγίας ὑποπίπτει νοσήματι, καὶ ἡμέρας ἑκάστης τὸν οἰκεῖον ἔβλεπε θάνατον, αἵμασι ῥέων διὰ γαστρὸς καὶ τοῦ στόματος, καὶ πάντας ἐκπλήττων τῷ πλήθει τῆς ῥεύσεως, καὶ βοᾷν ἀναγκάζων τοὺς βλέποντας, ὡς θάνοι πάντως πρὸ τῆς τοῦ αἵματος στάσεως· οὕτω καθ' ὥραν κινδυνεύων ὁ Στέφανος, καὶ κατὰ ῥύσιν αἵμα-

serrimi, quod si homines latere potuissent, et oculum Dei, qui non dormit, latere nihilominus valuissent.

Denique ut dixi maleficio Stephanus impetebatur, et maleficii mors erat intentio; quam protectione Dei et voluntate diffugit quidem, sed maleficii laesionem penitus non evasit; verum fluxus sanguinis languorem incurrit, et per singulos dies mortem suam intuebatur, sanguinem super sanguinem fundens per os simul et ventrem, et omnes in admirationem agens prae multitudine fluxus, cunctosque clamare qui videbant compellens, quod moriturus esset ante sanguinis sta-

τος ὑποπτεύων τὸν θάνατον, καὶ μὴ τυχὼν ἰατροῦ τοῦ τὸν θάνατον ἐκδιώκοντος, ἐπὶ Κῦρον ἔπλει τὸν μάρτυρα καὶ Ἰωάννην τὸν Κύρου συνόμιλον· τούτους ἐκ κρυφίων πυθόμενος, μόνους μετὰ Θεὸν θεραπεῦσαι δυναμένους τὸ νόσημα, καὶ τῆς παρούσης ἀνάγκης λυτρώσασθαι· εἰς οὓς ἀφικόμενος, καὶ δεήσεις αὐτοῖς ἐνεγκάμενος, ἠκούσθη τὲ, καὶ τῶν κινδύνων ἐσώζετο· φανέντες γὰρ κατὰ τοὺς ὕπνους οἱ ἅγιοι, πρᾶσσα φαγεῖν ἐπιτάττουσιν μὴ προσαχθέντα πυρί τε καὶ νάμασιν· ἅπερ φαγὼν ὡς κεκέλευστο, τῆς μὲν τῶν αἱμάτον ἀπηλλάττετο ῥεύσεως, καὶ τῆς τελείας οὕτως ἐπέτυχε ῥώσεως.

Νὺξ ἦν καὶ πρὸ τοῦ τῶν ἁγίων ἵστατο μνή-

tum Dum sic Stephanus per singulas horas periclitabatur, et mortem per sanguinis fluorem suspicabatur, et medico non invento qui mortem repelleret, ad Cyrum navigabat martyrem et Iohannem huius martyris comparem, hos comperiens ex milibus solos post Deum curare posse languorem. Ad quos cum venisset, et preces eis enixius obtulisset, auditus est, et a periculis salvabatur. Sancti enim apparentes in somnis, porros manducare praecipiunt, neque igni neque aquis allatos; quos cum sicuti iussus est manducasset, et a fluxu sanguinis liberatus, et perfectam sic adeptus est sanitatem.

ματος, καὶ ταύτης τυχεῖν ἐλιτάνευε γονάτων κάμψεσι χρώμενος, καὶ ταῖς τοῦ μετώπου πρὸς γῆν κατανεύσεσιν· καὶ τοῦτο ποιοῦντος αὐτοῦ, καὶ ποτὲ μὲν ἀνισταμένου, ποτὲ δὲ πρὸς γῆν κατανεύοντος, ἡ κορυφὴ κατὰ μέσης ἀνοίγεται, καὶ ταύτης ἐκπηδᾷ καὶ πίπτει σκολόπενδρα· θηρίον τοῦτον ἠρίθμοις * ποσὶν εἰλυσπώμενον, ἀσπίδι τε μικρᾷ παραπλήσιον· ἧς ἐκπεσούσης καὶ φυγῇ χρησαμένης ὡς τάχιστα, ὁ Στέφανος ἔκθαμβος ἵσταῖο· καὶ ψηλαφήσας ἑαυῖοῦ τῆς κεφαλῆς τὸ μεσότατον, ὅθεν ἐξελθοῦσαν ᾔσθετο τὴν σκολόπενδραν, τραῦμα μὲν κατὰ τὸν τόπον οὐχ εὕρισκεν, ἢ ῥύσιν αἵματος κατεμάνθανεν, ὑγρότηῖος δέ τινος καὶ χαυνότηῖος τῶν ὀσῖέων

* ita cod.

Nox erat et ante sanctorum monumentum astabat, et hanc consequi precabatur genibus flexis, et frontis nutibus in terram defixis. Et cum hoc faceret, et aliquando quidem e contra staret, alioquin vero in terram se se curvaret, vertex per medium aperitur, et ex hoc salit et cadit scolopendra, quae est bestia numerosis pedibus gradiens aspidique pusillae simillima. Qua ruente et fugam quantocius ineunte, stupefactus Stephanus stabat palpansque capitis sui medium, unde scolopendram illam senserat exisse, nec vulnus in loco inveniebat, nec fluorem sanguinis agnoscebat, sed tantum humorem quemdam, et

ἐπήσθετο· καὶ οὕτω τυχὼν τῆς ἰάσεως, εἰς ἔτι καὶ θαυμάζειν καὶ τεθηπέναι ποιεῖ τοὺς ἀκούοντας, καὶ συνυμνεῖν αὐτῷ τὴν τῶν ἁγίων ἀξιάγαστον δύναμιν· ἡμεῖς δὲ πάλιν καὶ ἐνταῦθα τοὺς θαυματουργοὺς ὑμνήσαντες μάρτυρας, θαυματουργίας ἄλλης αὐτῶν μνημονεύσωμεν.

ξ. ΠΕΡΙ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΒΥΖΑΝΤΙΟΥ ΕΣΧΗΚΟΤΟΣ ΤΟ ΠΥΡΩΜΑ.

Τὸν ἐκ Βυζαντίου Θεόδωρον, οὐχ ἡμεῖς πρὸς διήγησιν ἄγομεν, ἀλλὰ πάλιν καλοῦσιν οἱ ἅγιοι, ὥσπερ καὶ πρότερον πάσχοντα, πρὸς θεραπείαν ἐκάλεσαν· πάντων γὰρ τῶν ἐπὶ γῆς ἴσην ποιούμενοι πρόνοιαν, καὶ τοὺς γειτνιῶντας αὐ-

laxationem ossium advertebat. Qui taliter sanitate fretus *, eatenus miratur et obstupescit, et audientes mirari facit et obstupescere, secumque laudare sanctorum dignam admiratione virtutem. Porro nos et hic iterum martyras miraculorum operatores laudantes, alterius eorum patrati miraculi faciamus memoriam.

* fruitus?

60. DE THEODORO BYZANTIO QUI INCENDIUM HABUIT.

Non nos a Byzantio ad narrationem Theodorum ducimus, sed sancti hunc iterum vocant, quemadmodum dum pateretur, ad curationem prorsus vocaverant; omnium quippe, qui supra terram,

τοῖς παθῶν ἀπαλλάττουσιν, καὶ τοὺς πόῤῥω διάγοντας ἀφικνεῖσθαι προτρέπουσιν, καὶ παρ' αὐτῶν τὴν ἴασιν δρέπεσθαι· ὥσπερ λειμῶνος φαιδροῦ καὶ μὴ λήγοντος εὐώδεις τῶν ἄνθεων τοὺς κάλυκας· ἠῤῥώστει μὲν καὶ Θεόδωρος, καὶ τόπος τῆς ἀῤῥωστίας ἦν τὸ Βυζάντιον· αἴτιον δὲ τὸ τοῦ ποδὸς ἀκατάσβεστον πύρεθρον· ὃ λαβρώτερον πῶς ἀναπτόμενον, τὸν εὐώνυμον αὐτοῦ πόδα κατέφλεξεν, τόπον αὐτοῦ κἂν βραχὺ οὐκ ἐῶν ἀκατάφλεκτον, ἀλλ' ὅλον ἀμείψας πρὸς ἕτερόν τι ἢ ποδὸς ἀφομοίωμα· ἰατρῶν δὲ σοφισταὶ καὶ ἡγούμενοι τὸ λαμπρὸν τῆς τέχνης ἀπάνθισμα, σὺν ὑπουργοῖς καὶ μειρακίοις εἰστρέχοντες, καὶ τὸ πύῤῥοπον ἐκεῖνο νόσημα σβέσαι

aequam providentiam facientes, et eos qui vicini sibi sunt a passionibus liberant, et qui procul degunt, venire, et a se sanitatem, quasi a prato delectabili et amoeno boni odoris florum calycas metere cohortantur. Infirmabatur enim Theodorus, et infirmitatis locus erat Byzantium. Causa vero infirmitatis eius erat inextinguibile incendium, quod valentius succensum, sinistrum eius inflammabat pedem, locum illi non sinens saltem modicum incombustum, sed totum reddens ad aliud quid, quam pedis similitudinem. Medicorum vero sophistae ac duces, qui flores erant artis clarissimi, cum ministris et pueris accurrentes, et

σπουδάζοντες, ἀσθενεῖς πρὸς τὴν τούτου σβέσιν ἠλέγχοντο.

Ὥσπερ γὰρ πυρὸς ἐπισχύσαντος, πᾶν ὅπερ πρὸς τὴν αὐτοῦ προσενεχθείη κατάσβεσιν, ὕλη γίνεται καὶ φλὸξ ἀκατεύναστος, παντὸς τοῦ δοθέντος εἰς φύσιν εὐθὺς πυρὸς μεταβάλλοντος· οὕτω κἀνταῦθα σφοδροῦ τυγχάνοντος τοῦ πυρώματος, πᾶν ὅπερ ἰατροὶ πρὸς τὴν αὐτοῦ παῦλαν προσέφερον, ηὖξε μᾶλλον τὸ νόσημα, καὶ συνηύξε δὲ καὶ τὴν φλόγωσιν, καὶ μικροῦ πᾶν αὐτοῦ τὸ σῶμα τὸ πάθος κατέφλεξεν, πυρὸς δίκην βοσκόμενον· εἰ μὴ μάρτυρες οἱ φιλάνθρωποι πανταχοῦ παρόντες καὶ πάντα γινώσκοντες, καὶ τὴν νόσον νοήσαντες, καὶ τὸν ἄνθρωπον ἐποι-

fervidum illum languorem extinguere festinantes, infirmi esse ad huius extinctionem convincebantur.

Sicut enim igne praevalescente, omne quod ad ipsius allatum fuerit extinctionem fomes efficitur, et flamma quae non mitigatur, omni quae data fuerit specie, in naturam statim ignis translata, ita et hic cum validum esset incendium, omne quod medici ad ipsius cessationem afferebant, augmentabat potius languorem, et coaugmentabat pariter inflammationem. Et paene totum ipsius corpus passio combureret, ignis more depascens, nisi misericordissimi martyres ubique praesentes, et omnia cognoscentes, et languorem intellegentes, et

κτείραντες, καὶ τὴν θεραπείαν δωρήσασθαι θέλοντες, Ἰωάννην τὸν διάκονον, οὗ καὶ πρώην ἐμνήσθημεν, ὅτε τὸ θαῦμα τῆς πεσούσης παιδὸς συνετάττομεν, τὸν καὶ αὐτὸν ἐκ Βυζαντίου γενόμενον, καὶ τὸν ἄνδρα γνωρίζοντα, δηλοῦν αὐτῷ δι' ἐνυπνίων παρώτρυναν ὡς αὐτοὺς ἐλθεῖν καὶ σωτηρίαν κομίσασθαι.

Ὃς Ἰωάννου τὸ γράμμα δεξάμενος, καὶ πιστεύσας τοῖς γράψαι κελεύσασιν, ἠγνόει γὰρ ὁ διάκονος εἰ πάθει τοιούτῳ κρατεῖται Θεόδωρος, εἰς πλοῖον εὐθέως εἰσέρχεται, καὶ τὸ τῶν ἁγίων κατέλαβε τέμενος, ἀψευδεῖς ἀρραβῶνας ἔχων τῆς ῥώσεως τὰ πρὸς τῆς αὐτῶν γραφέντα κελεύσεως γράμματα· ἐλθόντα γοῦν αὐτὸν καὶ πει-

hominem miserantes, et curationem donare volentes, Iohannem diaconum, cuius et prius fecimus mentionem cum miraculum puellae quae ceciderat exponeremus, qui et ipse de Byzantio fuit, et hominem cognoscebat, intimare illi per somnium exhortati fuissent, ad se venire et salutem percipere.

Qui Iohannis recepta epistola, credens his qui scribere iusserant, ignorabat enim si passione tali teneretur Theodorus, navim statim ingreditur et sanctorum venit ad templum arrabonas sanitatis habens non mentientes ad se litteras scriptae iussionis. Cum ergo venientem et vocationi-

σθέντα ταῖς κλήσεσιν ἑωρακότες οἱ κλήτορες, θᾶττον αὐτὸν ἀπολύουσιν ἀκεσάμενοι, δῶρον τὸ τάχος τῆς εἰς αὐτοὺς χαριζόμενοι πίστεως· καὶ βραχὺς μὲν ὁ χρόνος γέγονε τῆς ἰάσεως· τῆς δὲ νόσου τὸ φάρμακον, καὶ τοῦ πυρὸς ἐκείνου σβεστήριον, πηλὸς ὑπῆρχε λυόμενος ὕδατι καὶ χριόμενος, ᾧ τῶν κνηδίων τὰ στόματα φράττουσιν οἱ τὸν οἶνον τὸν κνήδιον γεωργοῦντες αἰγύπτιοι· τοῦτον γὰρ οἱ πανεύφημοι μάρτυρες, ὄναρ ὀφθέντες ποιῆσαι προσέταξαν. Θεόδωρος γοῦν κατὰ τὴν ἐπαγγελίαν τοῦ γράμματος τυχὼν τῆς ἰάσεως, ᾄσας ᾠδὴν χαριστήριον, εἰς τὸ Βυζάντιον ἔπλευσεν· ἡμεῖς δὲ καὶ τούτου χάριν τοῦ θαύματος, καὶ τῆς πρὸ τοῦ θαύματος κλήσεως,

bus parentem invitatores vidissent, maturius eum praestita sanitate dimittunt, donum ocius tribuentes in se habitae fidei. Et sanitatis quidem tempus brevissimum fuit; languoris autem medela et illius extinctio, lutum erat aqua solutum ad liniendum, quo doliorum aegyptii obstruunt ora, qui vinum excolunt. Hoc enim laudabiles martyres in somnis apparentes, facere praeceperunt. Theodorus itaque secundum repromissionem epistolae sanitate percepta, cantans canticum gratiarum, Constantinopolim navigavit. Nos autem et huius miraculi causa, et ante miraculum vocationis, eos qui invitaverunt et miraculum pa-

τοὺς κεκληκότας καὶ τὸ θαῦμα πράξαντας ὑμνῳδήσαντες, ἐπ' ἄλλου θαύματος διήγησιν πλεύσωμεν.

ξα. ΠΕΡΙ ΦΙΛΗΜΟΝΟΣ ΤΟΥ ΜΑΚΡΟΚΩΜΗΤΟΥ ΤΟΥ ΗΠΑΡ ΠΑΣΧΟΝΤΟΣ ΚΑΙ ΣΥΡΙΓΓΑ ΕΧΟΝΤΟΣ.

Ἴδωμεν δὲ καὶ Φιλήμονα τὸν διάκονον, καὶ τὸ διπλοῦν αὐτοῦ καταμάθωμεν νόσημα, καὶ τὴν διττὴν αὐτοῦ θεωρήσωμεν ἴασιν· πάρεστιν γὰρ ὁ ἀνὴρ σὺν δρόμου ῥυξήμασιν, ἐκ Φοινίκης ἡμῖν ἀφικόμενος, καὶ μακρᾶς κώμης τῆς ἐκεῖσε λαχούσης τὴν δόμησιν· πάρεστι γοῦν τῷ γράμματι, τὰς νόσους ἡμῖν ἐνδεικνύμενος, καὶ

traverunt hymnis celebrantes, ad narrationem alterius miraculi navigemus.

61. DE PHILEMONE MACROCOMITE (1) QUI IECORIS VITIO LABORABAT FISTULAMQUE HABEBAT.

Videamus autem et Philemonem diaconum, et duplicem eius addiscamus languorem, conspiciamusque ipsius duplicem sanitatem. Praesto est vir, cum magnis cursus motibus ad nos a Phoenice profectus, et a longo castello quod illic sortitus est aedificium. Praesto est ergo scripto, nobis languores [et quae languores] insequuntur medi-

(1) Dic *macrocometa*, a patria *Macrocome*, *longo castello*.

τὰ τὰς νόσους ἡμῖν ἐλάσαντα φάρμακα, ἃ καὶ νῦν γράφεσθαι βούλεται, καὶ πανταχόσε κηρύττεσθαι πρὸς εὐφημίαν τῆς Κύρου καὶ Ἰωάννου δυνάμεως, τῶν οὐδαμινοῖς καὶ ψιλοῖς βοηθήμασιν ἰσχυρὰ καὶ μεγάλα παυόντων νοσήματα· οὐκοῦν καὶ ταῦτα τοῖς προλαβοῦσι συντάξωμεν, τῆς εἰς τοὺς ἁγίους εὐνοίας αὐτὸν ἀγασάμενοι.

Πάθη δύο δεινὰ καὶ δυσίατα προσῆν τῷ Φιλήμονι, ἓν μὲν τὸ τοῦ ἥπατος ἀεὶ πιάζον, καὶ θανάτου ποιοῦν παραπλήσιον· τὸ δεύτερον δὲ τῆς σύριγγος, ὃ τὸ τράχηλον αὐτοῦ κληρωσάμενον, κρουνὸν αὐτὸν ἐκπτύειν ἐκ τραχήλου πεποίηκεν· καὶ ταῖς μὲν ἀλγηδόσι τοῦ ἥπατος καιρὸς προσενέμετο καὶ χρόνου περίοδος, καθ' ἣν ἔσφριγον

camenta demonstrans; quaeque scribi vult et ubique praedicari ad laudem Cyri Iohannisque virtutum, qui exilibus exiguisque adminiculis fortes magnosque languores compescunt. Ergo et haec cum prioribus ordinemus, eum benivolentiae * circa sanctos habitae admirantes.

* hellenismus.

Passiones duae atroces, et quae difficile sanari possunt, Philemoni aderant: harum quidem altera hepatis, semperque deprimens, et morti faciens similem: altera vero fistulae quae collum eius sortita, fontem, id est pus, defluentem de collo fecit. Et doloribus quidem hepatis definitum tempus, et temporis circuitus tribuebatur, in quo cre-

αὖται καὶ ἤκμαζον καὶ τὸν ἄνθρωπον ἐβασάνιζον, καὶ καθ' ἣν ἐνεδίδοσάν τε καὶ ἡσύχαζον, καὶ τὸν ἄνθρωπον εἴων ἀνόδυνον· ταῖς δὲ τῆς σύριγγος εὑρέσεσιν χρόνος οὐχ ὥριστο, οὐδ' ἐναλλὰξ γιγνομένη περίοδος, ἀλλ' ἀεὶ τοὺς ἰχῶρας αὗται κατέφερον, καὶ ἀλήκτως ἠνίων τὸν ἄνθρωπον· διὰ ταῦτα παρενοχλῶν ἰατροῖς οὐκ ἐπαύετο· καὶ ὡς τούτων σφοδρῶς αἰκιζόμενος, ἐπεζήτει τοὺς κρείσσονας, καὶ ποτὲ μὲν ἐκείνους, ποτὲ δὲ τούτους ἐδίωκε, παρ' ἑκατέρων δὲ μηδὲν ὠφεληθεὶς ἀπελύετο.

Ὡς μὲν οὖν ἰατροὺς πλείονας ἤλλαξεν, καὶ τὰς νόσους ἀλλάττειν οὐχ εὕρισκεν, ἐπὶ Κῦρον καὶ Ἰωάννην ἦλθε τοὺς μάρτυρας, παρ' οἷς ἐν

scebant hi et vigebant et hominem alternantibus vicibus cruciabant, et in quo recedebant et quiescebant et sine dolore nonnumquam hominem dimittebant; effusionibus autem tempus definitum nullum erat, nec alternus factus earum circuitus, sed iugiter sanies se deorsum mittebant, et sine requie hominem tribulabant. Propterea molestus esse medicis non cessabat, et cum his * valide verberatus, meliores quaerebat; et modo quidem illos, modo vero istos prosequebatur, ab utrisque autem nil adiutus dimittebatur.

* ita cod.

Ergo cum medicos plurimos commutasset, et languores qualiter mutasset, minime invenisset,

πίστει γενόμενος, ὑγείας μὲν τὰς νόσους ἠλλάξατο, ἄλλους δὲ πάλιν ἰατροὺς οὐκ ἐνήλλαξεν· ὃν γὰρ οἱ ἅγιοι θεόθεν δεξάμενοι παθῶν οὐ βουληθῶσι λυτρώσασθαι, οὐδὲ πᾶς αὐτῶν ὁ τῶν ἰατρῶν κόσμος λυτρώσηται· ἀλλ' ἐπὶ τὸ λειπόμενον τῆς διηγήσεως ἔλθωμεν, καὶ τὴν θεραπείαν εἴπωμεν τοῦ Φιλήμονος, ὥσπερ αὐτοῦ καὶ τὰς νόσους εἰρήκαμεν· αὕτη γάρ ἐστι τὸ γλυκὺ τῶν λεγομένων κεφάλαιον· ἐκάθευδεν δὲ ἐπὶ τῆς στρωμνῆς ὁ διάκονος, καὶ οἱ μάρτυρες αὐτῷ κοιμωμένῳ παρίσταντο· καὶ ὁ μὲν αὐτοῦ τὸ ἧπαρ ἐσκόπευεν, ὁ δὲ κατενόει τοῦ τραχήλου τὴν σύριγγα· καὶ ὁ μὲν τὰς ὀδύνας τοῦ ἥπατος ἔπαυσεν, ὁ δὲ τὰς τῆς σύριγγος πηγὰς ἀνεξήρανεν·

ad Cyrum et Iohannem martyras venit, apud quos in fide repertus, languores quidem sanitate mutavit, sed nec iterum medicos commutavit. Quem enim sancti divinitus accepta gratia noluerunt a passionibus liberare, nec omnis medicorum mundus, ut ita fatear, liberabit. Sed ad narrationis residuum veniamus, et Philemonis curationem dicamus, sicut eius etiam languores ediximus, hoc enim est dulce dictorum capitulum. Dormiebat supra stratum diaconus, et martyres dormienti ei astabant, et alter quidem iecur eius attractabat, alter vero colli fistulam considerabat: et ille quidem dolores iecoris compescebat, iste namque

καὶ ἐπειδὴ ταῦτα ποιοῦντες ἐπαύσαντο, τάδε ποιεῖν ἀπιόντες ἐκέλευσαν, καὶ ἀμφοτέρων τελείαν τὴν ῥῶσιν κομίσασθαι· ὁ τῆς σύριγγος στήσας τὰ ῥεύματα, τρίψαι κιτρόφυλλα καὶ προσενέγκαι τῷ πάθει προσέταξεν· ὁ τὸ ἧπαρ δὲ ταῖς ἁφαῖς ἰασάμενος, ἐλαίας ἐνέγκαι χλωρὰς· καὶ τὰς μὲν ἐσθίειν ἐθέσπισε, τὰς δὲ λειῶσαι, καὶ τὸν τόπον καταπλάσαι τοῦ ἥπατος· ἀναστὰς δὲ μετὰ τὸν ὕπνον ὁ ἄῤῥωστος, τὰς ἀμφοτέρων τῶν ἁγίων προστάξεις ἐπλήρωσεν, καὶ τὰς ἀμφοτέρων τῶν ἁγίων θεραπείας ἐδρέψατο· Φιλήμων οὖν ὁ θαυμάσιος οὕτω φυγὼν τὰ νοσήματα, καὶ λαβὼν τὰ ἰάματα, τοὺς δεδωκότας ὑμνῶν ἀπελήλυθεν· ἡμεῖς δὲ δι' ἀμφοτέρας τὰς ῥώσεις διτ-

fontes fistulae desiccabat. Et quia cum haec fecissent cessaverunt, haec facere recedentes iusserunt, ut utriusque perfectam reciperet sanitatem. Qui ergo stare fecit fistulae fluxus, citri folia terere et ulceri afferre praecepit. Is autem qui tactibus hepar sanaverat, olivas deferre virides, et harum alteras manducare, alteras autem emollire, et locum iecoris cataplasmare praecepit. Ast infirmus surgens post somnium, utramque iussionem sanctorum implevit, et utrarumque curationes passionum percepit. Philemo ergo ille mirabilis, taliter languores effugiens, sanitatis dono recepto, eos qui contulerant collaudans abscessit.

τῶς ὑμνοῦντες τοὺς μάρτυρας, πρὸς ἄλλων ὕμνων μητέρα καὶ τροφὸν ἐπαγγελίαν προσέλθωμεν.

ξβ. ΠΕΡΙ ΡΟΔΟΠΗΣ ΕΣΧΗΚΥΙΑΣ ΕΚΒΡΕΣΜΑΤΑ.

Ἡ Ῥοδόπη τὴν γραφίδα τροχάζουσαν, καὶ χαράττειν ἕτερα θαύματα σπεύδουσαν, τῆς ἐπὶ τούτοις πορείας ἐκώλυσε· καὶ ταύτην πρὸς ἑαυτὴν μετενέγκασα, γράφειν πρότερον τὰ κατ' αὐτὴν ἐβιάσατο, ὥσπερ ποτὲ παρελθόντας αὐτὴν καὶ μάρτυρας καὶ πρὸς ἄλλων ἀσθενῶν ἐπισκέψεσι, ἐκνεύσαντας ἀναποδίζειν ἐτόλμησεν, καὶ τὴν αὐτῆς ποιεῖσθαι μετὰ πάντων ἐπίσκεψιν· εἰ καὶ μηδὲν ὤνησεν τοῦτο ποιήσασα, τοῦ θανά-

Porro nos ob utramque sanitatem dupliciter hymnis martyras prosequentes, ad aliorum hymnorum relationem matrem ac nutricem accedamus.

62. DE RHODOPE QUAE HABUIT EBULLIENTES CARBUNCULOS.

Rhodope stilum * rotantem et exarare alia miracula festinantem, ab itinere ad haec inhibuit, et hunc ad se transferens, scribere prius, quae de se gesta sunt, compulit; qualiter videlicet aliquando praetereuntes eam martyras, et ad aliorum infirmorum visitationes divertentes, impedire praesumpserit, et sui facere cum omnibus visitationem; licet hoc facto nihil profecerit, mortem sa-

* *cod.* descriptionem.

του τὴν ῥῶσιν προφθάσαντος, καὶ τὴν τῶν ἁγίων ἀρωγὴν ἀνακόψαντος· οὐκοῦν καὶ ἡμεῖς τὰ τῶν ἁγίων συγγράφοντες, καὶ τὴν πρὸς πάντας αὐτῶν ἀγαθὴν συγκατάβασιν φράζοντες, αὐτοὺς μιμησώμεθα, καὶ τὰ κατ' αὐτὴν ἀναγράψωμεν, οὐκ ἐῶντες αὐτὴν ἀμνημόνευτον.

Ῥοδόπη γέννημα μὲν ἦν Θεουπόλεως, ἣ πάσης ἑώας προκάθηται, Ἀντιόχου κληθεῖσα τοῦ βασιλέως ἐπώνυμος, καὶ τῶν ἐν αὐτῇ προὐχούντων γένει καὶ πλούτῳ προέλαμπε· χρόνον δὲ συχνὸν Ἀλεξάνδρειαν ᾤκησεν, Ἰωάννην ἔχουσα σύμβιον, καὶ σὺν αὐτῷ ποιησαμένη τὴν εἰς αὐτὴν ἐπίβασιν, ὃς ῥητορικῶν μὲν λόγων ὑπῆρχε

nitatem praeveniente, sanctorumque auxilium recidente. Ergo et nos quae sanctorum sunt conscribentes, et bonam eorum ad omnes condescensionem edisserentes, imitemur eos, et ea quae circa ipsam gesta sunt conscribamus, illam sine commemoratione minime deserentes.

Rhodope genimen erat quidem Theupoleos, quae omni praesidet orienti, Antiochi vocata regis cognomine, et principantium in ea prosapiae ac divitiarum claritate praefulgida. Tempore vero multo Alexandriae habitavit, Iohannem maritum habens, cum quo ad illam ascendit, qui rhetoricorum magister erat sermonum, et Eulogii, magni fidei praedicatoris, discipulus intimus,

διδάσκαλος (1), Εὐλογίου δὲ τοῦ μεγάλου τῆς πίστεως κήρυκος μαθητὴς γνησιώτατος, πᾶσι δὲ τοῖς ἄλλοις πηγάζων ὠφέλειαν, ἣν Εὐλογίῳ τῷ θείῳ περιόντι συνὼν ἐθαύρισε· τούτου σύζυγος ἡ Ῥοδόπη τυγχάνουσα, καὶ κατὰ τήνδε τὴν πόλιν Ἀλεξάνδρου διάγουσα, νόσον τὴν τελευταίαν ἐνόσησεν, καθ' ὅλου τοῦ σώματος ἄνθρακας ἐξανθήσασα· ὡς δὲ μικρὸν τῶν νόσων ἐρᾳΐσεν, καὶ τῶν ἀνθράκων οὐ πολὺς ὁ θυμὸς ἐπεφαίνετο, ἐμβραδύνειν δὲ μόνον οὗτοι τῷ σώματι τοῖς ἰατροῖς ἐνομίζοντο, Κύρου καὶ Ἰωάννου τὸ τέμενος ἐπόθει τὸ γύναιον, ἵνα τούτων ἀρωγῇ καὶ κελεύσματι ταχυτέραν ποιήσηται τὴν τῶν ἀνθράκων ἀπόθεσιν· καὶ δὴ παραγίνεται, καὶ νύ-

quique aliis propinabat utilitatem, quam ab Eulogio sacratissimo dum supererat cum ipso commorans hausit. Huius cum esset coniux Rhodope in ea Alexandri civitate degens, extremum languorem perpessa est, per totum corpus eius carbunculis efflorentibus. Cumque pauxillum languor lenior fieret, et ille multus carbunculorum furor in superficie apparuisset, retardarique ista in corpore a medicis aestimarentur, ad Cyri Iohannisque basilicam venire muliercula cupiebat, ut horum ope ac iussione, festinatiorem carbuncu-

(1) Ad hunc Iohannem puto scriptas Procopii epistolas illas, quas a me editas in class. AA. tomo quarto habes.

κτωρ καθεύδουσα βλέπει τοὺς μάρτυρας, τὰς τῶν ἀῤῥώστων περιπολεύοντας φάλαγγας, καὶ πᾶσι καθ' ἕνα προσβάλλοντας, καὶ τὰς ἰάσεις ἑκάστῳ παρέχοντας· καὶ τούτῳ μὲν τοῦτο, ἄλλῳ δὲ ἄλλο ποιεῖν ἐπιτάττοντας· ἀπ' ἀρχῆς μὲν οὖν ἀρξάμενοι, καὶ μέχρις αὐτῆς φησὶ τὸν καθεξῆς ἰατρεύοντες, καὶ ἐπ' αὐτὴν ἀφικόμενοι, καὶ ὡς ἀποῦσαν αὐτὴν παραβλέψαντες, καὶ καταλείψαντες ἀνεπίσκεπτον, ἐπὶ τὸν μετ' αὐτὴν ἀνακείμενον ἔρχονται· καὶ τοῦτον ἐπισκεψάμενοι, καὶ ποιεῖν τὰ πρὸς ὑγείαν θεσπίσαντες, ἐπὶ τὸν μετ' αὐτὸν παραγίνονται· κἀκεῖθεν ἐπὶ τοὺς ἑξῆς κειμένους ἀπίεσαν.

Ἡ δὲ ὡς παρελθόντας ἴδεν τοὺς μάρτυρας, καὶ μηδαμῶς αὐτὴν θεωρήσαντας, μηδὲ ποιεῖν

lorum depositionem acciperet. Et ecce pervenit. Quae noctu dormiens, martyras aspicit phalangas aegrotantium peragrantes, et per singulos contra omnes congredientes, et sanitates unicuique conferentes; et huic quidem hoc, aliis autem aliud facere praecipientes. A principio ergo inchoantes, et usque ad eam, quasi subsequens esset, medendo pervenientes, et veluti absentem illam despicientes sineque consolatione derelinquentes, ad eum qui post hanc erat adveniunt, et deinceps ad ceteros iacentes progressi sunt.

Quae cum transeuntes martyras aspexisset, et

τί πρὸς σωτηρίαν κελεύσαντας, ἔτι δὲ πλησιάζοντας, καὶ οὐ πολὺ αὐτῆς ἀφεστῶτας διάστημα, τάδε πρὸς αὐτοὺς ἀπεφθέγξατο· ὦ Χριστοῦ τοῦ δεσπότου θεράποντες, καὶ μιμηταὶ τῆς αὐτοῦ πρὸς ἡμᾶς ἀγαθότητος· ὦ τῆς ἀνθρωπίνης φύσεως ἀλεξίκακοι, καὶ τῶν ἡμετέρων παθῶν ἰατροὶ θεοδώρητοι· ὦ πάσης νόσου διῶκται θεόπεμπτοι, καὶ πάσης θεραπείας δοτῆρες ἀέναοι, ταύτης ἕνεκα κἀγὼ τῆς πρὸς πάντας ὑμῶν ἀρωγῆς παραγέγονα, μὴ μόνον ἰδεῖν ἀλλὰ καὶ μετασχεῖν ποθοῦσα τῆς χάριτος, καὶ σὺν πᾶσιν ἀπολαῦσαι τῆς ῥώσεως, ἣν ὑμεῖς πᾶσιν ἀφθόνως τοῖς πρὸς ὑμᾶς ἐρχομένοις χαρίζεσθε· τί οὖν εἰς ὑμᾶς ἁμαρτήσασάν με παρίδετε; ἢ ποίαν

se nequaquam intuitos, nec facere ad salutem quicquam iubentes, quin immo appropinquantes et non multo ab ea intervallo distantes, haec ad eos profata est: o Christi domini famuli et imitatores ipsius erga nos habitae bonitatis, o vos qui si qua sunt noxia humanae naturae depellitis, divinitus passionum nostrarum dati medici, a Deo missi cunctorum insecutores languorum, et omnis curationis datores perpetui, propter hanc opitulationem vestram, quae est erga nos, et ego veni, non solum videre, sed et participari desiderans gratiae, et cum omnibus perfrui sanitate, quam vos omnibus qui ad vos accedunt donatis;

τῶν ὑμετέρων κελεύσεων (παραβᾶσαν) ἀνεπισκέπτως παρέλθατε; ἢ τί καθ' οἷον δή ποτε τρόπον λυπήσασαν, τῶν φιλανθρώπων ὑμῶν δωρεῶν ἐστερήσατε; κἀγὼ μὲν οὐδὲν ἐμαυτὴν οἶδα τῶν τοιούτων εἰς ὑμᾶς πλημμελήσασαν· εἰ δέ τι τῶν εἰρημένων μοι πέπρακται, καὶ λήθης ἱματίων καλύπτεται, τοῦτό μοι δέομαι φράσατε, καὶ σύντομον αὐτοῦ ποιήσομαι τὴν διόρθωσιν.

Τούτων οἱ ἅγιοι πρὸς τῆς 'Ροδόπης ἀκούσαντες, οὐκ ἀτιμάζουσιν αὐτῆς τὴν ἀμώμητον δέησιν, ἀλλὰ πρὸς αὐτὴν ἐπιστρέψαντες, τοιούτοις αὐτὴν καὶ αὐτοὶ παραμυθοῦνται τοῖς ῥήμασιν· οὐχ ὡς εἰς ἡμᾶς, ὦ γύναι, πλημμελήσασαν

ut quid ergo me in vos peccantem despexistis? aut quam iussionum vestrarum me transgressam, sine consolatione transistis? aut quare me quoquomodo vos contristantem misericordibus muneribus vestris privastis? Et ego quidem nil novi me in vos huiusmodi deliquisse. Si vero a me quicquam eorum quae dicta sunt perpetratum, et oblivionis veste coopertum est, hoc mihi obsecro dicite, et hoc ipsa concite corrigam.

His sancti a Rhodope auditis, non inhonorant eius immaculatam deprecationem, sed conversi ad eam talibus illam et ipsi sermonibus consolantur: non tamquam quae in nos deliqueris, o mulier, te praeterivimus, neque tamquam quae quip-

παρήλθομεν, οὐδ' ὡς τί τῶν ἡμετέρων ὡς ἔφης προσταγμάτων πατήσασαν, ἀλλ' ὅτι σου τὴν ἀνάλυσιν ἐγγύζουσαν βλέπομεν, καὶ τοῦ προσκαίρου βίου τὸ πλήρωμα, καὶ τῆς παρούσης ζωῆς τὴν απόθεσιν, καὶ τῆς ἐν Χριστῷ κοιμήσεως τὴν ἀπαραίτητον ἄφιξιν· ὧν οὐχ ἡμεῖς δοτῆρες ἢ διώκται τυγχάνομεν, ἀλλὰ Χριστὸς ὁ τῶν ὅλων Θεὸς καὶ δεσπότης καὶ πρύτανις, ὁ ζωῆς καὶ θανάτου κατέχων τοὺς οἴακας· τί οὖν ἡμεῖς πρὸς ταῦτά σοι δράσομεν; ἢ ποίας ἀθανασίας ὀρέξομεν φάρμακον; εἰς τί δὲ καὶ ἡ ῥῶσις δοθήσεται; ἢ τί τῆς θεραπείας τὸ χρήσιμον; τίς δ' ὁ ταῦτα πρὸς ἡμῶν κομισόμενος; ἢ τίς ὁ τούτοις ἐντρυφῶν δωρήμασιν; σὺ γὰρ μετὰ βραχυτάτου καιροῦ τὰ τῶν βροτῶν καταλείψα-

piam ex nostris ut ais praeceptis calcaveris, sed quia resolutionem tuam videmus appropiare et temporalis vitae consummationem, et praesentis depositionem, et in Christo inevitabilem dormitionis accessum, quorum omnium non nos datores vel persecutores sumus, sed Christus omnium Deus et dominator et princeps, qui vitae ac mortis retinet gubernacula. Quid ergo nos ad haec tibi patrabimus, aut immortalitatis porrigemus remedium? In quo autem sanitas dabitur? aut quae est curationis utilitas? Quis vero est qui haec a nobis ferat? vel quis qui horum potiatur mune-

σα, τὴν πάντων ὁδὸν ὁδεύσεις ὑπνώσασα, ἣν ἀπόστολοι καὶ προφῆται καὶ μάρτυρες ὥδευσαν, καὶ Χριστὸς αὐτὸς ὁ τῆς ζωῆς ἀρχηγὸς γενόμενος ἄνθρωπος· εἰ καὶ τριταῖος ἀναστὰς τοὺς τῆς ἀναστάσεως ἡμῖν ἀῤῥαβῶνας παρέσχετο· ἐγερθεῖσα γοῦν ἄπιθι, καὶ τὴν ἑστίαν κατάλαβε πρὶν ἤ σε ψυχῆς ἐκ τοῦ σώματος καταλάβοι διάζευξις· καὶ ταῦτα μὲν φήσαντες, ἀπῆλθον οἱ ἅγιοι· αὐτὴ δὲ πρωΐας εἰς πόλιν ἀφίκετο, καὶ θαυμάζοντι τῷ ἀνδρὶ τῆς ἐπανόδου τὸ σύντονον, τὴν τῶν μαρτύρων προφητείαν ἀπήγγειλεν· καὶ μετ' οὐ πολλὰς τὰς ἡμέρας δεινῶς ἐπιβρύσαντος τοῦ νοσήματος, πρὸς κύριον ἐξεδήμησεν, ὡς παρὰ τῶν ἁγίων ἐπύθετο· ἡμεῖς δὲ

ribus? Tu enim post paululum quae sunt mortalium deserens, viam cunctorum ibis, soporatura qua apostoli, prophetae, ac martyres abierunt, et Christus ipse auctor vitae factus homo, quamvis tertianus resurgens resurrectionis nobis arras praestiterit. Surge itaque vade, et ad domum propriam proficiscere, antequam te animae a corpore disiunctio capiat. Et his quidem dictis, sancti abierunt. Ipsa vero mane ad civitatem profecta est, et viro miranti reversionis compendium, prophetiam martyrum recitavit. Et non post multos dies dire gravescente languore, ad Deum profecta est, ut a sanctis didicerat. Nos autem etiam

κἀνταῦθα ἐπὶ τῇ προῤῥήσει τῆς Ῥοδόπης τελευτῆς, τοὺς προειπόντας θαυμάσαντες, καὶ τὴν περὶ αὐτῆς διήγησιν καταπαύσαντες, ἐπ' ἄλλου θαύματος ἀγωγὴν ἐκδημήσωμεν.

ξγ. ΠΕΡΙ ΕΛΠΙΔΙΟΥ ΤΟΥ ΕΚ ΠΕΡΙΕΡΓΕΙΑΣ ΔΟΝΟΥΜΕΝΟΥ ΤΟ ΠΡΟΣΩΠΟΝ.

Παρίτω μετὰ Ῥοδόπης Ἐλπίδιος, καὶ τοὺς ἀκροατὰς ἑστιάτο τῷ κατ' αὐτὸν εὐθὺς διηγήματι· ἔστιν γὰρ τοῦτο λίαν ἱκανὸν πρὸς ἑστίασιν, καὶ τρέφειν εἰδὼς εὐσεβῶς τοὺς ἀκούοντας· οὗτος ἐχθροὺς ἔχων ὡς ἔοικεν ἀεὶ μοχθηρίαις συζήσαντας, καὶ παρανόμων ἔργων ἐργάτας τυγχάνοντας, περιεργείᾳ πρὸς αὐτῶν ὑποβάλλεται,

hic super vaticinio mortis Rhodopes, illos qui praedixerant admirantes, et narrationem de ipsa deserentes, ad alterius institutionem miraculi procedamus.

63. DE HELPIDIO EX MALEFICIO FACIEM QUATIENTE.

Praesto sit post Rhodopen Helpidius, et mox de se facta relatione reficiat auditores; est enim hoc satis idoneum ad epulationem, ac pie nutrire sciens audientes. Hic nimirum inimicos habens, qui cum semper nequiter viverent, et iniquorum operum operarii essent, maleficio ab eis summittitur, non maleficium per escam perpessus, aut

οὐ μαγγανίαν ὑποστὰς διὰ βρώσεως, ἢ δηλητήριον λαβὼν διὰ πόσεως, ἀλλὰ πληγεὶς ἀφειδῶς διὰ δαίμονος, καὶ μυσαροῦ καὶ μέγιστα βλάπτοντος πνεύματος· ἀεὶ γὰρ αὐτοῦ πᾶν ἐδονεῖτο τὸ πρόσωπον· καθ' οὗ καὶ τὴν πληγὴν ὑπῆρξε δεξάμενος· ὅπερ ἀκουσίως καὶ βιαίως σειόμενον ἑαυτῷ, συνεσάλευε πᾶσαν ὁμοῦ τὴν κεφαλὴν καὶ τὸν τράχηλον· καὶ ταῦτα πάσχων πᾶσιν θέαμα συμπαθείας προέκειτο, πρὸς οἶκτον κινῶν τοὺς κινούμενον βλέποντας· ἐκεῖνον γὰρ τὸν Κάϊν ἐκ μέρους εἰκόνιζε, ταῖς τῶν προσώπων ἀπαύστοις κινήσεσιν, τὸν ἀδελφοκτόνου τιμὴν προαιρέσεως τὸ τρέμειν ἀεὶ κομισάμενον· καὶ τούτου δὲ χείρων ἐκλονεῖτο τὰς ὄψεις Ἐλπίδιος, καὶ τοῖς τρόμοις ὑπερβαλλόντως ἐτρύ-

venenum sumens in potu, sed plagis non parcentibus sauciatus, per daemonem tetrum ac laedentem plurimum spiritum; semper enim tota facies movebatur, in qua plagam susceperat, quae non sponte, sed vi agitata, totum secum commovebat caput simul et collum. Et cum haec pateretur, cunctis compassionis spectaculum adiacebat, ad miserationem commovens eos, qui hunc ita moveri videbant; Cain enim illum per inquietas facierum concussiones partim imaginabant, qui fratricidalis honorem * propositi, ut semper tremeret sortitus est; et quod hoc peius est, fa-

* *immo* poenam.

χετο· ὅσον θεὸς μὲν ἐκεῖνον φιλανθρώπως ἐκόλαζε, δαίμων δὲ τοῦτον μυσανθρώπως ἐμάστιζεν· οὕτω κάμνοντα τὸν Ἐλπίδιον, καὶ πρὸς πάντων ὁρώντων ἀληθῶς ἐλαυνόμενον, ἰατρῶν μὲν οὐδεὶς βοηθεῖν ἐνεχείρησεν, ἀλλ' οὐδὲ βλέπειν αὐτὸν ὅλως ἐτόλμησεν· ὑπὲρ τέχνην γὰρ τὴν αὐτῶν ἦν τὸ ἀῤῥώστημα, μόνῳ δὲ θεῷ καὶ τοῖς αὐτοῦ θείοις θεράπουσιν, οἷς παρέσχεν ὅσα θέλουσι δύνασθαι, τὸ πάθος ὑπῆρχεν ἰάσιμον.

Τὰς Ἰωάννου δὲ καὶ Κύρου θαυματουργίας οἱ προσόντες ἀκούοντες, καὶ οὐ μόνον ἀκούοντες ἀλλὰ καὶ σαφῶς ἐπιστάμενοι, γείτων γὰρ ἡ χώρα καθέστηκεν, καὶ τὰ τῶν ἀλεξανδρέων οὐχ

ciem vibrabat Helpidius, et tremoribus nimis affligebatur. Et Deus quidem illum misericorditer poenis afficiebat, daemon vero miserabiliter flagellabat. Sic laborantem Helpidium, omnes qui hunc intuebantur veraciter dignum misericordia decernebant; quamquam medicorum nullus hunc adiuvare conatus sit, sed nec aspicere omnino praesumpserit; super artem enim suam erat infirmitas, et soli Deo a divinis eius famulis, quibus praebuit quaecumque volunt, sanabilis erat passio.

Cum autem Cyri et Iohannis miracula propinqui audirent, et non solum audirent, sed et liquido scirent, vicina enim est regio, et alexan-

ἧττον τῶν ἀλεξανδρέων μανθάνουσιν, τοῦτον ἄγοντες ἔρχονται, καὶ τῷ τῶν ἁγίων προσπίπτουσι μνήματι, βοηθεῖν αὐτοὺς τῷ νοσοῦντι δεόμενοι· οἱ δὲ τὸν Ἐλπίδιον καὶ πρὸ τῆς ἀφίξεως ἐλεήσαντες, καὶ τὴν τῶν δαιμόνων ἐπιβουλὴν οὐκ ἀγνοήσαντες, ὄναρ φανέντες ἰάσαντο· καὶ τοῦτο ποιεῖν πρὸς τελείαν τοῦ πάθους θεσπίζουσιν ἴασιν· ὕδωρ ἐνέγκαι τῶν Ἀδύτων ἐκέλευσαν· ἔστιν δὲ λίμνη τὰ Ἄδυτα Ἀλεξανδρείας, σταδίους πεντακοσίους ἀπέχουσα, πρὸς δύσιν καὶ λίμνην τὴν Γείτονα· ταύτης τοῦ νάματος ἐνεχθῆναι προστάττουσι, καὶ πρὸς πόσιν δοθῆναι τῷ πάσχοντι, καὶ τοῦ προσώπου καὶ τῆς κεφαλῆς τὴν ἀπόπλυσιν· γενομένου δὲ τοῦ τῶν ἁγίων θε-

drinis non minus quae sunt alexandrinorum ediscunt, hunc gestantes adveniunt, et ad sanctorum proiciunt monumentum, auxiliari eos languido deprecantes. At illi Helpidii etiam ante perventionem miserti, daemonumque insidiarum non nescii, apparentes in somnis sanaverunt; et hoc facere ad perfectam passionis praecipiunt sanitatem: aquam deferri ab Adytis iusserunt; est enim stagnum Adyta, Alexandria quingentis stadiis distans ad occidentem, Libyaeque vicinum. Ex hoc fluento afferri, et ad potum dari patienti praecipiunt, atque ad abluendum caput et faciem. Facta autem sanctione sanctorum, veniens ad fluen-

σπίσματος, ἤρχετο τὸ νάμα, ἔπιεν ὁ Ἐλπίδιος, καὶ τὴν κεφαλὴν ἔπλυνε καὶ τὰ πρόσωπα· καὶ τὸ πάθος εὐθὺς ἀφανὲς καὶ φροῦδον ἐγίνετο· ἦν δὲ τὸ πρᾶγμα θαύματος ἄξιον, ὅτι τὸ νάμα τὸ ἄστατον ἵστει κεφαλὴν καὶ πρόσωπον ἄστατον· καὶ ὕδωρ τὸ ἀεὶ τῇ ῥεύσει κινούμενον, ἀκλόνητον ἐποίει τὸν ἀεὶ κλονούμενον τράχηλον. Ἐλπίδιος μὲν οὖν οὕτω τὴν θεραπείαν εὑράμενος, καὶ τὴν νόσον ἀποτριψάμενος, τοὺς ἁγίους ὑμνήσας ἀπῴχετο, καὶ τὴν ἐνεγκαμένην ἐῤῥωμένος κατέλαβεν· οὓς καὶ ἡμεῖς ἐπαξίως γεραίροντες, ἑτέραν αὐτῶν ἀριστείαν συγγράψωμεν.

tum, bibit Helpidius et caput lavit et faciem, et passio statim nusquam comparuit; erat autem res digna miraculo, quoniam fluentum instabile, stare faciem et caput fecit instabile; et aqua quae semper fluxu movetur, reddebat inturbabile collum. Igitur Helpidius quidem taliter curatione reperta, et languore depulso, sanctis collaudatis abscessit, et ad civitatem suam pervenit incolumis. Quos et nos condignis honorificationibus celebrantes, alia ipsorum conscribamus fortia facta.

ξδ. ΠΕΡΙ ΤΟΥ ΜΟΓΙΛΑΛΟΥ.

Οὐ καλὸν ἀδικῆσαι τὸν ἄλαλον, εἰ καὶ κατηγορεῖν ἡμῶν ὡς ἀδικούντων οὐ δύναται, οὐδ' ἐάσαι γε σιωπώμενον, ἐπεὶ μηδὲ τοῦτον οἱ ἔνδοξοι μάρτυρες ἀεὶ σιγῶντα κατέλιπον, ἀλλὰ λάλον ἐξ ἀλάλων εἰργάσαντο, καὶ τὸ εὖ λαλεῖν ἐχαρίσαντο, ἵνα μὴ τῆς ἐν τούτῳ τελειότητος, τὸ τέλειον αὐτῶν λίποιτο χάρισμα· τοὺς ἁγίους οὖν καὶ ἡμεῖς μιμησώμεθα, καὶ ὅπερ αὐτοὶ τότε τοῖς ἔργοις δεδράκασιν, τοῦτο νῦν ἡμεῖς τοῖς λόγοις ποιήσωμεν, καὶ τὸν ἅπαξ λαλήσαντα, πάλιν ἄλαλον μὴ τιθώμεθα, τὴν κατ' αὐτὸν σιωπῶντες διήγησιν, μήπως ἡμᾶς

64. DE MUTO.

Non est bonum muto iniuriam facere, licet nos calumniari tamquam iniuriam inferentes non possit, neque dimittere silentio tacitum, quia nec istum gloriosi martyres semper tacentem dimittere passi sunt, sed eloquentem ex non loquenti operati, bene loqui largiti sunt, ne in hoc perfectionis eorum desit donum perfectum. Sanctos ergo et nos imitemur, et quod ipsi tunc operibus gesserunt, hoc nunc sermonibus faciamus; et eum, qui semel locutus est, mutum iterum non ponamus, narrationem de ipso faciendam, silentio contegentes, ne forte nobis apud martyras

διαβάλῃ τοῖς μάρτυσιν, καὶ τῆς ἡμετέρας σιγῆς κατήγορος γένηται, τὸ λαλεῖν πρὸς αὐτῶν κομισάμενος, καὶ σιγᾷν ἢ σιγᾶσθαι τοὺς λοιποὺς μὴ βουλόμενος, ἵνα μὴ τοῖς λάλον αὐτὸν ἀναδείξασιν ἀγνώμων κρίνοιτο καὶ ἀχάριστος, σιγᾷν αὐτῶν τὰς δωρεὰς ἀνασχόμενος.

Φοίνιξ ὑπῆρχεν ὁ ἄλαλος, καὶ Τύρου τῆς πόλεως ὥρμητο, ἐλέγχων τάχα ταύτῃ τοὺς ἕλληνας, καὶ τὰ ψευδῆ τούτων καὶ γραώδη μυθάρια· ἔνθεν γὰρ οὗτοι τὸν Κάδμον μυθεύονται, πρῶτον γραμμάτων γενέσθαι γεννήτορα, καὶ τούτοις Ἑλλάδα ξενίσαι τὴν ἄμουσον, ἀφ᾽ οὗ νῦν βλαστήσας ὁ ἄλαλος, σαφὴς ἔλεγχος ὤφθη τοῦ πλάσματος· ὃν Ἕλληνες ἀμαθίᾳ κατ-

deroget, et silentii nostri calumpniator efficiatur, usum loquendi ab eis adeptus, et tacere vel taceri de cetero nolens; ne his qui eloquentem hunc ostenderunt, minus devotus esse iudicaretur pariter et ingratus, dum dona eorum tacere pateretur.

Phoenix erat mutus, et Tyri civitatis oriundus, redarguens forte hic Graecos, et falsas horum et aniles fabellas. Hinc enim ii Cadmon fatentur primum litterarum fuisse magistrum, et his Graeciam muneratum * indoctam. A quo nunc germinans mutus, manifestus fictionis index apparuit, quem Graeci indisciplinatione abscondebant,

* *cod.* miratam.

ἐκρυπτον, πρέσβεια Μωσέως οὐ βλέποντες, καὶ Κάδμου χρόνους παντελῶς οὐ γινώσκοντες, οὓς πρὸς ἔλεγχον παρατίθεσθαι μείζονα, καὶ σαφεστέραν ποιεῖν τὴν πλάνην τοῖς θέλουσιν, ὁ σκοπὸς ὁ παρὼν οὐκ ἀφίησι, πρὸς ἑαυτὸν ἐφελκόμενος, καὶ πληροῦν αὐτὸν ἀναγκάζων τὸν κάλαμον· τύριος ἦν ὡς ἔφην ὁ ἄλαλος, καὶ σύγγονον ἔσχε τὸ νόσημα, οὐ χρόνῳ τινὶ συμβὰν ἀπ' ἄλλου νοσήματος, ἀλλ' ἐξ αὐτῆς αὐτῷ συντεχθὲν τῆς κυήσεως· καὶ τοῦτο λαχὼν τὸ πάθος ἐκ φύσεως, οὐ γλυκεῖαν ἀφῆκεν φωνὴν πρὸς τοὺς φύσαντας, οὐ μητέρα ποτὲ τραυλίζων ἠγόρευσεν, οὐ πατέρα ψελλίζων ἐκάλεσεν· οἷς ἀεὶ τῶν παίδων οἱ γονεῖς ἐπευφραίνονται, κἂν ἄναρ-

primatum Moysi non videntes, et Cadmi tempora modis omnibus nescientes; quos ad redargutionem maiorem commendare, manifestioremque his qui volunt errorem facere, intentio praesens non sinit, ad se nos attrahens, et implere suum calamum cogens. Tyrius erat, ut dixi, ille mutus, et passionem habebat cognitam non tempore aliquo ab alio accidentem languore, sed ex ipso secum partu nascentem. Et hanc ex natura sortitus, non dulcem ad parentes emisit vocem, non matrem aliquando balbutiens appellavit, non patrem claro saltem mutto * vocavit, super quibus semper puerorum parentes laetificantur, licet si-

* ita cod.

θρα ἢ τὰ τραυλίσματα καὶ ψελλίσματα· ὡς ἀθηναῖοι τὸ πρὶν ἐπ' Αἰσχίνῃ καὶ Δημοσθενεῖ τοῖς ῥήτορσι, καὶ τοῖς τούτων εὐγλώττοις στομύλμασιν.

Ἀνὴρ οὖν γεγονὼς, τὴν γλῶτταν εἶχεν ἀκίνητον καὶ τοῖς λοιποῖς οὐ συντρέχουσαν μέλεσιν· καὶ τάχα ἂν τῆς παρούσης ζωῆς οὕτω ἐξεδήμησεν, εἰ μὴ φιλόχριστοί τινες καὶ φιλάνθρωποι Κύρου καὶ Ἰωάννου τὴν χάριν γιγνώσκοντες, καὶ τὰ δι' αὐτῶν τοῖς πιστοῖς παρεχόμενα θαύματα ὡς πιστοὶ συμπαθήσαντες, τοῦτον πρὸς τοὺς μάρτυρας ἤγαγον· ἔνθα γενόμενος, καὶ τὴν πίστιν τῶν ἀγαγόντων ἔχων πρεσβεύουσαν, καὶ οἶκτον τὸν ἑαυτοῦ πρὸς οἶκτον τοὺς ἁγίους ἐγεί-

ne articulis sint muttiendi et balbutiendi eorum affectus; sicut Athenienses pridem super Aeschine vel etiam Demosthene rhetoribus et horum versutiis eloquentibus.

Vir ergo factus linguam immobilem habuit, cum reliquis membris minime concurrentem: et forte sic a praesenti vita migrasset, nisi quidam amici Christi et hominum amatores, Cyri ac Iohannis gratiam et miracula quae per eos praestantur fidelibus cognoscentes, tamquam fideles compassi, hunc ad martyras adduxissent; ubi fidem deducentium habens, cum venisset, intercedentem, nec non et miserationem sui, ad mi-

ραντα, λάλος γλώττης ἐπέτυχεν, οὐ γλῶτταν ἄλλην κτησάμενος, ἀλλ' ἧς εἶχεν τὸν δεσμὸν ἀποθέμενος· πάντως δὲ τὸ φάρμακον λέγειν ἀκόλουθον, δι' οὗ τὸ τῆς γλώττης πάθος ἐξέφυγεν· ὕδωρ αὐτῷ πίνειν καθεύδοντι οἱ ἅγιοι φανέντες ἐκέλευσαν· οὐ λόγοις τοῦτο θεσπίζοντες, οὐ γὰρ ἤκουεν, ἀλλὰ νεύμασι, καὶ τοῦ νάματος δείξεσι· ὁ δὲ γενόμενος ἔξυπνος, τὸ νάμα φέρειν ἐνένευεν· ἐμεμάθηκε γὰρ διὰ νεύματος, ὃ δ' ἂν ἴδοι κοιμώμενος, τοῦτο πιεῖν ἀνιστάμενος· καὶ δοθέντος αὐτῷ θᾶττον τοῦ ὕδατος, δεξάμενος ἔπιεν· καὶ πιὼν εὐθέως ἐλάλησεν· καὶ λαλούντων ἀνθρώπων ἐπήκουσεν· καὶ τῶν ἁγίων ἀπήγγελλε θέσπισμα, τὸν ὄνειρον λόγοις τρα-

serationem sanctos excitantem, eloquentis linguam adeptus est, non aliam linguam acquirens, sed vinculum eius quam habebat deponens. Verum et medicinam dicere consequens est, per quam linguae passionem diffugit. Aquam ei bibere dormienti apparentes sancti iusserunt, non verbis hoc decernentes, non enim audiebat, sed nutibus et lymphae ostensionibus. Qui expergefactus ut fluentum afferretur innuebat; didicerat enim per nutum ut quicquid videret dormiens, evigilans faceret; et datam sibi maturius aquam suscepit et bibit, et bibens statim locutus est, et homines loquentes audivit, et sanctorum retulit sanctio-

νέσι διηγούμενος, καὶ τῶν ὀφθέντων γεραίρων τὴν δύναμιν.

Οὕτως ὁ κωφὸς ἠκροάσατο, καὶ λόγον ὁ ἄλαλος ἀπεφθέγξατο, οὐ τῆς Κασταλίας γευσάμενος νάματος, οὐχ ὕδωρ πιὼν ἀπὸ Στυγὸς κατειβόμενον, οὐ ῥεῖθρον καυκάσειον ἀρυσάμενος, εὐφημοῦν ἀρετὴν πυθαγόρειον, ὡς ἑλλήνων οἱ μῦθοι θεσπίζουσιν, καὶ τῶν γεγραφότων ἡ πρὸς ἀλήθειαν ἔνδεια· ἀλλ' εὐτυχήσας Ἰωάννου καὶ Κύρου τὴν κέλευσιν ἀναπληροῦσαν αὐτῷ ἅπερ ἡ φύσις δημιουργεῖν αὐτοῖς παρεχώρησεν· ἵνα φανῶσιν οἱ μάρτυρες ἐκεῖθεν τὰς ἰάσεις δωρούμενοι, καὶ τὰ πρὸς τελείωσιν τοῖς ἀνθρώποις ἐλλείποντα, ὅθεν ἐξ ἀρχῆς καὶ τὴν

nem, somnium verbis expressis enarrans, et eorum qui apparuerant virtutem concelebrans.

Taliter surdus audivit, et verbum mutus pronuntiavit, non Castaliae gustans fluentum, non aquam bibens a Styge descendentem, non laticem caucasium hauriens, laudantem virtutem pythagoricam, ut gentilium fabulae sanciunt, et scriptorum quantum attinet ad veritatem inopia, sed Iohannis et Cyri iussione potitus, quae suppleret illi quod natura facere concessisset; quo apparerent martyres abinde sanitates donare, et ea quae ad perfectionem hominibus deerant accommodare, unde et a principio nativitatem sortiti

γένεσιν ἔλαχον· διὸ καὶ ἡμεῖς ὡς δυνατὸν αὐτοὺς εὐφημήσαντες, καὶ δοῦναι λόγον ἐν ἀνοίξει τοῦ στόματος ἱκετεύσαντες, ὡς καὶ τῷ παρόντι νῦν ἀλάλῳ δεδώκασιν, προθύμως πρὸς τὴν τῶν λειπομένων θαυμάτων διήγησιν ἐπειγόμεθα.

ξε. ΠΕΡΙ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΤΥΦΛΟΥ ΚΑΙ ΔΑΙΜΟΝΙΟΝ ΕΧΟΝΤΟΣ.

Εἰς καιρὸν ἡμῖν ὁ κίλιξ ἀφῖκται Θεόδωρος, διττῆς καὶ αὐτὸς ἀσθενείας φυγεῖν διηγούμενος, καὶ τῷ προλαβόντι θέλων συντάττεσθαι, γλώττης δεσμὸν πεφευγόντι καὶ κώφωσιν, καὶ διττοῦ νοσήματος διττὴν λαχόντι τὴν ἴασιν· ὃν φιλοφρόνως δεξάμενοι, διὰ τὴν πρὸς τοὺς μάρ-

sunt. Propter quod et nos eos quantum possumus conlaudantes, et dari verbum in apertione oris supplicantes, sicut etiam nunc praesenti muto dederunt, ad reliquorum miraculorum narrationem alacriter properemus.

65. DE THEODORO CAECO ET HABENTE DAEMONIUM.

Ad tempus nobis cilix accessit Theodorus, duplicis et ipse infirmitatis fugam enarrans, et conscribi cum praecedenti, qui mutus et surdus extiterat, volens; duplicisque languoris duplicem sortitus est sanitatem. Quo benigne recepto, propter benivolentiam quam circa martyras habet, et lin-

τυρας εὔνοιαν, καὶ τὴν γλῶτταν αὐτῷ πρὸς βραχὺ χαρισώμεθα, καὶ τὴν χεῖρα δανείσωμεν, καὶ τὸν κάλαμον χρήσωμεν, τοῖς ἁγίοις τὴν εὐφημίαν ὑφαίνοντι, καὶ τὴν αὐτῶν ἀλκὴν διαπρυσίως κηρύττειν σπουδάζοντι· ἀρξώμεθα γοῦν τῆς κατ' αὐτὸν διηγήσεως, προθύμως αὐτῷ πάντα γιγνόμενοι, καὶ χεὶρ καὶ γλῶττα καὶ κάλαμος, ὁ ξυγγραφεῖν εὐφυῶς ἐπειγόμενος.

Κίλιξ ἦν ὁ Θεόδωρος τῆς Ἀναζαρβέων ὁρμώμενος πόλεως, καὶ πάθεσι δύο δυσχερέσι κρατούμενος· ὧν τὸ μὲν δαιμόνιον ἦν πονηρότερον, ἀγριότερόν πως ἐπερχόμενον καὶ ῥῆσσον ἀεὶ πρὸς πᾶν εὑρισκόμενον· πολλάκις γὰρ ὡς ὁ τοῦ δαιμονῶντος πατὴρ ἐν εὐαγγελίοις πρὸς τὸν κύριον

guam illi ad breve tempus donabimus, et manum accommodabimus, et mutuum praestabimus calamum, sanctis laudem texenti, et virtutem eorum ardue praedicare studenti. Incipiamus ergo de illo referre, alacriter ei omnia facti, manus videlicet, lingua, et calamus scribere velociter et amplissime adhortatus.

Cilix erat Theodorus ex Anazarbeis exortus, passionibusque duabus difficilibus coartatus, quarum altera daemonium erat nequissimum, ferina saevitia superveniens, et dirumpens semper omne quod invenisset; multotiens enim, ut quondam pater daemonium patientis in evangeliis ad

ἔφησεν, εἰς πῦρ αὐτὸν καὶ ὕδωρ ἐνέβαλε, κτείνειν ἀφειδῶς καὶ ἀπολλύειν βουλόμενον· τὸ δὲ τῶν ὀμμάτων ὑπῆρχεν ἡ τύφλωσις, οὐκ ἀσθενείᾳ γενομένη τῆς φύσεως, ἀλλ' ἐνεργείᾳ σχεδιασθεῖσα τοῦ δαίμονος, οὐκ ἐκ νόσου σωματικῆς ἐπισφρήσασα, ἀλλ' ἐξ ἀγριότητος πνεύματος ἐνδημήσασα· οὕτω πονηρὸν ἦν τὸ δαιμόνιον, καὶ δι' ὑπερβολὴν λύττης μισάνθρωπον· ἀλλ' ἐν τούτοις τῷ Θεοδώρῳ τυγχάνοντι, καὶ μηδὲν σωτηριῶδες διὰ τὸν χρόνον ἐλπίζοντι, ἢ τουτωνὶ τῶν παθῶν προσδοκῶντι φυγεῖν πρὸ τῆς ἐκ θανάτου λυτρώσεως, θάνατος γὰρ ὄντως ἀνδρὶ ἀνάπαυσις, ὡς ὁ φιλοσοφήσας ἐν πάθεσιν Ἰὼβ ἀπεφθέγξατο, πᾶσαν ἀναιρῶν τὴν ἐν βίῳ

Dominum dixit, in ignem eum et aquam iactabat, occidere hunc non parcens ac perdere volens; altera vero oculorum caecitas erat, non infirmitate facta naturae, sed operatione daemonis praeparata, nec ex languore corporali superillata, sed ex feritate spiritus inducta; sic malignum erat daemonium, et propter habundantiam rabiei malivolum! Verum cum in his esset Theodorus, et nihil salutare speraret, aut ab his ante liberationem, quae fit per mortem, fugere passionibus expectaret; mors enim revera viro requies, ut Iob qui philosophatus est in passionibus, est affatus, omnem auferens saeculi huius difficultatem, prae-

δυσχέρειαν, καὶ τῆς παρούσης ζωῆς τὸ πολυπαθὲς καὶ πολύμοχθον· Κῦρος καὶ Ἰωάννης ἠγγέλλοντο δαιμόνων ἐλαταὶ θεοδώρητοι, καὶ παθῶν σωματικῶν ἀληθεῖς ἀλεξίκακοι· καὶ πιστεύσας Θεῷ καὶ τοῖς μάρτυσιν, εἰς Ἀλεξάνδρειαν ἔρχεται, καὶ τῶν ἁγίων καταλαμβάνει τὸ τέμενος, ἔργῳ κηρύττων τῆς εἰς αὐτὸν πίστεως τὸ ἀκράδαντον· ὃν οἱ Χριστοῦ λαβόντες θεράποντες, καὶ τῶν συνεχόντων δεινῶν ἠλευθέρωσαν, καὶ βίου θεοφιλοῦς ἐργάτην ἀνέδειξαν.

Φανέντες γὰρ αὐτῷ μετ' οὐ πολὺ τῆς ἀφίξεως, οὐ γρηγοροῦντι ἀλλ' ἐπὶ τῶν στρωμάτων καθεύδοντι, συνθήκας πρὸς αὐτὸν καὶ προστάγματα τίθενται· καὶ εἶθ' οὕτως αὐτὸν ἀξιοῦ-

sentisque vitae multam passionem, et multum laborem; Cyrus et Iohannes annuntiantur a Deo donati daemonum expulsores, et passionum corporalium veri propulsatores; et credens Deo et martyribus Alexandriam venit, et ad sanctorum pervenit ecclesiam, re denuncians fidei erga illum immobilitatem. Quem Christi suscipientes famuli, et a malis quibus afficiebatur liberarunt, et vitae Deo amabilis operarium reddiderunt.

Apparentes enim ei non multo post sui adventum non vigilanti, sed super strata dormienti, pacta cum eo et iussiones inierunt, et sic eum dignum faciunt valetudine; pacta autem et ius-

σι τῆς ῥώσεως· αἱ δὲ συνθῆκαι, καὶ τὰ δι' αὐτῶν γεγονότα συντάγματα, τῆς ταραχώδους ζωῆς ἀπῄτουν ἀπόθεσιν, καὶ βίου μονήρους γαληνιῶσαν ἀνάληψιν· αὕτη γὰρ αὐτοῖς πρὸς τῶν ῥωννυμένων μισθοπορία τριπόθητος, ἡ τοῦ βίου τυγχάνει διόρθωσις· ὅθεν τοὺς τοιούτους καὶ γεγηθότες προσδέχονται, καὶ ῥωσθέντας εὐθὺς ἀπολύουσιν· καὶ τοῦτο δῆλον ἐκ πολλῶν μὲν καὶ ἄλλων καθέστηκεν, οὐχ ἧττον δὲ καὶ τοῦ παρόντος ἡμῶν διηγήματος· ἐλθόντες γὰρ ὡς ἔφθην εἰπὼν εἰς Θεόδωρον, θέλεις ἔλεγον ὑγιὴς γενέσθαι Θεόδωρε; τοῦ δὲ κατανεύσαντος καὶ τὸ, ναὶ, τῷ στόματι λέξαντος, τί γὰρ οὐκ ἔμελλεν ἐν τοσούτῳ κακῷ πιεζόμενος; πάλιν οἱ μάρτυρες ἔφασκον· εἰ βούλῃ τυχεῖν τῆς ἰάσεως

siones per illos factae, tumultuosae vitae requirebant depositionem, et vitae monasticae tranquillam susceptionem. Haec enim illis a sanatis est merces ter amabilis, vitae correctio. Unde tales et recipiunt, et sanatos statim dissolvunt; et hoc manifestum est ex multis quidem aliis, non minus autem et ex praesente nostra narratione. Venientes enim, ut iam dixi, ad Theodorum, vis dicebant, sanus fieri, Theodore? Illo vero annuente, et maxime ore dicente; quid enim tanto malo oppressus diceret? iterum martyres dicebant: si vis obtinere sanitatem, et fugere imbecillita-

καὶ φυγεῖν τῆς ἀσθενείας τὸν κίνδυνον, σύνθου ἡμῖν ὡς σωζόμενος οἰκεῖς Ἰορδάνου τοῦ θείου ποταμοῦ τὴν οὐράνιον ἔρημον, ἔνθα Χριστὸς ὁ σωτὴρ ἁπάντων βεβάπτισται, καὶ ταύτης οἰκήτωρ γινόμενος, σχῆμα μοναστοῦ καὶ τρόπους ἐνδείκνυσαι, τὸν βαπτιστὴν Ἰωάννην μιμούμενος, τὸν ταύτης οἰκιστὴν καὶ πολίτην γινόμενον· καὶ τὴν ῥῶσιν δι' ἡμῶν θεός σοι χαρίζεται, καὶ λυτροῦται τῆς τῶν παρόντων κινδύνων κολάσεως.

Συνθεμένου δὲ θᾶττον τοῦ πάσχοντος, καὶ πληροῦν αὐτῶν ὀμωμοκότος τὴν κέλευσιν, εὐθέως οἱ ἅγιοι καὶ τὸ δαιμόνιον ὡς μαστιγίαν τινὰ καὶ δραπέτην ἐλαύνουσιν, καὶ τὴν τῶν ὀφθαλμῶν θεραπεύουσιν τύφλωσιν, ἣν ἑαυτῷ τὸ

tis periculum, inito conventionem, quod sanatus habitas Iordanis divini fluminis caelestem eremum, ubi Christus salvator omnium baptizatus est. Et huius habitator effectus formam monachi, et mores demonstras, baptistam Iohannem imitans huius habitatorem et civem olim existentem; et incolumitatem Deus tibi per nos donat, et liberat a praesentium periculorum punitione.

Conveniente autem et cito patiente, eorumque mandatum adimplere iurante, statim sancti daemonium ceu mastigiam quemdam et fugacem eiciunt, et oculorum sanant obcaecationem, quam secum daemonium contulit, illud quidem visione

δαιμόνιον συνεισήγαγεν, αὐτὸν μὲν κελεύσματι φυγαδεύσαντες, ταύτην δὲ τῇ τῆς κηρωτῆς ἐπιθέσει διώξαντες· Θεόδωρος δὲ τὴν φυγὴν τῶν ἀνιώντων εὑράμενος, καὶ τὴν ῥῶσιν ἐπὶ ταύτῃ δρεψάμενος, εὐχαριστήσας ὅσον οἷός τε ἦν καὶ ἠδύνατο, καταλαμβάνει τὴν ἔρημον, κἀκεῖσε πληροῖ τὴν τῶν ἁγίων θεοφιλῆ καὶ σεβασμίαν διάταξιν· ἡμεῖς δὲ τούτους θαυμάσαντες, καὶ τῆς εἰς ἀνθρώπους θείας αὐτῶν κηδαινίας * χάριν ὑμνήσαντες, ἑτέρας αὐτῶν εἰς ἡμᾶς τοὺς ἀνθρώπους ἀναγράψωμεν χάριτας.

* ita cod.

fugantes, hanc vero cerati suppositione expellentes. Theodorus vero fugam illorum, qui ad se venerant inveniens, et sanitate super illam potitus, gratias agens, quantum potis erat et valebat, pervenit ad eremum, ibique sanctorum iussum amabile et venerandum adimplet. Nos vero hos admirantes, et propter divinam illorum erga homines curam laudantes, alias illorum erga nos homines describamus gratias.

ξϛ. ΠΕΡΙ ΜΗΝΑ ΤΟΥ ΛΥΚΙΟΥ ΕΙΣ ΝΟΣΟΝ ΥΔΕΡΟΝ ΠΕΡΙΕΛΘΟΝΤΟΣ.

Τί δὲ καὶ Μηνᾶν ὑπὸ ψάμμον κρυπτόμενον οὐκ ἐκφέρωμεν, καὶ δῆλον αὐτὸν τοῖς ἀγνοοῦσι ποιώμεθα; γραφῆς γὰρ καὶ τὰ κατ' αὐτὸν καθέστηκεν ἄξια, καὶ οὐ ψάμμου καὶ λήθης σκεπάσματος· ὡς Μενουθῆς τὸ δαιμόνιον, καὶ ταύτης αἱ τελεταὶ καὶ βωμοὶ καὶ τὸ τέμενος, ὧν ὀφέλιμος μὲν ἡ λήθη καθέστηκεν, καὶ διὰ τοῦτο τοῖς μάρτυσι πέπρακται· ἐπιβλαβὴς δὲ λίαν ἡ θέα τοῖς βλέπουσιν, καὶ διὰ τοῦτο ψάμμῳ θαλαττίᾳ καλύπτεται, ἀνελούσῃ παντελῶς αὐτῆς τὸ μνημόσυνον, καὶ δημιουργούσῃ τὴν τῶν

66. DE MENA LYCIO IN MORBUM AQUAE INTERCUTIS INCIDENTE.

Quid vero et Mennam sub harena occultatum non in medium afferimus, eumque manifestum nescientibus non facimus? Scriptura namque et quae de illo narrantur digna sunt et non harenae et oblivionis velamine, ut Menuthes daemonium, et illius caeremoniae et altaria, et delubrum, quorum utilis quidem oblivio est; et idcirco a martyribus factum est; et damnosum nimis est spectaculum inspicientibus; quapropter harena marina cooperitur destruente prorsus illius memoriam, et reparante invisibilium rerum

οὐ θεωμένων ὠφέλειαν· ἡκέτω τοίνυν ὁ λύκιος διαῤῥήξας τῆς ψάμμου τὸ κάλυμμα, καὶ φανερὸν ἡμῖν τὸ κατ' αὐτὸν ποιείτω τεράστιον, καὶ μὴ κρυπτέτω κακῶς ὑπὸ κλίνην καὶ μόδιον, τὸ καλῶς ὑπολυχνίαν φαίνειν εἰ τεθείη δυνάμενον.

Λύκιος μὲν ὁ Μηνᾶς ἐγνωρίζετο, καὶ Πατάρων ὁρμᾶσθαι τῆς πόλεως ἔλεγεν· πάθος δὲ εἶχεν οὐ ψιλὸν ἀλλὰ μέγιστον, καὶ οὐδὲ ῥαδίως ἰώμενον, ἀλλὰ δυσχερὲς καὶ δυσίατον, ἰατροῖς δὴ τῆς σήμερον ὅσον ἐκ τέχνης ἀνίατον, εἰ μὴ θεὸς συμμαχοῦσαν αὐτοῖς χαρίσοιτο δύναμιν· εἰς ὕδερον γὰρ πεσὼν ἀνιάτρευτον, καὶ χρονίσας ἐν αὐτῷ τῷ νοσήματι, δεινῶς ἐκινδύνευε ταῖς ἀλγηδόσι τῶν σπλάγχνων ὀδυνώμενος, καὶ

utilitatem. Accedat igitur Lycius dirrumpens harenae velamen, et manifestum in se gestum faciat nobis prodigium, et non occultetur male sub lecto vel sub modio, quod bene lucere super candelabrum si positum fuerit poterit.

Lycius ergo Mennas esse noscebatur, et Patarensium se esse dicebat civitatis oriundum; passionem autem habebat haud levem, sed pessimam et ad sanandum difficilem; porro medicis qui hodie sunt quantum ex arte insanabilem, nisi Deus auxiliantem sibi donaret virtutem; in hydropem enim incurabilem cadens et moratus in eodem languore periclitabatur, doloribus viscerum fatiga-

ταῖς τοῦ παντὸς σώματος ὀγκώσεσι συμπνιγόμενος· καὶ τί τὸ πάθος παραστῆσαι τῷ γράμματι βούλομαι; ἀρκεῖ γὰρ πᾶσιν πρὸς εἴδησιν λεχθὲν αὐτοῦ καὶ μόνον τὸ ὄνομα· εὐθέως γὰρ οἱ τῆς τούτου προσηγορίας ἀκούσαντες, τῆς ὀδύνης ἐντυποῦνται τῇ διανοίᾳ τὸ μέγεθος· ἀλλ' ἕως μὲν ἐν ἀρχαῖς ἦν ὁ Μηνᾶς τοῦ νοσήματος, καὶ θεραπείας ἐφρόντιζε, καὶ τοὺς ἰατροὺς μετεπέμπετο, καὶ ποιεῖν αὐτῶν τὰς κελεύσεις ἐσπούδαζεν· ἐπειδὴ δὲ τῷ πάθει προέκοπτε, καὶ ἰατρὸς οὐδεὶς προσκαλούμενος ἤρχετο, εἰδὼς τὸ τοῦ πάθους ἀνίατον, θανάτου τυγχάνειν ἐγλίχετο, ἵνα καὶ οὕτως ἐκφύγῃ τὸ νόσημα· ἀλλ' ὡς καὶ τούτου ποθῶν οὐκ ἐτύγχανεν, ἐπὶ Κῦ-

tus, totiusque corporis molibus suffocatus. Sed quid passionem huic volo commendare scripturae? cum sufficiat omnibus ad notitiam ipse illius qui dictus est languor. Mox enim qui huius appellationem audiunt, doloris formant animo magnitudinem. Verum donec Mennas in exordiis esset languoris, et curam sui gerebat et medicos accersiebat *, et iussiones eorum facere festinabat. Quia vero passione proficiebat, et nullus vocatus medicus veniebat, sciens insanabilem passionem, mortem consequi cupiebat, ut saltem sic languorem effugeret. Sed cum et hoc desiderans non impetrasset, ad Cyrum et Iohannem mar-

* ita cod.

ρον καὶ Ἰωάννην τοὺς μάρτυρας ἄγεται, δυσὶν θάτερον ἕνεκεν, ἢ ὅτι τοῦτον ἐλεήσαντες οἱ ἅγιοι θεραπεύσουσιν, ἢ ὅτι σπλαγχνισθέντες ἐπ' αὐτῷ περὶ τοῦ θανάτου πρεσβεύουσιν· ὅθεν ἑνὸς τῶν δύο τετύχηκεν, ὑγείας φημὶ καὶ τῆς ῥώσεως· καὶ τὴν νόσον διέφυγεν, ἣν ἐκφυγεῖν θανάτου χωρὶς οὐκ ἐνόμιζε.

Λέξωμεν δὲ καὶ τὴν ἴασιν· ἀστεῖα γὰρ αὕτη, καὶ μαρτυρικῆς γέμουσα χάριτος ὁμοῦ καὶ δυνάμεως· φανέντες γὰρ κοιμωμένῳ τῷ πάσχοντι, καὶ ἰδόντες ἀκριβῶς αὐτοῦ τὰ ἐγκάρδια, καὶ ὡς ποτὲ μὲν ῥαθυμῶν ἐπεκαλεῖτο τὸν θάνατον, καὶ γῆν ἤθελεν ὑποδύεσθαι, ποτὲ δὲ αὖ περὶ τῆς ὑγείας ἐπρέσβευε, καὶ ζῆν εἰ ῥωσθείη

tyras ducitur ex duobus alterius causa, scilicet ut hunc aut sancti miserti curarent, aut certe viscere super eum moto, de morte misericorditer intercederent. Unde alterum ex duobus obtinuit, sanitatem scilicet et sospitatem; sed et languorem evasit, quem evadere sine morte nullatenus aestimabat.

Dicemus autem et medelam; urbana enim est haec et martyricâ plena gratiâ simul et fortitudine. Dormienti enim ei qui patiebatur apparentes, et quae corde ipsius versabantur mere scientes, et qualiter aliquando quidem maestus mortem vocaret, et terra obrui * vellet, aliquando ve-

* cod. exui.

προσηύχετο, ἀμφότερα τρόπον τινὰ ποιεῖν ἐπιτάττουσι· καὶ τὴν ῥῶσιν ὀρέγοντες, καὶ τῇ γῇ διδόντες ἐνθάπτεσθαι· εἰ θέλης γὰρ, φησὶν, ἀπαλλαγῆς τυχεῖν τοῦ νοσήματος, τοῦ τεμένους αἰρόμενος ἔξιθι, καὶ σεαυτὸν ἔνθαπτε ψάμμῳ τῇ γείτονι· ὁ δὲ στραφεὶς μετὰ τὸν κάλλιστον ὄνειρον, θανάτου μᾶλλον ἢ ῥώσεως σύμβολον τὴν ἐν ψάμμῳ ταφὴν ὑπελάμβανεν· ὅμως ἐπειδήπερ ἑκατέρων καὶ θανάτου καὶ ῥώσεως, καὶ μὴ ὁμοίως διὰ τὴν νόσον ὠρέγετο, συντόμως ἐποίει τὸ θέσπισμα, τῆς ἐποδύνου ζωῆς ἐν προτιμήσει φέρων ἑκάτερα, καὶ τὸν ἀνόδυνον θάνατον, καὶ τὴν ζωὴν τὴν ἄνευ νοσήματος· ἐξελθὼν οὖν τὸ τέμενος, καὶ ψάμμῳ χωσθεὶς ὡς κεκέλευστο,

ro contra pro sanitate intercedere et vivere si sanus efficeretur oraret, facere quodammodo utrumque praecipiunt, et sanitatem porrigentes, et sepeliendum terrae tribuentes. Si enim vis, inquit, ereptione potiri languoris, a templo sublatus egredere, et temetipsum sepeli harena vicina. At ille conversus post optimum somnium, mortis potius quam sanitatis indicium, illam in harena sepulturam coniciebat; et tamen quia utrumque mortem scilicet et sanitatem, et si non similiter, propter languorem desiderabat, praeceptum concite faciebat, vitae cum dolore habitae praeponens utrumque, mortem scilicet sine dolore, et vitam

καὶ τῆς ῥώσεως ἔτυχεν, καὶ τὸν ἐλπιζόμενον ἔφυγε κίνδυνον· τῇ γὰρ ψάμμῳ παντελῶς ἐνθαπτόμενος, εἶχε συνθαπτόμενον αὐτῷ καὶ τὸ νόσημα· ταύτης δὲ μετὰ τὴν ταφὴν ἀνιστάμενος, οὐκ εἶχε συνεγειρόμενον αὐτῷ τὸ ἀῤῥώστημα· ἀλλ᾽ οὕτω τὴν ψάμμον διασκεδάσαν ἀνίστατο ὡς ἐκ μήτρας ἄνευ πάθους προσήρχετο· καὶ Μηνᾶς μὲν τρόπῳ τοιῷδε τὴν ῥῶσιν ἀπείληφε, καὶ χαριστήριον αἶνον ἀνατείνας τοῖς μάρτυσι χαίρων ὁμοῦ καὶ σκιρτῶν τὴν Λυκίαν κατείληφε· ἡμεῖς δὲ πάλιν τοὺς ἁγίους αἰνέσαντες, ἄλλην αὐτῶν θαυματουργίαν προσοίσωμεν.

absque languore. Egressus ergo a templo, et harena ut iussus fuerat obrutus, et sanitatem percepit, et speratam mortem evasit. Cum enim harena sepeliretur, habebat etiam consepeliendum sibi languorem; ex hac autem post sepulturam resurgens, non habebat consurgentem secum infirmitatem; sed sic harena dissipata surgebat, sicuti quando ex matrice sine passione processit. Et Mennas quidem tali modo sanitatem percepit, et gratifica extensa * laude, gaudens pariter et exultans ad Lyciam pervenit. Porro nos iterum sanctos laudantes, alterius eorum offeramus miraculi opus.

* ex gr.

ξζ. ΠΕΡΙ ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΠΝΕΥΜΑΤΙΩΝΤΟΣ ΚΑΙ ΕΑΥΤΟΝ ΣΦΑΞΑΝΤΟΣ.

Ἄλλον ἡμῖν ἡ Κύπρος Γεώργιον πρὸς διήγησιν ἤγαγεν, καὶ τοῦτον τοῖς προλαβοῦσι δύο συνάπτειν προτρέπεται, ἵν' ἐν τῇ τῶν ἁγίων θαυματογραφίᾳ τρίτον ἐνέγκασα, τοῦτο μείζονος ἀφορμὴν ἀγερωχίας ποιήσαιτο· ὅθεν θαυμάσαντες αὐτῆς καὶ ἡμεῖς τὸ φιλότιμον, καὶ τὴν εἰς τοὺς μάρτυρας εὐπρεπεστάτην εὐσέβειαν, καὶ τὸ ἐπὶ τούτοις αὐτῇ σπουδαζόμενον πολύτροπον καύχημα, τὰς αἰτήσεις πληρώσωμεν· κεχαρισμέναι γὰρ αὗται καὶ ἡμῖν καθεστήκασιν, καὶ τὴν εἰς αὐτὸν τοῖς ἁγίοις πραχθεῖσαν δύναμιν

67. DE GEORGIO QUI A SPIRITU AGITATUS SEMETIPSUM OCCIDIT.

Alium nobis Cyprus ad narrationem Georgium protulit, et hunc copulare duobus praecedentibus exhortatur, ut in mirabili sanctorum opere, tertio prolato, hunc potioris occasionem superbiae faciat. Unde mirantes et nos eiusdem insulae honorificentiam, et decentissimam erga martyras pietatem, gloriamque ipsius multimodam, quae studetur * in his, petitiones adimpleamus: haec quippe nobis etiam grata consistunt, et virtutem quae in eo a sanctis gesta est edicamus; habet enim

* ex gr.

λέξωμεν, ὑπερβολὴν θαύματος ἔχουσαν, καὶ τὴν χάριν αὐτῶν δι' ἑαυτῆς εἰκονίζουσαν.

Κύπριος ἦν ὁ Γεώργιος, καὶ δαιμόνιον ἔσχε ἐπὶ κακίᾳ πολλῇ γνωριζόμενον· δαιμόνων γὰρ πολλῶν ὑπῆρχε πολὺ πονηρώτατον, καὶ τὰ τοῖς πολλοῖς δρώμενα κακὰ μόνον αὐτὸ ποιεῖν ἠγωνίζετο· καὶ μεγάλην ἧτταν τὸ δεινὸν ὑπελάμβανεν, εἰ φανῇ μικρὸν τῶν ἄλλων ἁπάντων πρᾳότερον· οὕτω δὲ χαλεπὸν καὶ μισάνθρωπον, χαλεπώτερον εἴπερ ἄλλοι διετίθη τὸν ἄνθρωπον, ἐπιπίπτον ἀεὶ καὶ συντρίβον τὸν ἄθλιον, καὶ αὐτοῦ τὰ πολλὰ μανικώτερον αὐτὸν ἐργαζόμενον· τούτου ποθῶν τὴν φυγὴν ὁ Γεώργιος, εἰς Ἀλεξάνδρειαν ἔρχεται, καὶ τὸν νεὼν τῶν ἁγίων κατ-

eminentiam miraculi, per se ipsam gratiam eorum imaginans.

Cyprius erat Georgius et daemonem habebat in multa malitia cognitum ; multis enim erat daemonibus nequior, et mala quae a multis gerebantur, solus ipse facere decertabat ; et magnam superationem sui acer ille putabat, si apparuisset saltem in modico universis aliis mitior. Cum autem taliter saevus esset, et hominis osor, saevius quam alii tractabat hominem, immersus semper in eum, et conterens miserum et sese saeviorem in plurimis operans. Huius desiderans fugam Georgius Alexandriam venit, et ad basilicam san-

ἔλαβε, καὶ τοῦτον κατῴκησε μετὰ τῶν ἄλλων ἀσθενῶν διαιτώμενος· ἀλλ' ὁ δαίμων ἐκεῖνος ὁ ἄγριος μαρτυρικαῖς χερσὶ μαστιζόμενος, καὶ μὴ φέρων ἔτι τὴν ἐνθάδε Γεωργίου κατοίκησιν, μήτε χωρίζεσθαι τούτου πρὸς αὐτῶν προσταττόμενος, τοιοῦτον τί μηχανᾶται παγκάκιστον, καὶ τῆς αὐτοῦ πονηρίας ἐπάξιον, φυγὴν ἑαυτῷ τῆς τῶν ἁγίων μνηστευόμενος μάστιγος.

Νυκτικόρακα τὸ καλούμενον ὄρνεον ἐμφωλεῦσαι τῇ στέγῃ πεποίηκεν, καὶ τῶν τόπων ἄνω καθεύδειν τὲ καὶ καθέζεσθαι, ἐν οἷς ἦν καὶ Γεωργίου τὰ στρώματα· ὅθεν ὁ νυκτικόραξ καθήμενος, ἐπ' αὐτὸν ἠκόντιζεν ἑαυτοῦ τὸ ἀφόδευμα, καὶ πᾶσαν αὐτοῦ τὴν στρῶσιν ἠφάνιζεν· μαθόν-

ctorum accessit, et in hac habitavit cum aliis moratus infirmis. Sed ferus ille daemon, qui a martyricis manibus flagellabatur, non ferens ultra istic habitare Georgium, neque separari ab eo, ut ab illis praecipiebatur, pessimum quid machinatur, et sua ipsius condignum nequitia, fugam sibi a sanctorum flagello promittens.

Avem, quae vocatur nycticorax, cubare fecit in tecto, et in locis superioribus dormire atque sedere, in quibus erant stramenta Georgii; unde nycticorax sedens stercus suum iaculabatur super eum, et totum eius sordidum reddebat stramentum. Quo comperto, templi ministri in alium

τες οἱ τῷ νεῷ διακονούμενοι, εἰς τόπον ἕτερον τὸν ἀσθενοῦντα μετήνεγκαν, τῆς ἀδικίας αὐτὸν ἐλεήσαντες· ἀλλὰ πάλιν τὸ ὄρνεον ὡς ἔκ τινος ἀναγκαίου συνθήματος, ταῖς ἐκείνου στρωμναῖς συνμετήρχετο, καὶ ὡς τούτων τὴν φυλακὴν προσδεξάμενος, καὶ ταύτας ἐᾶν οὐ δυνάμενος, ἐπάνω πάλιν ἀφώδευε, καὶ σὺν αὐταῖς συχνοῖς τὸν Γεώργιον ἐῤῥύπου τοῖς ἀφοδεύμασιν· αὖθις δὲ τοῦτον οἱ θυρωροὶ κατοικτείραντες, εἰς τόπον αὖθις ἄλλον μετέθηκαν· τοῦτο δὲ πεποίηκε καὶ τὸ ὄρνεον, καὶ τῆς μεταθέσως οὐκ ἠμέλησεν· οὐκ οἴκοθεν τοῦτο ποιούμενον, ἔστι γὰρ ἀδιανόητον, ἀλλὰ δαίμονος αὐτῷ συνελαύνοντος· ὡς δὲ πάλιν, μᾶλλον δὲ πολλάκις, οἱ τὴν ὑπηρεσίαν τοῦ τεμένους ποιούμενοι, τὸν ἀῤῥωστοῦντα μετ-

locum transtulerunt infirmum, super iniuriam ipsius ad misericordiam devoluti. Sed iterum avis, quasi ex quodam necessario pacto, cum illius comitabatur stramentis; et quasi horum custodiam suscepisset, et haec dimittere minime valuisset, desuper iterum cacabat, et cum eis etiam Georgium sordidum stercoribus reddebat. Rursus autem hunc ostiarii miserti in alio loco posuerunt; hoc autem fecit et avis, et translationis curam non habuit, non sponte hoc faciens, est enim intellectu carens, sed se daemone impellente. Cumque iterum, immo saepe, hi qui administratio-

έφερον, δεκάκις γὰρ τοῦτο πεπράχασι, καὶ τὸ ὄρνεον ἀκολουθοῦν οὐκ ἐπαύετο, τέλος ἐπαύσαντο, ἐνέργειαν εἶναι δαίμονος τὴν τούτου συνδρομὴν λογισάμενοι.

Θυμωθεὶς οὖν ἐκ τούτου Γεώργιος, καὶ μάχαιραν εὑρὼν ἐκ διαβολικοῦ δηλόνοτι συντάγματος, ταύτην ἁρπάσας ὁ δείλαιος κατὰ τοῦ φάρυγγος ἤνεγκε, καὶ μεγάλην αὐτῷ τὴν σφαγὴν ἐνειργάσατο· κεντήσας γὰρ πρῶτον τὸν λάρυγγα, πάλιν ἔνθα καὶ ἔνθα τὸ ξίφος ἐκίνησεν, ὡς οὐκ ἀρκούσης τῆς προτέρας πληγῆς εἰς ἀναίρεσιν, εἰ μὴ καὶ τὸ ξίφος μετὰ τὴν τρῶσιν καὶ κίνησιν καὶ τὴν πληγὴν ποιήσαιτο μείζονα· ἣν πάνυ διὰ βάθους λαβὼν ὁ τρισάθλιος,

nem templi faciebant, transtulissent infirmum, decies enim hoc egerunt, et avis subsequi non cessasset, postremo quieverunt, operationem esse daemonis, huius deprehendentes concursum.

In furorem ergo ex hoc versus Georgius, machaera ex diabolica profecto operatione reperta, hanc infelix arreptam intulit contra guttur, et magnam sibi plagam operatus est; puncto enim primitus gutture, iterum hinc et inde gladium movit, quasi ad interemptionem prior plaga minime suffecisset, nisi et gladium post ictum movisset, et plagam maiorem fecisset. Quam cum valde profundam miserrimus accepisset, cadens

πεσὼν εἰς γῆν ἐκύλιετο, καὶ ἔσκαιρεν ὡς οἱ σφαττόμενοι σκαίρουσιν, τὴν ψυχὴν ἀπολλύειν οἰόμενος, καὶ τοῖς παροῦσιν θνήσκειν εὐθὺς νομιζόμενος· ὅπερ οἱ πυλωροὶ θεασάμενοι, καὶ οἱ τὴν λειτουργίαν τῶν ἁγίων ποιούμενοι, εἰς δέος οὐκ ὀλίγον ἐνέπεσαν, οἰκεῖον ἔγκλημα καὶ μέμψιν τιθέμενοι, τὸ μὴ φυλάξαι τοιαύτης αὐτοὺς ἐγχειρήσεως τὸν ὑπὸ πονηροῦ δαίμονος ἐνεργούμενον· καὶ φοβούμενοι μήπως αὐτοῖς γένηται κίνδυνος, εἰς τὰς γείτονας κώμας διέτρεχον, ἰατροὺς προσκαλούμενοι, εἴ πως δυνηθείη, ῥαφαῖς τὸ τραῦμα συνάψαντες, σῶσαι, μήπως θανόντα τὸν ἄνθρωπον, καὶ αὐτοὺς σὺν αὐτῷ κινδυνεύοντας· ἑνὸς δὲ μόνου κατὰ τὸ Ἡράκλειον

in terram volutabatur, et palpitabat sicut hi palpitant qui occiduntur, animam dimittere opinatus, et a praesentibus mori putatus. Quod ostiarii videntes, dum officium celebrarent sanctorum, in pavorem non modicum corruerunt, proprium id crimen et culpam ponentes, non observando eum ab huiuscemodi perpetratione, qui a maligno daemonio vexabatur; et timentes ne forte ex hoc sibi periculum fieret, per vicinas villas discurrebant medicos advocantes, si forte possent adsuendo gutturis [illegible] vulnere copulato salvum facere hominem moribundum, [illegible] se cum ipso periclitantes. Unum autem et solum ap[illegible] Heraclion

εὐπορήσαντες, καὶ πολλαῖς αὐτὸν παρακλήσεσι πείσαντες, εἰς τὸ μαρτύριον ἤγαγον· ὃς τὴν πληγὴν θεασάμενος θανατηφόρον τυγχάνουσαν, ἀνεχώρησεν οὐκ ἐγχειρήσας τῷ πράγματι, φόβῳ μεγάλῳ κρατούμενος καὶ τεθηπὼς, πῶς οὔπω τέθνηκεν ὁ Γεώργιος ὁ ταύτην ἐπ' αὐτῷ [πληγὴν] παρασχόμενος· ἥ τε γὰρ πνοὴ δι' αὐτῆς ἀνεδίδοτο, καὶ πάλιν ἡ εἰσπνοὴ δι' αὐτῆς ὑπεισήρχετο· ὁμοίως τά τε βρώματα ἐκεῖθεν ἐποιοῦντο τὴν ἔξοδον.

Οἱ δὲ μάρτυρες νυκτὸς ἀφικόμενοι, τῷ μὲν οἰκονόμῳ καθεύδοντι τὴν ἰατρείαν ἐπέταττον· οἶνον ἦν αὕτη καὶ ἔλαιον δι' ἧς ὁ κύριος τὸν εἰς λῃστὰς ἐμπεσόντα διέσωσεν, οἶνον αὐτοῦ τοῖς τραύμασιν ἐπιχέων καὶ ἔλαιον· δι' ἧς καὶ τοῦ

inventum, et multis precibus persuasum ad martyrium deduxerunt. Qui cum plagam vidisset fore mortiferam, recessit rem nullam aggressus, sed timore magno detentus, et miratus quomodo nondum mortuus esset Georgius, qui hanc sibimet intulerat plagam; praesertim cum flatus per eam redderetur, et rursus per eam sibi ingrederetur, similiter et alimenta et potus inde facerent exitum.

At vero martyres noctu venientes, dispensatori dormienti medicinam disponebant: vinum erat haec et oleum, per quam et Dominus eum qui latrones inciderat salvum fecit, vinum eius ulce-

σωτῆρος οἱ μιμηταὶ Γεώργιον ῥύονται, οὕτω ποιεῖν Χριστοδώρῳ θεσπίσαντες. Καλοέτην δέ τινα θυρωρὸν κατεσχηκότες ἐμάστιζον, φραγέλλιον ἐκ σχοινίου μακρὸν ἐργασάμενοι· αὐτὸς γὰρ ἦν ὁ τὸν ἰατρίσκον ἐκεῖνον ἐνέγκας αὐτῶν εἰς τὸ τέμενος· καὶ ταῦτα μαστίζοντες ἔλεγον· οὐκ οἶδας ὅτι τοῦ κόσμου παντὸς ἰατρεῖον ἡμῶν ὁ οἶκος καθέστηκεν; οὐκ οἶδας ὅτι Χριστὸς ἡμᾶς ἰατροὺς τοῖς πιστοῖς ἐχαρίσατο; οὐκ οἶδας ὅτι σὲ πυλῶν θανάτου ἡμεῖς ἀφηρπάσαμεν; τίνος οὖν ἕνεκεν ἰατρὸν ἡμῖν ἕτερον ἰατρείας ἡμετέρας δεόμενον εἰς ἡμέτερον οἶκον ἐκόμισας; καὶ καλῶς αὐτὸν βασανίσαντες εἴασαν, μηκέτι τί τοιοῦτο ποιεῖν ἀπειλήσαντες· εἴποιεν δ' ἂν οἱ ἀκούοντες,

ribus infundens et oleum; per quam et Salvatoris aemulatores Georgium eruunt, taliter facere Christodoro praecipientes. Kaloëtem quemdam ostiarium comprehendentes flagellabant, flagellum ex fune magnum operati; ipse enim erat qui mediculum in templum suum adduxerat; et haec flagellantes dicebant: nescis quia mundi totius medicamentum domus nostra consistit? nescis quia Christus nos medicos donavit fidelibus? qua ergo pro causa medicum alium, dum ipse medicamine nostro egeat, ad domum nostram duxisti? Et hunc bene tortum dimiserunt, ne ulterius hoc faceret minitantes. Dixissent autem hoc audientes quod

ὡς εἰκότως αὐτὸν ἐμαστίγωσαν, εἰ τὴν ἐπ' αὐτῷ γινομένην τοῖς ἁγίοις ἐνέργειαν μάθοιεν· κινδυνεύοντα γὰρ αὐτὸν ἐκ τοῦ πνεύμονος, καὶ ἐν ᾅδου πύλαις συνεχῶς αὐλιζόμενον, καὶ μηδεμίαν ἐξ ἰατρῶν ἐλπίδα σωτηρίας εὑρίσκοντα, ἀλώην μόνην οἱ μάρτυρες πιεῖν δεδωκότες ἰάσαντο· καὶ οὐ ταύτης ἕνεκα μόνον ἐμάστιξαν ὡς ἀμνήμονα, ἀλλ' ὅτι καὶ τοσούτους ὁρῶν θεραπείας τυγχάνοντας, καὶ τῆς τῶν ἁγίων πανσθενοῦς ἀρωγῆς ἀπολαύοντας, ὡς ἀσθενούντων αὐτῶν πρὸς σωτηρίαν καὶ λύτρωσιν, ἰατρὸν ἀγαγεῖν ἐπεχείρησεν ἕτερον· οὕτω μὲν οὖν ὁ Γεώργιος καὶ τὴν μανίαν τοῦ δαίμονος, καὶ τὴν ἑαυτοῦ μιαιφόνον ἐγχείρησιν ἔφυγεν· ἡμεῖς δὲ καὶ

competenter eum flagellaverint, si super eo factam a sanctis operationem didicissent. Periclitantem quippe illum de pneumone, et in inferni portis iugiter commorantem, et nullam a medicis spem salutis invenientem, aloën solam martyres dantes sanarunt; et non solum huius rei causa flagellaverunt tamquam inmemorem, sed et quia tot intuens curationem adeptos, sanctorumque fortissima ope fruentes, quasi fuerint illi ad salutem et ereptionem infirmi, medicum ducere nisus est alium. Taliter ergo Georgius et insaniam daemonis, et suum ipsius occidendi conatum effugit. Porro nos et super hoc quoque sanctos lau-

ἐπὶ τοῦτο τοὺς ἁγίους ὑμνήσαντες, ἄλλο τεράστιον τῆς αὐτῶν μεγαλουργίας συγγράψωμεν.

ξη. ΠΕΡΙ ΙΩΑΝΝΙΑΣ ΤΗΣ ΕΚ ΠΕΡΙΕΡΓΕΙΑΣ ΣΤΡΟΦΟΥΜΕΝΗΣ.

Πολλοὺς τὸ κάλλος ἀπώλεσεν, καὶ ἡ ὥρα τοῦ σώματος ἐλυμήνατο, φθόνῳ χαλεπῷ περιπέσαντας, καὶ γεγονότας βασκανίας δεινῆς παρανάλωμα· φθονεῖται γὰρ ἀεὶ τὰ καλὰ καὶ τὰ κρείττονα, καὶ φθονερῶν ὄμμασι καταλύεται· τοῦτο δὲ καὶ οἱ καλοὶ τὰς ψυχὰς καὶ τὰ σώματα πάσχουσιν, εἰ μὴ ἔχοιεν θεὸν τῆς αὐτῶν ὡραιότητος σωτῆρα καὶ προστάτην καὶ φύλακα· εἰ γὰρ ἀδάμαντα τὸν στερέμνιον τῶν λίθων ἐπαι-

dantes, aliud magnitudinis eorum prodigium conscribamus.

68. DE IOHANNIA QUAE A MALEFICIO TORTIONES PATIEBATUR.

Multos pulchritudo perdidit, et species corporis exterminavit, saevam invidiam incidentes, et sumptus acris livoris effecti; invidiam quippe sustinent semper ea quae bona quaeque meliora sunt, et invidis oculis destruuntur. Hoc autem et hi qui tam animabus quam corporibus sunt bonis, saepissime patiuntur, nisi Deum habeant speciositatis suae salvatorem, custodem, et protectorem.

νουμένων τιμιώτερον, τὸν χαλκῷ καὶ σιδήρῳ λεγόμενον ἄθραυστον, ὀφθαλμοὶ βασκάνων ἐκτήκουσι, τί ἂν ἀνθρώπειον σῶμα μὴ πάθοιεν βασκάνοις εἰς ἔργον προκείμενον; οἵ τινες ὅτε καὶ βολαῖς ὀμμάτων μὴ φθείνουσι τὸ φθονούμενον, ἄλλοις αὐτὸ φθείρειν ὀργάνοις σπουδάζουσιν· ὃ καὶ Ἰωαννία μικροῦ δεῖν ὑπέμεινεν, εἰ μὴ Χριστὸν καὶ τοὺς μάρτυρας τῆς οἰκείας ζωῆς εὕρατο φύλακας· λέξωμεν δὲ καὶ τὸν φθόνον τῷ γράμματι, καὶ τῆς ἐκ τοῦ φθόνου βλάβης τὴν ἴασιν.

Ἱερᾶς πόλεως τῆς ἐν Συρίᾳ τὸ γύναιον ὥρμητο, ἣ καὶ εὐπρέπειαν ἐκέκτητο σώματος, καὶ γονέων εἶχεν εὐγένειαν, καὶ πλοῦτον τὸν ἐπαύ-

Si enim adamantem durum, qui lapidibus nobilibus est honorabilior, quia aere ac ferro dicitur non quassari, oculi tabefaciunt invidorum, quid putas humanum corpus non patiatur, invidis in opus * propositum? qui quando et iaculis oculorum non corruperint quod invidentiam patitur, aliis id corrumpere instrumentis accelerant; quod et Iohannia paene sustinuisset, nisi Christum et martyras custodes vitae propriae invenisset. Dicamus autem hoc scripto invidiam, et sanitatem laesionis ex invidia factae.

* ex gr.

Hierapoleos, quae in Syria est, mulier fuerat oriunda, quae et decorem corporis possidebat, et

ξοντα τὰ ἀμφότερα· εἰς τὴν τῆς Παλαισῖίνης δὲ Καισάρειαν γήμασα, οὐ διὰ γένος καὶ χρήματα, ἀλλὰ δι' εὐμορφίαν μετήρχεῖο σώματος· ἐν ἱερᾷ πόλει γὰρ ὁ δισκούρσωρ Θεόδωρος, ὁ Καισαρείας χρηματίσας ἀνθύπατος, Καισαρείας τῆς ποτὲ Πυργοστράτωνος καλουμένης ὁρμώμενος, ταύτης διὰ κάλλος καὶ μόνον συνήπτετο· ἐλθούσης δὲ σὺν αὐτῷ εἰς Καισάρειαν, αἱ τοῦ γήμαντος ἀδελφαὶ διὰ ζῆλον ἐφθόνησαν, ἑαυτῶν κρείττονα ταύτην θεώμεναι· καὶ φθονήσασαι, τὴν Ἰωαννίαν φαρμάσσουσιν, θανατηφόρον αὐτῇ φάρμακον ἐμβαλοῦσαι τῇ κύλικι, καὶ πιεῖν ἀγνοούσῃ προσενεγκάμεναι· ἡ δὲ τὸ μὲν φάρμακον ἔπιεν, τὸν δὲ παραυτίκα θάνατον ἔφυγε,

parentum nobilitatem habebat, et divitias quae utrumque incrementum magnificabant. In Palaestinae vero Caesarea, non propter genus atque pecunias, sed ob pulchritudinem corporis passa est persecutionem. In Hierapoli enim discursor Theodorus proconsul effectus, qui Caesareae, quae quondam turris Stratonis vocabatur, fuerat oriundus, huic ob pulchritudinem tantummodo copulatus est. Cum autem venisset cum eo Caesaream, mariti sorores propter zelum aemulatae sunt; sed hanc meliorem videntes, Iohanniam maleficiis aggrediuntur, et pestiferum pharmacum in calice ignoranti ei ad bibendum propinaverunt. At illa

θεοῦ τοῦτον διαδρᾶναι κελεύσαντος· ἐν γαστρὶ δὲ τὸ φάρμακον ἔχουσα, στρόφους ἀνενδότους ὑπέμενεν, ὡς ὄφεων αὐτῆς κατεσθιόντων τὰ ἔντερα· ἐντεῦθεν ἀφόρητα πάσχουσα, καὶ τὸν ἰατρὸν οὐχ εὑρίσκουσα, εἰ καὶ μύριοι ταύτης ἰατροὶ πρὸς ἐπίσκεψιν ἤρχοντο, οὔτε συνήθους τροφῆς μετελάμβανεν, οὔτε πομάτων ἠνείχετο, οὐχ ὕπνων ἡδέως ἀπήλαυεν, οὐ βαδίζειν ὀρθίως ἢ καθέζεσθαι συνήθως ἠδύνατο, ἀλλὰ κάτω νεύουσα, καὶ τὴν ἑαυτῆς κοιλίαν ταῖς ἀγκάλαις κατέχουσα, καὶ ταῖς ἀλγηδόσιν οἰμώζουσα πάσας τὰς ὥρας διήνυεν.

Καὶ οὕτω κατὰ βραχὺ καταῤῥέουσα τέθνηκεν, εἰ μή τινὲς αὐτὴν ἐλεήσαντες, τὰς Κύρου

venenum quidem bibit, sed mortem statim evasit, Deo hanc evadere praecipiente. In ventre quippe venenum habens, tortiones incessabiles sustinebat tamquam si serpentes eius interiora comederent. Hinc intolerabilia patiens, et medicum non inveniens, licet mille ad huius visitationem venirent, neque consuetam escam percipiebat, neque potus sustinebat, neque suaviter somno potiebatur, neque ambulare recte seu sedere solito poterat; sed deorsum inclinata, et ventrem suum brachiis amplexata, et prae doloribus ingemiscens, omnes transigebat horas.

Et ita paulatim defluens mortua esset, nisi qui-

καὶ Ἰωάννου δυνάμεις ἀπήγγελλον, καὶ τὰ πρὸς αὐτῶν γινόμενα τέρατα· ἡ δὲ τούτων ἀκούσασα, καὶ τοῖς ἀγγελθεῖσιν πιστεύσασα, τὴν Ἀλεξάνδρου πόλιν κατέλαβεν, καὶ τῷ τῶν μαρτύρων νεῷ προσεπέλασε, καὶ περὶ τῆς ῥώσεως αὐτοὺς ἐλιτάνευεν· οἱ δὲ θεοῦ φιλανθρωπίαν μιμούμενοι, δεινῶς αὐτὴν ἀπολλυμένην ἠλέησαν· καὶ κοιμωμένην φανέντες ἠλέησαν τοῖς ὁράμασιν τοῦ πάθους αὐτῇ τὴν θεραπείαν ὀρέξαντες· φακὸς ἦν αὕτη τὸ ὄσπρεον ἑψωμένον καὶ τρωγόμενον, καὶ πάλιν ἐν λουτρῷ τῇ πασχούσῃ γαστρὶ προσπλασσόμενον· ἡ δὲ τὸ κελευσθὲν θᾶττον μετὰ τὸν ὄνειρον ἔπραξεν· καὶ τοῦτον ἡ γαστὴρ ἔσω θέντι δεξαμένη καὶ ἔξωθεν, ἅπαν εὐθὺς τὸ προποθὲν δηλητήριον ἔμησεν, ἐπὶ τὴν ἐπιφάνειαν

dam eius miserti illi narrarent quae a Cyro et Iohanne gerebantur prodigia. Quibus auditis, et his quae sibi relata sunt creditis, Alexandri venit ad urbem, et in martyrum templo morata, eos pro sanitate deprecabatur. Qui divinam clementiam imitantes, eius cum male periret miserti sunt; et cum dormiret apparentes in somnis, passionis curationem praeceperunt. Lentis leguminis erat haec decoctio et comestio, et iterum factum ex hoc in balneo ventris emplastrum. At illa quod iussum est mox post somnium gessit, et hoc ab intus et a foris venter accepto, totum venenum quod bi-

αὐτὸ τὴν ἑαυτῆς ἀναβράσασα· καὶ τούτου γεγονότος, μικρὸν αἱ ἀλγηδόνες ἐπαύσαντο· ἐπιφανέντες δὲ πάλιν οἱ ἅγιοι τελείαν αὐτῇ τὴν ὑγείαν χαρίζονται, πάστελλον αὐτὴν ἐσθίειν ὀρέξαντες, εἶδος τοῦτο πλακοῦντος καθέστηκεν· καὶ ψαλμόν τινα δόντες τῶν εἰς αὐτοὺς λεγομένων γεγραμμένον ὡσεὶ εἰς πιττάκιον, καὶ λέγειν αὐτὸν συνεχῶς ἐπιτρέψαντες· ἡ δὲ φαγοῦσα τὸν πάστελλον, καὶ τελείας τυχοῦσα τῆς ῥώσεως, καὶ τὸν ὕμνον ὑμνήσασα, καὶ τοῦτον ἀεὶ μελῳδεῖν ὑποσχομένη τοῖς μάρτυσιν, ἐπὶ Παλαιστίνην καὶ Καισάρειαν ὥδευσεν· ἡμεῖς δὲ καὶ νῦν τοὺς ἀθλοφόρους ὑμνήσαντες, ἐφ' ἑτέραν αὐτῶν πανύμνητον πρᾶξιν ὁρμήσωμεν.

berat antea confestim evomuit, quod in eius superficiem sparsim efferbuit; et hoc facto, dolores modicum quieverunt. Illucescentes autem iterum sancti perfectam ei conferunt sanitatem, pastillum porrigentes ad manducandum, quod species est placentae, et psalmum quemdam ex his qui in martyres illos dicebantur quasi scriptum in pittacio tribuentes, et hunc dicere continuatim praecipientes. At illa cum pastillum manducasset, et perfectam sanitatem percepisset, hymnumque cecinisset, sanctis hunc se semper melodice canere repromittens, ad Palaestinam profecta est et Caesaream. Porro nos etiam nunc cer-

ξθ. ΠΕΡΙ ΙΩΑΝΝΟΥ ΤΟΥ ΤΥΦΛΟΥ.

Μέχρι τίνος τὸν κάλαμον σκύλλωμεν, καὶ τὴν δεξιὰν πρὸς τὸ γράφειν ἐλαύνωμεν, καὶ τὴν φωνὴν πρὸς τὸ βοᾶν διεγείρωμεν; κέκμηκεν γὰρ ὁ κάλαμος, καὶ ἡ χεὶρ ἔτι τρέχειν οὐ δύναται, καὶ ἡ φωνὴ σὺν τούτοις ἠσθένησεν, τῆς συντονίας παυσαμένη καὶ λήξασα· καίτοι τοῦ σοφοῦ Σολομῶντος γεγραφότος μανθάνομεν, ὡς τὸ σπαρτεῖον τὸ ἔντριτον, οὐ ταχέως διαῤῥαγήσεται· ταῦτα δὲ καὶ τρία τυγχάνοντα, καὶ ἓν ἔχοντα βούλημα, καὶ μιᾶς γνώμης ὑπάρχοντα, καὶ σκοπὸν ἕνα στησάμενα, Κύρου καὶ Ἰωάννου κη-

tatores hymnorum praeconiis frequentantes, ad aliam ipsorum properemus laudabilem modis omnibus actionem.

69. DE IOHANNE CAECO ROMANO.

Usquequo calamum vexamus, et dexteram ad scribendum minamus, et vocem ad clamandum excitamus? fatigatus est enim calamus, et manus currere ultra non valet, sed et vox una cum his infirmata est, ab assiduitate cessans et desinens, quamquam sapiente Salomone scribente didicerimus, quod funiculus triplex difficile rumpatur. Haec autem cum tria essent, et unum haberent consilium, et sententiae unius existerent, inten-

ρύξειν τὰ θαύματα, καὶ ῥῆξιν ὑπέμειναν, καὶ κόπῳ βέβληνται, καὶ καμάτῳ πεπτώκασιν, καὶ τὴν ἧτταν ἐνδέδυνται, πρὶν ἢ κηρύξαί τι τῶν ἁγίων ἐπάξιον, ἢ τῶν ἀξιαγάστων αὐτῶν τεράτων βραχύ πως τι μόριον· βοᾶν δὲ καὶ μόνον ἰσχύουσι, τῆς οἰκείας ἀσθενείας τὸ μέγεθος· ὅθεν καὶ τὸ παρὸν θαῦμα βιαίως κηρύξαντα, ἐν τῷ μετὰ τοῦτο τέρατι παύσονται, πολλὰ τοὺς ἁγίους αἰτήσαντα, συγγνώμην αὐτοῖς σὺν ἀμνηστείᾳ δωρήσασθαι προπετοῦς καὶ μεγίστου τολμήματος.

Νῦν δὲ τέως τούτων ἀφέμενοι, τὰ κατὰ Ἰωάννην πρὸς δύναμιν λέξωμεν, καὶ τοῖς ἀκούουσι ποιησώμεθα γνώριμα· ῥωμαῖος οὗτος ἐτύγχανεν,

tioneque una statuerent Cyri et Iohannis praedicanda miracula, et dirumptionem sustinuerunt et labori immissa sunt, et fatigium * inciderunt, et superationem induerunt, prius quam praedicarent quid sanctis condignum, vel admiratione dignorum prodigiorum brevissimam portiunculam; clamare autem solummodo valent infirmitatis propriae magnitudinem; unde et cum praesens vix praedicent, in prodigio quod est post hoc cessabunt, multum sanctos petentia veniam sibi cum oblivione donari petulantis ausus et maximi.

Nunc autem his interim omissis; quae circa Iohannem gesta sunt, prout possumus, edicamus, et

* ita cod.

οὐ πόλεως ὑποφόρου ῥωμαίοις ὁρμώμενος, ἀλλὰ Ῥώμην αὐτὴν τὴν πρώτην αὐτῶν βασιλεύσασαν, πατρίδα καὶ πόλιν κτησάμενος· καὶ Ῥώμη γὰρ ἀληθῶς ἐπεθύμησε τῇ οἰκείᾳ καὶ τοῦτο προσθῆναι λαμπρότητι, τὸ Κύρου καὶ Ἰωάννου τοῖς θαύμασιν ὡς θειοτέροις τισὶ ἐγκαλλοπίζεσθαι, πολὺ ταῦτα λαμπρότερα στεφάνων καὶ σκήπτρων καὶ πορφυρίδος γιγνώσκουσα· ταῦτα μὲν γὰρ ἐκ γῆς τὴν γένεσιν ἔχοντα, πάλιν εἰς γῆν ἀναλύεται· τὰ δὲ τῶν μαρτύρων χαρίσματα ἄνωθεν ἐξ οὐρανοῦ καταγόμενα, καὶ θείᾳ δυνάμει τικτόμενα, ἀνάλυσιν τὴν εἰς γῆν οὐκ εἰσδέχεται· τῇ Ῥώμῃ γοῦν μὴ φθονήσωμεν τῆς ἐφέσεως, ἣ τῶν γηΐνων τὴν εὔκλειαν ἔχουσα, καὶ τῶν οὐ-

audientibus cognita faciamus. Romanus enim erat, non civitatis oriundus Romanis sub tributo redactae, sed ipsam Romam, quae prima in eis imperat, urbem et patriam possidens; etenim et Roma propriae veraciter desideravit etiam hoc addi claritati; videlicet, Cyri Iohannisque miraculis, tamquam quibusdam sacratioribus venustari, clariora haec coronis et sceptris et purpura sciens. Nam cum haec ex terra genesim habeant, in terram iterum dissolvuntur; charismata vero martyrum de sursum et e caelo descendentia, cum divina virtute sint edita, resolutionem in terram nequaquam admittunt. Romae itaque non invidea-

ρανίων τῆς δόξης ὀρέγεται· ἀλλ' Ἰωάννην τὸν ἐκ ταύτης εἰς μέσον καλέσαντες, διὰ τούτου τὸν πόθον αὐτῆς ἐκπληρώσωμεν.

Οὗτος ὀφθαλμῶν ἀσθενείᾳ τὸ πρῶτον κατέχεται, δι' ἣν ἰατροῖς ὄχλος ἐγίνετο, ἀποθέσθαι μὲν ποθῶν τὴν ἀσθένειαν, ἀναλαβεῖν δὲ τὴν πρὸ ταύτης ἀπάθειαν, ὃ παντὸς ἀσθενοῦντος καθέστηκε γνώρισμα· ἀλλὰ τούτου τυχεῖν οὐ δεδύνηται, πολλὴν ἰατρῶν ἀμοιβὴν ποιησάμενος· ἀεὶ γὰρ διώκων τὸν κρείσσονα, χεῖρον ἐποίει τὸ νόσημα· καὶ τὸν ἐν τούτοις περίβλεπτον ἀσπαζόμενος, ἄβλεπτος αὐτὸς κατ' ὀλίγον ἐγένετο· μέχρις οὗ τοῖς ἐμφανέσι καὶ λαμπροῖς

mus desiderio, si terrenorum claritatem habens, caelestium quoque gloriam appetit. Sed Iohanne, qui ex hac fuerat, in medium advocato, per hunc desiderium eius adimpleamus.

Hic oculorum primitus detinetur infirmitate, propter quam medicis tribulatio facta est, deponere infirmitatem desiderans, et recipere quae ante hanc fuerat sanitatem, quod omnis est infirmantis indicium *. Sed hoc adipisci non valet, licet multa medicis tribuisset; semper enim persequens meliorem, peiorem faciebat languorem; et dum eum qui in istis erat conspicuus amplecteretur, ipse sine visu paulatim effectus est; usque quo spectabiles et illustres adiens, obscurus et ob-

* ex gr.

προσιὼν, ἀφανὴς καὶ ἀλαμπὴς διαμπὰξ ἀποδείκνυται· καὶ τάχα οὐκ ἂν οὐδὲ τότε τῶν ἰατρῶν τὰς χεῖρας διέφυγεν, εἰ μὴ κενωθὲν τὸ βαλάντιον, τὴν τῶν ὀφθαλμῶν ἐφανέρωσε τύφλωσιν· σὺν τῷ γὰρ ὀφθαλμιαίῳ φωτὶ καὶ τὸ βαλαντιαῖον φέγγος ἐξέλιπεν· οὗπερ ἀνιάτως νοσήσαντος, καὶ ῥῶσιν λαβεῖν οὐδεμίαν ἰσχύοντος, νοσεῖν καὶ αὐτὸς ἀνιάτως ἐμάνθανεν· ἕως μὲν γὰρ ἦν ἁδρὸν τὸ βαλάντιον, θάρσει πρὸς τῶν ἰατρῶν συχνότερον ἤκουεν, καὶ λύπην μηδαμῶς μηδὲ μέριμναν κέκτησο, θᾶττον γάρ σε καλῶς βλέπειν ἐλπίζομεν· ἐπειδὴ δὲ τὸ βαλάντιον τὴν κένωσιν πέπονθεν, συνεῤῥύηκε γὰρ καὶ τοῦτο τοῖς ὄμμασιν, πάσχει καὶ αὐτὸς σὺν τούτῳ τὴν στέρησιν, ἣν προπεπονθὼς τῶν ὀμμάτων ἐτύγ-

tenebrosus prorsus ostensus est. Et forte nec tunc medicorum manus effugisset, nisi evacuatus sacculus, oculorum caecitatem manifestasset. Cum oculorum quippe lumine splendor defecit marsupii; qui cum insanabiliter elanguisset, et sanitatem nullam accipere valuisset, languere et ipse insanabiliter didicit: donec enim marsupium dapsile fuit, confide a medicis saepius audiebat, tristitiam nequaquam neque sollicitudinem habe, citius enim te bene videre speramus. Quia vero follis evacuationem passus est, effluxit enim etiam iste cum oculis, patitur et ipse cum hoc privationem, quam

χανεν, ἄπελθε πρὸς αὐτῶν ἐπυνθάνετο, μηδείς σε θνητῶν ἀπατήσειεν, λέγων ὡς ὄψει τὸν ἥλιον· αἱ κόραι γάρ σου διέῤῥευσαν, καὶ ἀλλήλοις ἐπάγη τὰ βλέφαρα· ὅρα μηδείς σου φάγοι τῶν ἰατρῶν τὸ ἀργύριον, μόνοις σε ποιῶν τοῖς λόγοις εὐέλπιδα, εὐόμματον δὲ ποιεῖν οὐ δυνάμενος.

Ταύτας Ἰωάννης τὰς ἀποφάσεις δεξάμενος, ἔτι περ ἐνοχλεῖν ἰατροῖς οὐκ ἠδύνατο, οὐκ ἐπειδὴ μόνον ὡς οὐκέτι βλέψοι μεμάθηκεν, ἀλλ' ὅτι καὶ χρημάτων ἐχήρευε, δι' ὧν ἰατροὺς θεραπεύσειεν· ἐν τούτῳ γεγονὼς καταστάσεως, ἰατρῶν πλεῖον δυνάμενον, καὶ γνώμην ἰατρῶν χρημάτων οὐ χρήζοντα ἔχοντα, καὶ οὐ τοῦτο μό-

et passus in oculis fuerat; vade, ab eis audiebat, nullus te mortalium decipiat dicens quod visurus sis solem; pupillae quippe tibi defluxerunt, et palpebrae mutuo congelatae sunt. Vide, nullus ex medicis pecuniam tuam manducet, solis te faciens bonae spei sermonibus, cum bonis te oculis facere nequeat.

His Iohannes acceptis sententiis, ultra medicis molestus esse non poterat; non tantum quia, quod non esset ultra visurus didicerat, sed quod etiam pecuniis destitutus esset, per quas foret medicos placaturus. In hoc deveniens, medicum investigabat qui plus medicis posset, quique medicorum haberet animum, qui pecuniis non egeret;

νον, ἀλλὰ καὶ τὸν ἄῤῥωστον τρέφοντα· ὅπερ ἐπιζητῶν σπουδαιότερον, κατὰ τὴν σωτήριον εὕρισκε πρόῤῥησιν, καὶ κροτῶν συντονώτερον, θύρας ἠνεωγμένας ἐτύγχανεν· Κῦρον γὰρ οὐκ εἰς μακρὰν καὶ Ἰωάννην ἐν Ἀλεξανδρείᾳ πυνθάνεται οἵους εὑρεῖν ἐθέλοι καὶ γλίχεται, πιστῶν αὐτοῦ νοσημάτων δυνάμεως κρείσσονας· καὶ τοῦτο μαθὼν, μᾶλλον δὲ πεισθεὶς, ἐπειδήπερ ἐκ φήμης αὐτὸ προεγίνωσκε, θᾶττον τοὺς ἁγίους κατέλαβεν, ὅρον ἀσάλευτον θέμενος, μὴ εἰσελθεῖν αὐτὸν τὸ σεβάσμιον τέμενος, εἰ μὴ φῶς θεάσοιτο πρότερον, καὶ τῶν ὀμμάτων ἀποβάλοι τὴν πήρωσιν· καὶ τὸν οἰκεῖον ὅρον μετὰ δοκιμὴν οὐ μετρίαν ἐπλήρωσεν, τὸ ὤμοσα καὶ ἔστησα

et non solum hoc, sed et qui infirmum aleret. Quod studiosius requirens, secundum reperit salutare (1) vaticinium; et pulsans instantius, ostium apertum adeptus est. Cyrum namque non longe atque Iohannem, idest Alexandriae consistere audit, quales invenire vellet et cuperet, quique suis forent virtute languoribus fortiores: et hoc ediscens immo credens, quoniam id iam ex fama noverat, ad sanctos celeriter venit, definitione immobili posita, non se ingressurum eorum celebre templum, nisi prius lucem vidisset, et caecitatem oculorum deposuisset. Et propriam definitionem

(1) Hellenismus pro *Salvatoris*.

λέγων συχνότερον, καὶ τὰ ἐκπορευόμενα ἐκ τῶν χειλέων μου οὐκ ἀθετήσω, μετὰ τοῦ μελογράφου βοώμενος· πρὸ γὰρ τῆς τοῦ νεὼ θύρας ἐκάθητο, ἀνέκειτο, ἤσθιεν, ἐκάθευδεν· ἐν ὥρᾳ μὲν θέρους καυσούμενος, ἐν καιρῷ δὲ χειμῶνος πηγνύμενος· καὶ ποτὲ μὲν ὑετοῖς λαβροτέροις βρεχόμενος, ποτὲ δὲ σφοδροτέραις ἀκτῖσι φλεγόμενος, ὑπὲρ κεφαλῆς ἔχων τὸν ἥλιον ἡμέρας συγκαίοντα, καὶ νυκτὸς τὴν σελήνην ἐκλύουσαν.

Οὕτω δὲ χρόνους ὀκτὼ διατελέσας ὑπαίθριος, καὶ τὴν οἰκείαν οὐκ ἀτιμάσας ἀπόφασιν, οὐδ' ἀτιμάσαι προσδοκήσας εἰς ἔπειτα, ἢ ποιήσασθαι τὴν ἐκεῖθεν ἀπόβασιν, εἰ καὶ μέχρι θα-

post non mediocrem probationem implevit; iuravi et statui, saepius dicens, et quae procedunt per labia mea non faciam irrita, cum melographo clamans. Prae foribus enim templi sedebat, iacebat, manducabat, et dormiebat, tempore quidem aestatis adustus, tempore autem hiemis congelatus; et modo quidem validioribus imbribus complutus, modo autem vehementibus radiis inflammatus; supra caput habens solem interdiu concremantem, et noctu lunam exsolventem.

Taliter autem annos octo sub divo transigens, et propriam non spernens sententiam, neque deinceps se irritam facturum expectans, aut inde facturum exitum, etiam si usque ad mortem cae-

νάτου τυφλὸς ἐξετάζοιτο· ὅθεν ἐπαίνων μὲν τῆς οὕτω σταθερᾶς τοῦ λογισμοῦ καὶ βεβαίας κρίσεως ἄξιος, παρὰ πᾶσι τοῖς εἰδόσιν ἐκρίνετο, παρὰ τοῖς μάρτυσι καὶ τελείας ἰάσεως· ἐπιστάντες γοῦν αὐτῷ νυκτὸς, ὡς ἐκάθευδεν, τὴν ὑγείαν παρέχουσι, καὶ τὸ βλέπειν χαρίζονται, λόγοις τοῦτο κελεύσαντες, καὶ τῶν ὀμμάτων ἁψάμενοι· καὶ φαρμάκοις οὐ παραγγείλαντες χρήσασθαι· πῶς δὲ ἢ ποίῳ τρόπῳ τοὺς ὀφθαλμοὺς ἀνοίξαντες ἐκκαθαίρουσιν, οὐκ ἐμάθομεν· ἀναστὰς γὰρ μεθ' ὕπνον τοῦ στρώματος, κατ' αὐτὸ τῆς νυκτὸς τὸ μεσότατον, καὶ λαβὼν σινοπίδιον, χρῶμα τοῦτο φλογὶ παραπλήσιον, ταῦτα τῷ τοίχῳ τῷ πρὸ τῆς πύλης τοῦ τεμένους ἔνθα κατέκειτο γέγραφεν. " Ἐγὼ Ἰωάννης πόλεως τῆς Ῥώ-

cus foret probandus. Unde laudibus quidem tam constantis animi et stabilis iudicii apud omnes qui noverant decernebatur *, et apud martyras etiam perfecta sanitate dignus iudicabatur. Assistentes ergo ei noctu dormienti, sanitatem praebent, et videre donant, verbis hoc iubentes, et oculos tangentes, et non medicaminibus uti praecipientes. Qualiter tamen vel quomodo aperientes oculos expurgant, nequaquam didicimus. Surgens enim post somnium e stratu, eadem mediante nocte sinopidis accepto colore, qui flammae similis est, haec in pariete qui est ante portam templi ubi et ia-

* ex gr.

„ μης ὁρμώμενος, τυφλὸς ὀκτὼ χρόνους γενό-
„ μενος, ἐνθάδε διὰ τῆς τῶν ἁγίων Κύρου καὶ
„ Ἰωάννου δυνάμεως προσκαρτερήσας ἀνέβλε-
„ ψα (1) „. Καὶ ταῦτα χαράξας τῷ χρώματι, εἰσελθών τε βλέπων εἰς τὸν νεὼν ὡς συνέθετο, καὶ τὰς λιτὰς ἀνατείνας τοῖς μάρτυσιν, πρὶν ὑπὲρ γῆν ἥλιος γένηται, καὶ τοὺς ἐπὶ γῆς ταῖς ἀκτῖσι φαιδρύνειεν, ἐκεῖθεν πιστῶς ἀνεχώρησε, τῆς οἰκείας εὐνοίας μνημόσυνον καὶ μαρτυρικῆς χάριτος κήρυκα τὸ ἐν τοίχῳ γράμμα πηξάμενος· ἡμεῖς δὲ τούτου τὴν ἀνάβλεψιν φήσαντες, καὶ τὴν ὑπὲρ ταύτης ᾠδὴν τοῖς ἁγίοις ἀνά-

cebat descripsit. « Ego Iohannes maximae urbis
» Romae oriundus, cum per octo annos caecus
» fuissem, hic per sanctorum Cyri et Iohannis
» virtutem perseverando visum recepi ». Et colore his exaratis, ingressusque videns in templum sicut promiserat, et precibus inpensis martyribus priusquam super terram sol fieret, et eos qui super terram erant radiis illustraret, laetus discessit; memoriale propriae benivolentiae, martyrumque gratiae praedicamentum litteras quas fixit in pariete derelinquens. Porro nos huius redemptione visus edicta, et cantico sanctis pro hac re-

(1) Inscriptio haec addatur titulo primo christianarum inscriptionum a me alibi editarum; itemque epigrammata edita p 95-96. attextantur poëticae anthologiae.

ψαντες, ἐφ' ἑαυτοὺς τὸν κάλαμον στρέψωμεν, καὶ τὴν τῶν ἡμετέρων ὀμμάτων ῥῶσιν χαράξωμεν, τελευταίαν αὐτὴν τῶν γραφέντων θαυμάτων ποιούμενοι.

ο. ΠΕΡΙ ΣΩΦΡΟΝΙΟΥ ΜΟΝΑΧΟΥ ΤΟΥ ΣΥΓΓΡΑΨΑΝΤΟΣ, ΠΑΘΟΝΤΟΣ ΤΟΥΣ ΟΦΘΑΛΜΟΥΣ ΕΠΙΧΥΣΕΩΣ.

Μεγάλη καὶ λαμπρὰ τοῦ δαιμονῶντος ἡ εὔνοια, τοῦ πρὸ τελευτῆς οἰκοῦντος τὰ μνήματα, ὡς τὸ θεῖον αὐτῷ μεμαρτύρηκε λόγιον· πρὸς τοῦ σωτῆρος γὰρ οὗτος τὴν ῥῶσιν δεξάμενος, καὶ φυγὼν τοὺς ἀφειδῶς αὐτὸν ἐκβακχεύοντας δαίμονας, λεγεῶνα γὰρ ἔσχε πολλῶν δαιμονίων πονηρότατον ἄθροισμα, Χριστοῦ τοῦ σεσωκό-

lato, ad nos ipsos calamum convertamus, et oculorum incolumitatem nostrorum scribamus, novissimos nos inter miracula quae scripta sunt facientes.

70. DE SOPHRONIO MONACHO, QUI HAEC SCRIPSIT, OCULOS PASSO.

Magna et clara est eius qui a daemonio vexabatur devotio, qui ante mortem habitabat in monumentis, sicut divinum ei eloquium perhibet testimonium. A Salvatore quippe iste qui sanitatem recepisset, et fugeret daemonas qui in se sine parcitate insaniebant, legionem habebat, quae multorum erat daemoniorum caterva nequissima,

τος ὁπαδὸς ἠβούλετο γίνεσθαι· καὶ μὴ δεινηθεὶς ταύτῃ τὴν πρὸς αὐτὸν εὔνοιαν ἐπιδείξασθαι· παρεκάλει γὰρ αὐτὸν ὁ δαιμονισθεὶς, ἵν' ᾗ μετ' αὐτοῦ· ὁ δὲ Ἰησοῦς οὐκ ἀφῆκεν αὐτὸν· ἀλλ' ἀπιέναι κελευσθεὶς, καὶ τοῖς οἰκείοις ἀπαγγέλλειν τὸν ἐπ' αὐτῷ σωτήριον ἔλεον, κήρυξ ἀπελθὼν ἄοκνος καὶ φιλότιμος ἐν τῇ Δεκαπόλει τοῦ σωτῆρος ἐγένετο, ἀγνωμοσύνης ἴδιον λογισάμενος, εἰ μόνοις οἰκείοις τὸν εὐεργέτην, καὶ μὴ πᾶσιν τοῖς εἰδόσιν αὐτὸν ἀσθενοῦντα κηρύξειεν.

Διὸ μηδεὶς ἡμᾶς βαλλέτω ταῖς μέμψεσιν, εἰ τούτου μιμηταὶ γενέσθαι θελήσαιμεν, καὶ τοὺς μετὰ θεὸν ἡμῶν εὐεργέτας Κῦρον καὶ Ἰω-

Christi qui se salvaverat fieri volebat pedisequus, et non valens hoc modo benivolentiam quam erga illum habebat ostendere; deprecabatur enim inquit illum qui a daemonio vexatus fuerat, ut esset cum illo, Iesus autem non admisit eum, sed ire iussit et suis annunciare in se salutarem factam misericordiam; praedicator abiens impiger et munificus in Decapoli Salvatoris effectus est, ingratitudinis esse proprium arbitratus, si suis tantum benefactorem, et non omnibus qui hunc infirmum viderant, praedicaret.

Quapropter nemo nos querelis submittat, si huius imitatores esse voluerimus, vel Cyrum ac

άννην κηρύξαιμεν, καὶ τὴν δωρεὰν τῷ γράμματι γράψωμεν· ἐπεὶ μηδέπω τίς τὸν λεπρὸν διεμέμψατο, ὃν τῆς λέπρας ὁ Χριστὸς ἐκαθάρισεν, μηδὲν λέγειν περὶ τῆς θεραπείας ἀκούσαντα, μόνον δὲ τὸ δῶρον κατὰ τὸ Μωϋσέως προσάγειν ἐπίταγμα, πανταχοῦ τὸν δεσπότην κηρύξαντα, καὶ τὴν ἑαυτοῦ φημίζοντα κάθαρσιν, καὶ σιγᾷν ὡς κεκέλευστο μὴ θελήσαντα· οὓς καὶ ἡμεῖς δι' εὐγνωμοσύνην ζηλώσαντες, τὴν θεραπείαν οὐ κρύψωμεν, ἀλλὰ γιγνόμεθα ἁγίων εὐγνώμονες κήρυκες, καὶ τὰ καθ' ἑαυτοὺς τοῖς προλεχθεῖσιν ἐπάγωμεν· καὶ Χριστὸν αὐτοὶ τὸν ἑαυτῶν παιδευτὴν ἐκμιμούμενοι, μηδενὶ μηδὲν ἡμᾶς λέγειν ἐθέλωσιν· λέξωμεν δὲ

Iohannem benefactores nostros post Deum praedicaverimus, gratiaeque donationem hac scriptura descripserimus. Nam nemo unquam reprehendit leprosum, quem a lepra Christus mundavit, quique nemini quicquam dicere de curatione audivit, sed is tantum donum iuxta Moysen offerri praeceptus, ubique Dominum praedicans enarravit, purgationemque suam diffamavit, sed et tacere prorsus noluit. Quos et nos ob devotionem aemulantes, curationem non occultabimus, sed efficiemur sanctorum devoti praecones; et nostra quaeque cum praecedentibus conferamus; licet ipsi Christum eruditorem suum imitati, nemini quic-

ὄνομα, καὶ πόλιν, καὶ πατρίδα, καὶ φροντιστήριον, ὅθεν τε ἔφυμεν, καὶ ὅπη Θεοῦ βουληθέντος ἐτάχθημεν, καὶ ἐπὶ τούτοις ὀφθαλμῶν τὴν ἀσθένειαν, καὶ τὴν θείαν τῶν ἁγίων ἐπίσκεψιν, ὡς ἐπὶ τῶν προλαβόντων ἐδράσαμεν, πλεῖον οὐδὲν ἑαυτοῖς χαριζόμενοι, ἀλλὰ καὶ ταῦτα χαράττοντες, τῆς τῶν ἐντυγχανόντων γνώσεως ἕνεκεν· οὗ δὲ χάριν ἑαυτοὺς τελευταίους ἐτάξαμεν, ὕστερον λέξωμεν, ἐπειδὰν τὸ πάθος καὶ τὴν ἴασιν γράψωμεν.

Ἔστι μὲν ὄνομα τῷ γεγραφότι Σωφρόνιος, πόλις Δαμασκὸς ἡ μητρόπολις (1), πατρὶς ἡ

quam nos dicere velint. Porro dicemus et nomen, et civitatem, et patriam, et curatorium, undeque nati simus, et ubi voluntate Dei ordinati; et super haec infirmitatem oculorum, et divinam visitationem sanctorum, sicut etiam in praecedentibus gessimus; plus nobis gratiae nil praestantes, sed haec adbreviantes ob notitiam eorum qui ista lecturi sunt. Interea cuius rei gratia nosmet novissimos posuerimus, postea disseremus, cum scilicet passionem scripserimus et sanitatem.

Est ergo nomen quidem ei qui scripsit Sophronius, civitas Damascus quae est metropolis, pa-

(1) Recole Sophronii de se ipso epigramma p. 95. Iam quod ibi legitur ἐν αἷς, in codice quidem scribitur ἐναῖς, quod quid significet, nondum explico. Video tamen Petrum parthenopensem sophroniani operis compendium sic exordien-

Φοινίκη, οὐχ ἡ παραλία, ἀλλ' ἡ Λιβάνου τοῦ ὄρους ἐπώνυμος, ἧς ἐστι Δαμασκὸς ἡ ἀρχαία μητρόπολις· τὸ δὲ μοναστήριον ὅπερ ὁ ἱερὸς Θεοδόσιος, ὁ πάντων τῶν παλαιστειναίων μοναστῶν τῶν τε πρὸ αὐτοῦ, τῶν τε μετ' αὐτοῦ δι' ἀρετὴν ἡγησάμενος, ἀνὰ τὴν ἔρημον τῆς ἁγίας Χριστοῦ θεοῦ ἡμῶν πόλεως ἵδρυσεν (1)· ἐν Ἀλεξανδρείᾳ γοῦν γεγονὼς ὁ Σωφρόνιος δι' αἰτίαν ἧς

tria Phoenice non maritima, sed quae ex Libano monte cognominatur, cuius est Damascus antiqua metropolis; monasterium autem quod sacer Theodosius, qui omnibus palaestinensibus monachis, tam scilicet his qui ante eum, quam qui post eum fuere propter virtutem praefuit, in eremo sanctae Christi Dei nostri civitatis fundavit.

tem: *Sophronius vir illustrissimus Phenea urbe genitus.* Num ergo *Phenea* latet in corrupto vocabulo *ἐναῖς*? Certe urbs palaestina *Phanea* occurrit in priscis nummis apud Cellarium G. lib. III. 13, quae urbs ubinam in Palaestina sita fuerit ignorat idem Cellarius. Sed ecce rursus obstat, quod heic itemque citato loco ortum se Damasco metropoli Sophronius dicit; nisi forte Phenea vel Phanea suburbicarium oppidum Damasci fuit.

(1) Ita Sophronius etiam in operis titulo. Iamvero Anastasii huius copiosam vitam in vaticanis codicibus vidi. Denique addo, in iisdem vat. codd. extare passionem sanctorum MM. Amoriensium, Sophronio nostro diserte inscriptam, qui titulus Allatio quoque et Fabricio fucum fecit; non est enim id reapse Sophronii opus, quia in eo appellatur imperator Theophilus; tum ipsi martyres haud ante nonum saeculum fecere martyrium.

οὐκ ἀνάγκη μεμνῆσθαι τῷ γράμματι, τοὺς ὀφθαλμοὺς ἀμφοτέρους ἠσθένησεν (1)· οὐκ ἐπ' ὀλίγας δὲ μόνας ἡμέρας ἔσχε τὸ νόσημα, ἀλλ' ἐπὶ μῆνας οὐκ ὀλίγους ἐτρύχετο· καὶ μὴ φέρων τῶν ἀλγηδόνων τὸ πέλαγος, ἄτακτον γὰρ τὸ πάθος ὑπέμενεν, τοῖς ἀρίστοις ἑαυτὸν ἰατροῖς ἐπεδείκνυεν, καὶ μάλιστα τοῖς περιττόν τι τῶν ἄλλων ἔχειν νομίζουσιν ἔν τε λόγοις καὶ σχήμασιν· οἳ συχνῶς πρὸς τὸν ἀέρα τὸν πάσχοντα σύροντες, καὶ τὰς κόρας πρὸς τὰς ἡλιακὰς ἀκτίνας σκεπτόμενοι, τὰ μὲν πρῶτα ἀλλαγὴν ἀέρος τὸ τοῦ πάθους ἔλεγον αἴτιον· εὐθὺς γὰρ μετὰ τὴν ἄφιξιν ὑπέστη τοῦτο Σωφρόνιος· ὡς δὲ διέ-

Itaque cum esset Sophronius Alexandriae, propter causam, cuius necesse non est in hoc opere facere mentionem, ambobus oculis infirmatus est. Non autem per paucos tantum dies languorem habuit, sed per menses non paucos cruciabatur, et non ferens pelagus dolorum, inquietem quippe sustinebat passionem, optimis se se medicis demonstrabat, et maxime his qui plus aliis quicquam habere putabantur tam verbo quam habitu. Qui frequenter ad aërem qui patiebatur trahentes, et pupillas contra solarios * radios inspicientes, primo quidem mutationem aëris, passionis causam esse dicebant, mox enim post ventio-

* ita cod.

(1) Recole Sophronii ipsius praefationem p. 2.

τεινε τὸ ἀῤῥώστημα, πρὸς ξηροφθαλμίαν αὐτοῖς μετεπλάττετο, οὐ ξένους ἀέρας αἰτίαν ἀλλὰ δυσκρασίαν ἔχων τοῦ σώματος· ὅθεν καὶ τὰ σμικρινῶντα τὸ σῶμα προσέταττον, ὡς διὰ τούτων ἰώμενοι τοὺς τοιῷδε νοσήματι περιπίπτοντας· ἀλλ' ὡς οὐδὲν διὰ τούτων ἀνύειν ἠδύναντο, καίτοι πρὸς πάντα πειθήνιον τῆς ἀνάγκης ἕνεκα τὸν ἄῤῥωστον ἔχοντες, ἐπὶ τὴν ἀνιάτρευτον ἐπίχυσιν καὶ πλατυκορίαν κατέφευγον· οἳ μὲν γὰρ ταύτην, οἱ δὲ τὴν ἄλλην τὸ πάθος ὠνόμαζον ἀέρων ὀθνείων καχωμάτων δυσκρασίας ἀφέμενοι· καὶ τὸ μὲν πρότερον ἀλλήλοις ὁμοφώνουν, ἑαυτοῖς δὲ τῶν ὀνομάτων ἐναλλαγαῖς

nem pertulit hoc Sophronius. At vero cum extenderetur infirmitas ad exsiccitatem oculorum, xerophtalmia sibi formabatur, non externos habens aëres causam, sed intemperantiam corporis; unde et ea quae temperant corpus praecipiebant, quasi per haec sanantes eos qui hunc languorem incidissent. Sed cum nec per ista quippiam proficere potuissent, quamquam necessitate cogente obsecundantem ad omnia infirmum haberent, ad insanabilem cataractam, et platicoriam confugiebant. Etenim alii quidem hanc, alii vero alteram passionem nominabant, aëra extraneum iam seu corporum intemperantias dicere desinentes; et primo quidem invicem concordabant, sed nominum si-

διεμάχοντο· ὕστερον δὲ, καὶ τὸν πρὸς ἑαυτοὺς καὶ τὸν πρὸς ἀλλήλους ἤραντο πόλεμον, εἰς τοῦτο καὶ μόνον συνᾴδοντες, εἰς τὸ τῶν παρ' αὐτῶν λεγομένων παθῶν ἀθεράπευτον.

Τοῦτο μαθὼν ὁ Σωφρόνιος, καὶ ὡς οὐδεμίαν ἔχοι πρὸς ἀνθρώπων βοήθειαν, ἔγνω σαφῶς ὡς ἰατροὶ οὐ μὴ ἀναστήσουσιν, ὡς ὁ μέγας Ἡσαΐας περὶ αὐτῶν προεφήτευσεν· ἀεὶ δὲ τῶν Κύρου καὶ Ἰωάννου δωρεῶν πυνθανόμενος, καὶ οἷα θαύματα πράττουσιν ἐπ' ἀμυθήτοις ἀκούων νοσήμασιν, ἐπ' αὐτοὺς μετὰ πίστεως ἔξεισιν, μεθ' ἧς οἱ πρὸς αὐτοὺς ἀπερχόμενοι πᾶν ὅπερ ποθοῦσι κομίζονται, ἀμοιβαίους (1) αὐτοὺς ἐν ἀγαθοῖς

bimet immutationibus impugnabant. Postea vero tulerunt et contra se, et adversus invicem bellum, in hoc tantummodo consonantes, in quo dicebatur ab eis passio insanabilis.

Hoc cum vidisset Sophronius, et quod nullum habiturus ab hominibus esset auxilium, manifeste cognovit, quia medici non resuscitabunt, sicut magnus super illis prophetavit Esaias. Interea semper Cyri Iohannisque dona comperiens, et qualia miracula patrarent in numerosis languoribus audiens, ad eos fide plenus egreditur, cum qua qui ad illos accedunt, omne quod desiderant assequuntur, habundantes eos in bonis recompen-

(1) Cod. ἀμοιβαίας. Num pro ἀμοιβέας?

περιττεύοντας, τῆς εἰς αὐτοὺς εὑρίσκοντες πίστεως· οἳ καὶ τότε νοσοῦντα Σωφρόνιον, καὶ εἰς αὐτοὺς ὁλοψύχως πιστεύοντα βλέποντες, τῆς οἰκείας αὐτὸν ἀξιοῦσιν ἰάσεως· καὶ πρῶτον μὲν ἅπαντα τὸν τῶν ἰατρῶν φλήναφον ὁρισμὸν ἀνατρέψαντες, καὶ τὸν πάσχοντα πείσαντες, ὡς οὐδὲν πείσεται ὧν ἰατροὶ τὸ τελευταῖον ἐφθέγξαντο, μετὰ ταῦτα τὴν ὑγείαν χαρίζονται, ἣν ἐκεῖνοι παρασχεῖν οὐκ ἠδύναντο.

Ἐπιστάντες οὖν αὐτῷ καθ' ὕπνους ἀμφότεροι, τρίτη δὲ ἡ νὺξ ἀφ' ἧς παρεγένετο, οὕτως αὐτῷ περὶ τῆς τῶν μελλόντων ἀπαθείας τὴν πίστιν ἐνέθηκαν· μοναστοῦ μὲν ὁ εἷς σχῆμα θεῖον

satores fidei, qua erga illos flagrant, invenientes. Qui et tunc languentem in se toto animo fidem habere videntes Sophronium, sua eum dignum sanitate decernunt. Et primum quidem omnem medicinalium stultiloquiorum sponsionem destruentes, patienti credere persuadent nil fore passurum ex his quae medici novissime asseruerant: post haec sanitatem donant, quam illi praebere non poterant.

Assistentes ergo ei ambo in somnis, tertia vero nox erat ex qua venerat, sic ei sanitatis fidem de futuris imposuerunt. Monachi quidem alter sacro vestitus erat habitu, et Iohanni spirituali patri et magistro languentis simillimus, qui

ἠμφίεστο, καὶ Ἰωάννῃ (1) τῷ πνευματικῷ πατρὶ καὶ διδασκάλῳ τοῦ νοσοῦντος ὡμοίωτο, συντείνοντι καὶ αὐτῷ κατὰ τὸν μαρτυρικὸν σηκὸν, καὶ περὶ τοῦ μαθητοῦ καὶ παιδὸς ἱκετεύοντι· Κῦρος ὁ μάρτυς ἐτύγχανεν, ὁ τοῦ πατρὸς τὴν μορφὴν ὡς μοναχὸς ἀνελόμενος, καὶ στολὴν μοναστοῦ περιθέμενος· Ἰωάννης δὲ ὁ σὺν Κύρῳ μακάριος, τὸν ἀλεξανδρέα Πέτρον, τὸν τῶν πραιτωρίων εἰκόνιζεν ἔπαρχον, ὃς χλαμύδα φορῶν ἀπαστράπτουσαν, ἠρώτα Κῦρον ἐλθὼν τὸν εἰς τὸν τοῦ νοσοῦντος φανέντα διδάσκαλον· ἔχεις εἰπὼν μαθητὴν λεγόμενον Ὅμηρον; ἴσασι δὲ καὶ οἱ πρόθυρα μόνον κοσμικῆς παιδείας πατήσαντες, ὡς

et ipse cum eo erat in martyrico templo, et super discipulo et filio supplicabat. Cyrus martyr erat, qui patris formam sicut monachus sumpserat, et stola monachi erat amictus. Iohannes autem aeque beatus Petrum alexandrinum, qui praefectus erat praetoriorum figurabat; qui cum veniens chlamydem rutilantem portaret, percontabatur Cyrum qui in magistro * languentis apparuerat; habes, inquiens, discipulum, qui dicatur Homerus? Noverunt autem et hi qui vestibula mundanae tantum disciplinae calcaverunt, quod cae-

* in forma magistri.

(1) Duo fuerunt Sophronio familiares viri, Iohannis nomine nuncupati, Iohannes nempe Moschus et Iohannes eleemosynarius. Moschum autem heic designari puto.

τυφλὸς ὑπῆρχεν ὁ Ὅμηρος, ἐπίχυσιν αὐτῷ τοῦ γήρως ἐνέγκαντος· τοῦτο γὰρ δηλοῦν τὸ τῶν ἁγίων ἤθελεν αἴνιγμα· ὁ δὲ μεθ᾽ ὅρκων ἐφθέγξατο, ἔχειν μὲν μαθητὴν, Ὅμηρον δὲ μὴ λέγεσθαι· προσεπέφερεν δὲ ὡς οὐδὲ στίχον ὁμηρικὸν ἥψατό ποτε· διὰ τούτου δηλῶν τὸ τῆς ὁμηρικῆς ἀχλύος ἀμέθεκτον· πρὸς ὃν Ἰωάννης ὁ ἅγιος ὡς πρὸς τὸν πατέρα λαλῶν καὶ παιδευτὴν ἀπεκρίνατο· ἡμεῖς τούτῳ πυθόμενοι, πρὸς ἐπίσκεψιν αὐτοῦ συνεδράμομεν· εἰ δὲ λέγεται, φησὶν, Ὅμηρος ὡς ἠκούσαμεν, θεὸν τὸν ἐπὶ πάντων δοξάσωμεν, τὸν πάθους τοιούτου καὶ προσηγορίας αὐτὸν λυτρωσάμενον· καὶ τότε μὲν οὕτω φανέντες, καὶ λόγοις τοιούτοις αὐτὸν ἀποπεί-

cus fuisset Homerus, cataractas ei senectute induente; hoc enim sanctorum aenigma voluit indicare. At ille cum iuramento effatus est, habere quidem se discipulum, sed Homerum nullo modo dici; et adhuc intulit, quod nec versus homericos tetigerit unquam; per hoc innuens, quod homericae fuerit caliginis expers. Ad quem sanctus Iohannes, quasi ad patrem loquens et eruditorem, respondit: nos hoc comperto, ad visionem eius concurrimus. Si autem non dicitur, inquit, Homerus, sicut audivimus, Deum qui est super omnia glorificabimus, quique a passione hunc tanta, et vocabulo liberavit. Et tunc quidem taliter ap-

σαντες, ὡς ὁμηρικῆς ποτὲ τυφλώσεως κοινωνὸς οὐ γενήσεται, τὸν ὄνειρον ἀπελθόντες διέλυσαν.

Μεθ' ἡμέρας δὲ πάλιν ὀλίγας ἐν μοναστῶν στολαῖς ἀφικόμενοι, τῆς οἰκείας αὐτῶν κηρωτῆς ἐλαίῳ λυθείσης τῷ τῆς ἐπιτυμβίου κανδήλας αὐτῶν περιττεύοντι τοῖς ὀφθαλμοῖς ἐνιέναι κελεύουσιν· ὁ δὲ πληρώσας τὴν κέλευσιν, τὴν ταύτης ἀκόλουθον ὑγείαν ἐκ μέρους ἐδέξατο· ἀλλ' ὅτε ῥῶσιν τελείαν αὐτῷ παρασχεῖν ἐσπλαγχνίσθησαν, οὕτω δι' ὁράματος τὴν δόσιν ἐτύπωσαν· νὺξ ἦν, καὶ Σωφρόνιος ἐπὶ τῶν στρωμάτων ἐκάθευδε· καὶ καθεύδων, Ἰωάννην τὸν διδάσκαλον τοὺς ἀδελφοὺς ἅπαντας ἑστιᾷν τοὺς εἰς τὸ τέμενος ἔδοξε· μία δὲ τοῖς πᾶσιν ἐγένετο τρά-

parentes, et talibus cum verbis credere facientes, quod homericae alioquin caecitatis non esset futurus communicator, somnium abeuntes solverunt.

Post paucos vero dies in monachorum stolis venientes, propriam suam ceroten oleo dissolvi, quae ex candela quae supra tumulum suum erat habundabat, et in oculos mitti iubent. Qui iussione completa, consequentem etiam partim sanitatem recepit. Sed quoniam incolumitatem perfectam ei misericorditer dare voluerunt, taliter datum * per somnium formaverunt. Nox erat, et supra stratum dormiebat, et dormiens Iohannem magistrum fratres universos qui in templo erant

* donum.

πεζα κυκλοτερὴς, καὶ δι' ὅλης τῆς τοῦ σηκοῦ στοᾶς διατείνουσα· τούτου γὰρ αὐτὴ τὸ σχῆμα κεκλήρωται, εἰ καὶ γωνίαις ὀκτὼ τὴν μίαν τοῦ κύκλου γραμμὴν διαστέλλουσα, σχῆμα δείκνυσιν ἕτερον οὐ πάντη τοῦ κυκλοτεροῦς διϊστάμενον· τῷ οὖν σχήματι τῆς στοᾶς ἠκολούθη σαφῶς καὶ ἡ τράπεζα, ἧς ἐν ἀρχῇ Θεόδωρος ὁ μάρτυς ἀνέκειτο· λίαν γὰρ καὶ αὐτὸς ἐτιμᾶτο τῷ πάσχοντι· μεθ' ὃν Κῦρος ἦν ὁ θεσπέσιος, Ἰωάννην τὸν ἀδελφὸν δεξιὸν ἐπαγόμενος, καὶ πρὸς τῶν δύο τῆς εὐσεβείας ἀθλητῶν μεσαζόμενος· οὐχ ἑτέροις χρώμενοι σχήμασιν, οὐκ ἐν μορφαῖς ἀλλοτρίαις φαινόμενοι, ἀλλ' ἐν αἷς ὑπῆρχον καὶ γράφονται· καὶ μετ' αὐτοὺς ὁ λοιπὸς ὅμιλος τῶν

ad convivium invitasse videre putabat; una vero cunctis facta est mensa in modum circuli, et per totam templi porticum extensa, hanc enim haec figuram sortita est, licet angulis octo, unam cycli lineam distinguens, formam ostenderet aliam non omnino a rotunditate distantem. Ergo figuram porticus sequebatur evidenter et mensa; in cuius summitate martyr Theodorus recumbebat; valde namque et ipse compatiebatur patienti; post quem Cyrus erat egregius, Iohannem fratrem dextrorsum agens, et medius inter duos pietatis certatores, non aliis schematibus utentes, non in alienis formis apparentes, sed in quibus fuerant et

ἀσθενῶν ἀδελφῶν κατεκλίνοντο· καὶ πᾶσι μὲν μόνος διηκονεῖτο Σωφρόνιος· Ἰωάννης δὲ ὁ τούτου διδάσκαλος, ὡς ἐν γείτονι τῇ κέλλῃ τὰς ἐδωδὰς παρεσκεύαζεν.

Ὡς δὲ πέρας ἡ ἑστίασις ἔλαβε, καὶ τῆς κατακλίσεως οἱ τρεῖς ἀνέστησαν ἅγιοι, πρὸς Σωφρόνιον ὁ Θεόδωρος εἴρηκεν· ἀπελθὼν κάλει σου τὸν διδάσκαλον, ἵν' ἀποδώῃ Κύρος ὁ ἅγιος ὅ τι δ' ἂν αὐτῷ ἐποφείλεται· ὁ δὲ δρομαῖος τὸ κελευσθὲν διεπράξατο· ἐλθόντα γοῦν τὸν Ἰωάννην, τοῦτο γὰρ ἦν τοῦ διδασκάλου τὸ ὄνομα, εἰπὲ πρὸς αὐτὸν, ὁ μάρτυς Θεόδωρος εἶπεν, τί σοι χρεωστεῖ Κῦρος ὁ ἅγιος, ἵνα παραχρῆμα τὸ χρέος ἐκτίσειεν; ὁ δὲ πεσὼν ἐπὶ πρόσωπον, μη-

pinguntur; et post eos reliqua infirmorum fratrum reiacebat caterva; et omnibus quidem solus ministrabat Sophronius, Iohannes autem huius magister quasi in vicinitate cellae praeparabat dapes.

